


ΕΛΛΗΝΙΚΗ ΧΡΗΣΤΟΜΑΘΕΙΑ

ΕΞ

ΕΛΛΗΝΩΝ ΠΕΖΟΓΡΑΦΩΝ

ΣΥΝΤΑΧΘΕΙΣΑ

ΚΑΤΑ ΤΟ ΝΕΟΝ ΠΡΟΓΡΑΜΜΑ ΤΗΣ 31 ΑΥΓΟΥΣΤΟΥ 1885 ΤΟΥ ΕΠΙ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΑΣ ΕΚΠΑΙΔΕΥΣΕΩΣ ΥΠΟΥΡΓΕΙΟΥ

ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΧΟΛΕΙΩΝ

ΥΠΟ

Ἀνέστη Κωνσταντινίδου

ΤΟΜΟΣ Α'.

ΔΙΑ ΤΗΝ ΠΡΩΤΗΝ ΤΑΞΙΝ

Ἔκδοσις ΣΤ'. βελτιωμένη



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ

ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ

1892

ΕΛΛΗΝΙΚΗ ΧΡΗΣΤΟΜΑΘΕΙΑ

ΕΞ

ΕΛΛΗΝΩΝ ΠΕΖΟΓΡΑΦΩΝ

ΣΥΝΤΑΧΘΕΙΣΑ

ΚΑΤΑ ΤΟ ΝΕΟΝ ΠΡΟΓΡΑΜΜΑ ΤΗΣ 31 ΑΥΓΟΥΣΤΟΥ 1885
ΤΟΥ ΕΠΙ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΑΣ ΕΚΠΑΙΔΕΥΣΕΩΣ
ΥΠΟΥΡΓΕΙΟΥ

ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΧΟΛΕΙΩΝ

ΥΠΟ

ΑΝΕΣΤΗ ΚΩΣΤΑΝΤΙΝΙΔΟΥ

ΤΟΜΟΣ Α'.

ΔΙΑ ΤΗΝ ΠΡΩΤΗΝ ΤΑΞΙΝ

Ἔκδοσις ΣΤ' βελτιωμένη



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΙΟΥ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ
ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ
1892


ΚΑΤΑΣΤΗΜΑΤΑ
ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ
ΕΝ ΑΘΗΝΑΙΣ.

ΠΡΟΣ
ΤΟΥΣ ΑΠΑΝΤΑΧΟΥ ΕΛΛΟΓΙΜΟΥΣ Κ. Κ. ΣΧΟΛΑΡΧΑΣ ΚΑΙ ΕΛΛΗΝΟΔΙΔΑΣΚΑΛΟΥΣ

Ἡ ζωηροτάτη καὶ εὐμενὴς ὑποδοχή, ἧς ἔτυχεν ἡ πρὸ μικροῦ ἐκ τρισχιλίων καὶ ἐπέκεινα ἀντιτύπων γενομένη ἔκδοσις τοῦ Α'. Τομου της Ελληνικης Χρηστομαθειας, ἐξαντληθεῖσα ἐν βραχεῖ διαστήματι χρόνου, μ'ἐνθαρρύνει εἰς τὴν ἐκ νέου ἀνατύπωσιν αὐτοῦ μετὰ τῶν ἀναγκαίων προσθηκῶν καὶ βελτιώσεων καὶ συμφώνως πρὸς τὸ τελευταῖον ἀπὸ 31 Αὐγούστου 1885 ἐπίσημον πρόγραμμα τοῦ Ὑπουργείου τῶν Ἐκκλησιαστικῶν καὶ τῆς Δημοσίας Ἐκπαιδεύσεως, δι'οὗ ὁρίζονται τὰ διὰ τὴν πρώτην τάξιν τοῦ Ἑλληνικοῦ Σχολείου διδακτέα κείμενα ἐξ Ἑλλήνων συγγραφέων. Οὕτως ἀντὶ τῶν τοῦ Ιεροκλεους και Φιλαγριου Αστειων, καὶ τῶν Θεοφραστου Χαρακτηρων, προσετέθησαν, συνῳδὰ τῷ προγράμματι τοῦ Ὑπουργείου, τὰ ἐκλεκτότερα τεμάχια ἐκ τῆς ΕΛΛΗΝΙΚΗΣ ΜΥΘΟΛΟΓΙΑΣ τῆς Βιβλιοθηκης τοῦ Απολλοδωρου, διὸ ὁ ἀνὰ χεῖρας Α'. Τόμος περιέχει τὰ ἑξῆς ἀναγνωστικὰ καὶ ἐξηγητέα κείμενα, ἤτοι:

α'. Μυθους εκ των του Αισωπου.
β'. Εκ της Απολλοδωρου Βιβλιοθηκης
γ'. Εκ των Πλουταρχου Αποφθεγματων.
δ'. Εκ των Διογενους Λαερτιου Βιων.
ε'. Εκ των Πολυαινου Στρατηγηματων.
ς'. Εκ της Αιλιανου Ποικιλης Ιστοριας.
ζ'. Εκ των Αθηναιου Δειπνοσοφιστων.
η'. Εκ του Στοβαιου Ανθολογιου.

Πολλαχοῦ τοῦ κειμένου παρατίθενται ἐπεξηγηματικαὶ τῶν δυσνοήτων λέξεων ἢ φράσεων ὑποσημειώσεις, ἐλήφθη δὲ φρον-

τις ὅπως διορθωθῇ εἴ τις παραδρομὴ τυχὸν ἐγένετο ἐν τῇ προηγουμένῃ ἐκδόσει.

Ὀφείλω δὲ ν' ἀπονείμω τὰς ἀπείρους εὐχαριστίας μου διὰ τὸν ζῆλον μεθ' οὗ πάντες σχεδὸν οἱ ἐλλόγιμοι κκ. σχολάρχαι καὶ ἑλληνοδιδάσκαλοι ἔσπευσαν οἴκοθεν νὰ εἰσαγάγωσιν εἰς τὰς ὑπ' αὐτοὺς ἑλληνικὰς τάξεις καὶ τοὺς τρεῖς τόμους τῆς Ἑλληνικῆς Χρηστομαθείας, ἐκτιμῶντες οὐ μόνον τὸ εὔωνον τοῦ βιβλίου, ἀλλὰ καὶ τὸ εὐκρινὲς τῶν χαρακτήρων, τὴν ἐκλεκτὴν ποιότητα τοῦ χάρτου καὶ τὸ ἄπταιστον τοῦ κειμένου. Ἡ δικαία καὶ εἰλικρινὴς αὕτη ἐκτίμησις μ' ἐνισχύει ν' ἀποπειραθῶ καὶ ἐν τῷ μέλλοντι τὴν ἔκδοσιν εὐωνοτάτων καὶ τελειοτέρων, ὡς οἷόν τε, διδακτικῶν βιβλίων, συντελῶν τὸ ἐπ' ἐμοὶ ὑπὲρ τῆς μαθητιώσης ἑλληνίδος νεότητος τοῦ ἡμετέρου ἔθνους.

Ἐν Ἀθήναις τῇ 15 Σεπτεμβρίου 1885.

ΑΝΕΣΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΙΔΗΣ



Α'. ΑΙΣΩΠΕΙΟΙ ΜΥΘΟΙ

Ὁ Αἴσωπος ἐκ Φρυγίας, σύγχρονος τοῦ Σόλωνος (π. Χ. 570). ἐγεννήθη δοῦλος· ἀλλὰ δείξας ἔξοχον εὐφυΐαν, ἀπηλευθερώθη, καὶ ὁ βασιλεὺς τῆς Λυδίας Κροῖσος τὸν ἐτίμησε μεγάλως καὶ τὸν ἔστειλε μὲ λαμπρὰ δῶρα εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος εἰς Δελφούς. Ἀλλ' οἱ κάτοικοι τῶν Δελφῶν, δυσαρεστηθέντες ἐναντίον του, τὸν ἐθανάτωσαν, κατακρημνίσαντές τον ἀπὸ τὸν βράχον. Οἱ σωζόμενοι μῦθοι ὑπὸ τὸ ὄνομά του εἶνε μεταγενεστέρων μιμήσεις τῶν μύθων τοὺς ὁποίους αὐτὸς προφορικῶς διηγεῖται, ἀλλὰ δὲν φαίνεται καὶ νὰ ἔγραψεν.

1. Ἀνθρακεὺς καὶ Γναφεύς.

Ἀνθρακεύς, ἐπί τινος οἰκῶν οἰκίας, ἠξίου καὶ γναφέα παραγενόμενον αὐτῷ συνοικῆσαι. Ὁ δὲ γναφεὺς ὑπολαβών[1] ἔφη· Ἀλλ' οὐκ ἂν ἔγωγε τοῦτο πρᾶξαι δυναίμην· δέδια[2] γάρ, μήπως, ἅπερ ἐγὼ λευκαίνω, αὐτὸς ἀσβόλης πληροῖς.

2. Λέαινα καὶ Ἀλώπηξ

Λέαινα ὀνειδιζομένη[3] ὑπὸ ἀλώπεκος ἐπὶ τῷ διὰ παντὸς τοῦ χρόνου ἕνα τίκτειν· Ἕνα, ἔφη, ἀλλὰ λέοντα.

---

[1]) Ὑπολαμβάνω. [2]) Φοβοῦμαι. Παρὰ τοῖς Ἀττικοῖς λογογράφοις ὁ ἑνικ. ἀριθμὸς σχηματίζεται συνήθως Δέδοικα. [3]) Ὀνειδίζω, λέγω τι πρὸς ὄνειδός τινος, (κοινῶς) τοῦ τὸ κτυπῶ εἰς τὸ πρόσωπον.

3. Ὄρνις καὶ Χελιδών.

Ὄρνις, ὄφεως ᾠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα, ἐξεκόλαψε[1]. Χελιδὼν δὲ θεασαμένη αὐτήν, ἔφη· Ὦ ματαία, τί[2] ταῦτα τρέφεις; ἅπερ[3] αὐξηθέντα[4] ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν[5] ἄρξεται[6].

4. Ὄφις.

Ὄφις, ὑπὸ πολλῶν ἀνθρώπων πατούμενος, τῷ Διῒ[7] ἐνετύγχανεν[8]. Ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν· Ἀλλ' εἰ τὸν πρότερον πατήσαντα ἔπληξας[9] οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε[10] τοῦτο[11] ποιῆσαι.

5. Ἔριφος καὶ Λύκος.

Ἔριφος ἐπί τινος δώματος ἑστὼς[12], ἐπειδὴ λύκον παριόντα[13] εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν[14] αὐτόν· ὁ δὲ λύκος ἔφη· Ὦ οὗτος[15], οὐ σύ με λοιδορεῖς[16], ἀλλ' ὁ τόπος[17].

6. Ταὼς καὶ Κολοιός.

Τῶν ὀρνίθων[18] βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίου[19] διὰ τὸ κάλλος χειροτονεῖν[20]. Αἱρουμέ-

---

1) Ἐκκολάπτω, ἐβγάλλω τὸ πουλὶ ἀπὸ τὸ αὐγόν, ξεκλωσσῶ. 2) Καθὼς καὶ παρ' ἡμῖν, διατί. 3) Ἀναφ. εἰς τὸ ταῦτα. 4) Ἀφ' οὗ αὐξηθῶσιν. 5) Τοῦ νὰ ἀδικῶσι, νὰ κακοποιῶσιν. 6) Ἀντὶ ἄρξονται. 7) Ζεύς, Διός, ὁ ὑπέρτατος θεὸς τῶν Ἑλλήνων καὶ Ῥωμαίων, υἱὸς τοῦ Κρόνου καὶ τῆς Ῥέας. 8) Παρουσιάζετο· ὑπῆγε νὰ εὕρῃ. 9) Εἰ ἔπληξας· ἂν ἤθελες πλήξῃ. 10) Οὐκ ἂν ἐπεχείρησε=δὲν ἤθελεν ἐπιχειρήσῃ. 11) Τὸ πατεῖν. 12) Ἐκ τοῦ ἑστηκώς, ἑσταώς, ἑστώς. 13) Πάρειμι. 14) Ἐχλεύαζε καὶ ὕβριζε. 15) Ὦ σὺ αὐτοῦ, ὦ φίλε. 16) Λοιδορέω-ῶ, κακολογῶ, ὑβρίζω. 17) Τὸ ἀσφαλὲς τοῦ τόπου ἢ ὁ τόπος ὁ παρέχων σοι τὴν ἀσφάλειαν. 18) Τὰ πτηνά. 19) Ἀξιόω-ῶ. 20) Ταὼς ἠξίου χειροτονεῖν διὰ τὸ ἑαυτοῦ κάλλος.

νων δὲ τοῦτον ἀπάντων, ὁ κολοιὸς ὑπολαβὼν[1], ἔφη· Ἀλλ' εἰ σοῦ βασιλεύοντος[2], ἀετὸς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις[3];

7. Σκώληξ καὶ Ἀλώπηξ.

Ὁ τῷ πηλῷ κρυπτόμενος σκώληξ, εἰς γῆν ἐξελθὼν, ἔλεγε πᾶσι τοῖς ζῴοις· Ἰατρός εἰμι φαρμάκων ἐπιστήμων, οἷός[4] ἐστιν ὁ τῶν θεῶν ἰατρὸς Παιών[5]. Καὶ πῶς, εἶπεν ἡ ἀλώπηξ, ἄλλους ἰώμενος[6] σαυτὸν χωλὸν ὄντα οὐκ ἰάσω;

8. Κόραξ νοσῶν.

Κόραξ νοσῶν ἔφη τῇ[7] μητρὶ κλαιούσῃ· Μὴ θρήνει, μῆτερ, ἀλλ' εὔχου τοῖς θεοῖς νόσου με ἀπαλλάξαι. Ἡ δὲ ὑπολαβοῦσα[8] ἔφη· Καὶ τίς σε, τέκνον, τῶν θεῶν ἐλεήσει[9]; τίνος γὰρ[10] ὑπὸ σοῦ βωμὸς[11] οὐκ ἐσυλήθη;

9. Ὗς καὶ Κύων.

Ὗς καὶ κύων περὶ εὐτοκίας[12] ἤριζον. Ἔφη δ' ἡ κύων[13], εὔτοκος εἶναι μάλιστα[14] πάντων τῶν πεζῶν[15]. Καὶ ἡ ὗς,

---

[1]) Διακόψας. [2]) Ἐν ᾧ σὺ βασιλεύεις. [3]) Θέλεις φανῇ ἱκανὸς νὰ μᾶς βοηθήσῃς; [4]) Ὁποῖος. [5]) Παιών, ῶνος, ἰατρὸς τῶν θεῶν. [6]) Ἰάομαι-ῶμαι=Ἰατρεύω, Μ. Ἰάσομαι ἀόρ. Ἰασάμην καὶ παθ. Ἰάθην, πθ. πρκ. Ἴαμαι καὶ τὸ θετ. Ἰατέον. [7]) =Τῇ ἑαυτοῦ μητρί. [8]) Ἀποκριθεῖσα. [9]) Τίς (ἐκ) τῶν θεῶν ἐλεήσει σε. [10]) Αἰτιολογικὸς τοῦ ὑπονοουμένου φημὶ δὲ τοῦτο ἢ οὐκ ἐλεήσουσί σε. [11]) Τὸ ἐν τῷ ναῷ ἢ ἄλλοθί που καθιδρυμένον θυσιαστήριον, ἐφ' οὗ ἐκαίοντο τοῦ θύματος μέρη χάριν τῶν θεων. [12]) Περὶ τοῦ τίς εἶνε εὐτοκωτέρα, δηλ. ποία γεννᾷ μὲ περισσοτέραν εὐκολίαν. [13]) Ὁ καὶ ἡ κύων. [14]) Εὔτοκος μάλιστα, περίφρασις ὑπερθετικοῦ. [15]) Πεζὰ λέγει τὰ ζῷα κατ' ἀντίθεσιν τῶν πτηνῶν καὶ τῶν ἑρπετῶν.

ὑποτυχοῦσα[1] πρὸς ταῦτα, φησίν· Ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι[2], ὅτι καὶ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις[3].

10. Γεωργὸς καὶ Ὄφις.

Γεωργὸς χειμῶνος ὥρᾳ ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα[4], τοῦτον ἐλεήσας καὶ λαβὼν ὑπὸ κόλπον[5] ἔθετο. Θερμανθεὶς δ' ἐκεῖνος καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν, ἔπληξε[6] τὸν εὐεργέτην.

11. Περιστερὰ καὶ Κορώνη.

Περιστερὰ ἔν τινι περιστερεῶνι τρεφομένη ἐπὶ πολυτεκνίᾳ ἐφρυάττετο[7]. Κορώνη δὲ αὐτῆς[8] ἀκούσασα ἔφη· Ἀλλ' ὦ αὕτη[9], πέπαυσο[10] ἐπὶ τούτῳ[11] σεμνυνομένη, ὅσῳ γὰρ ἂν πλείονα τίκτῃς, τοσούτῳ καὶ πλείους λύπας[12] συνάγεις.

12. Χελώνη καὶ Ἀετός.

Χελώνη ἀετοῦ ἐδεῖτο ἵπτασθαι αὐτὴν διδάξαι[13]. Τοῦ[14] δὲ παραινοῦντος, πόρρω[15] τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο[16]. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι καὶ εἰς ὕψος ἀνενεγκὼν[17], εἶτ' ἀφῆκεν. Ἡ δέ, κατὰ πετρῶν πεσοῦσα, συνετρίβη.

---

1) Ὑποτυγχάνω, διακόπτω τὸν λόγον τινὸς διὰ ν' ἀποκριθῶ. 2) Οἶδα. 3) Ἐντεῦθεν καὶ ἡ παροιμία· ἡ σκύλ' ἀπὸ τὴ βιάσι της στραβὰ κουτάβια κάνει. 4) Πήγνυμαι· ὁ πρκ. ἀμεταβάτως. 5) = Ὑπὸ τὸν ἑαυτοῦ κόλπον. 6) Ἐπλήγωσεν, ἐτραυμάτισεν. 7) Ὑπερηφανεύετο, ἐκόμπαζε. 7) Γενικὴ συντακτικὴ τοῦ ἀκούω. 9) Ὦ σύ. 10) Προστακ. παύομαι. 11) Δι' αὐτὸ τὸ πρᾶγμα, τὴν πολυτεκνίαν δηλ. 12 Τοῦτο τῇ λέγει, διότι τὰ παιδία της ἐγεννῶντο εἰς περιστερεῶνα, καὶ ὄχι ἐλεύθερα. 13) Διδάξαι αὐτὴν ἵπτασθαι, τελ. ἀπαρέμφ. 14) Τοῦ ἀετοῦ. 15) Ὅτι ἦτο ἐναντίον τῆς φύσεώς της τοῦτο (τὸ πέτεσθαι). 16) Ἐπέμενε. 17) Ἀναφέρω = φέρω ἐπάνω ὑψηλά, ἀναιβάζω, σηκόνω. Μέλ. ἀνοίσω. Ἀόρ. ἀνήνεγκον.

13. Τέττιξ καὶ Μύρμηκες.

Χειμῶνος ὥρᾳ τῶν σίτων βραχέντων, οἱ μύρμηκες ἔψυχον[1]. Τέττιξ δὲ λιμώττων ᾔτει[2] αὐτοὺς τροφήν. Οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· Διατί τό θέρος οὐ συνῆγες τροφήν; Ὁ δὲ εἶπεν· Οὐκ ἐσχόλαζον[3], ἀλλ' ᾖδον[4] μουσικῶς. Οἱ δὲ γελάσαντες εἶπον· Ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος[5] ὀρχοῦ.

14. Ὄνος καὶ λεοντῆ.

Ὄνος δορὰν λέοντος ἐπενδυθεὶς λέων ἐνομίζετο πᾶσι· καὶ φυγὴ μὲν ἦν ἀνθρώπων[6], φυγὴ δὲ ποιμνίων. Ὡς δὲ, ἀνέμου πνεύσαντος, ἡ δορὰ περιῃρέθη, καὶ γυμνὸς ὁ ὄνος ἦν, τότε πάντες ἐπιδραμόντες[7] ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον[8].

15. Ὄρνις χρυσοτόκος.

Ὄρνιθά τις εἶχεν ᾠὰ χρυσᾶ τίκτουσαν· καὶ νομίσας ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι κτείνας[9] εὕρηκεν[10] ὁμοίαν τῶν λοιπῶν ὀρνίθων[11]. Ὁ δὲ[12] ἀθρόον πλοῦτον ἐλπίσας εὑρήσειν, καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.

---

[1]) Ἐξήραινον αὐτούς, τοὺς σίτους. [2]) Αἰτέω-ῶ καὶ (μσ.) αἰτοῦμαι. Μ. ήσω, ήσομαι. Ζητῶ (γυρεύω) τι παρά τινος, παρακαλῶ νά μοι δοθῇ. [3]) Δὲν εἶχον εὐκαιρίαν. [4]) Ἄδω. [5]) Ἐν ὥραις γειμῶνος. [6]) Δηλ. ἔφευγον οἱ ἄνθρωποι. [7]) Ἐπιτρέχω. Μ. θρέξομαι ἤ δραμοῦμαι. Τρέχω ἐπάνω ἢ κατεπάνω τινός. [8]) Ἐκτύπουν. [9]) Κτείνω, Μελ. κτενῶ, Ἀόρ. β'. ἔκτανον, παρακ. ἔκτονα = σκοτώνω, φονεύω, ἀποκτείνω. [10]) Αὐτὴν οὖσαν. [11]) Ἀδοκίμως ἀντὶ τοῦ: ὁμοίαν ταῖς λοιπαῖς ὄρνισιν. [12]) Δὲν ἀποτελεῖ ἀντίθεσιν πρὸς ἄλλο τι πρόσωπον ἀλλὰ μεταξὺ τοῦ κτείνας καὶ ἐλπίσας. Οἷον κτείνας (μὲν) εὕρηκεν· ἐλπίσας δὲ ὁ (οὗτος), ἐστέρηται.

16. Λέων καὶ Ὄνος καὶ Ἀλώπηξ.

Λέων καὶ ὄνος καὶ ἀλώπηξ, κοινωνίαν[1] ποιησάμενοι, ἐξῆλθον εἰς ἄγραν[2]. Πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ διελεῖν[3] αὐτοῖς. Ὁ δὲ τρεῖς μερίδας ποιησάμενος ἐκ τῶν ἴσων[4], ἐκλέξασθαι αὐτοὺς προὐτρέπετο. Καὶ ὁ λέων θυμωθεὶς τὸν ὄνον κατέφαγεν· εἶτα τῇ ἀλώπεκι μερίζειν ἐκέλευσεν. Ἡ δ' εἰς μίαν μερίδα πάντα σωρεύσασα ἑαυτῇ βραχύ τι[5] κατέλιπε[6]. Καὶ ὁ λέων πρὸς αὐτήν[7]· Τίς σε, ὦ βελτίστη, διαιρεῖν οὕτως ἐδίδαξεν; ἡ δ' εἶπεν· Ἡ τοῦ ὄνου συμφορά.

17. Σελήνη καὶ Μήτηρ[8].

Σελήνη ποτὲ ἐδεῖτο[9] τῆς ἑαυτῆς μητρός, ὅπως αὐτῇ χιτώνιον ὑφήνῃ σύμμετρον. Ἡ δ' εἶπεν· Καὶ πῶς σύμμετρον ὑφήνω; νῦν μὲν γὰρ ὁρῶ σε πανσέληνον, αὖθις δὲ μηνοειδῆ[10], ποτὲ δ' ἀμφίκυρτον[11].

18. Κοχλίαι.

Γεωργοῦ παῖς ὤπτα[12] κοχλίας. Ἀκούσας δὲ αὐτῶν τριζόντων ἔφη· Ὦ κάκιστα ζῷα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων[13], αὐτοὶ[14] ᾄδετε;

---

1) Συντροφίαν, ἑταιρείαν. 2) Κυνήγιον. 3) Νὰ μοιράσῃ εἰς αὐτοὺς τὸ κυνήγιον. 4) Δηλ. ἴσας. 5) Μικρόντιμέρος. 6) Καταλείπω. 7) Εἶπεν εἰς αὐτήν. 8) Κατὰ τὴν μυθολογίαν ἡ μήτηρ τῆς Σελήνης καλεῖται Θεία 9) Παρεκάλει. 10) Οὕτω λέγεται, ὅτε μικρὸν μέρος αὐτῆς μόνον φαίνεται πρὸς ἡμᾶς φωτεινόν, τὸ δὲ λοιπὸν οὐδόλως φαίνεται. 11) Οὕτω λέγεται, ὅτε τὸ πλεῖστον μέρος τῆς σελήνης εἶνε φωτεινόν, τὸ δὲ λοιπὸν σκοτεινόν. 12) Ὀπτάω -ῶ [ὀπτὸς] Μ. ἤσω. Ψήνω. 13) Ἐμπίπρημι, βάλλω (δίδω) φωτιάν, πυρπολῶ, κατακαίω. Ἐμπιπραμένων=ἐνῷ καίονται. 14) Δηλ. ὑμεῖς αὐτοί, σεῖς.

19. Ψύλλα

Ψύλλα ποτὲ πηδήσασα ἐπὶ πόδα ἀνδρὸς ἐκάθισεν· ὁ δὲ[1] τὸν Ἡρακλῆ ἐπὶ συμμαχίαν ἐκάλει. Τῆς δὲ[2] ἐκεῖθεν αὖθις ἀφαλομένης[3], στενάξας εἶπεν· Ὦ Ἡράκλεις, εἰ ἐπὶ ψύλλῃ[4] οὐ συνεμάχησας, πῶς ἐπὶ μείζοσιν ἀνταγωνισταῖς συνεργήσεις;

20. Γεωργὸς καὶ παῖδες αὐτοῦ.

Γεωργός τις μέλλων καταλύειν τὸν βίον[5] καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος[6] αὐτοὺς ἔφη· Παῖδες ἐμοί, ἐγὼ μὲν ἤδη τοῦ βίου ὑπέξειμι[7], ὑμεῖς δὲ, ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται[8], ζητήσαντες εὑρήσετε πάντα. Οἱ μὲν οὖν, οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι[9], πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν· καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

21. Λύκος καὶ ποιμένες.

Λύκος ἰδὼν ποιμένας ἐσθίοντας ἐν σκηνῇ πρόβατον, ἐγγὺς προσελθὼν ἔφη· Ἡλίκος[10] ἂν ἦν ὑμῖν θόρυβος, εἰ ἐγὼ τοῦτο ἐποίουν.

22. Κώνωψ καὶ Βοῦς.

Κώνωψ ἐπὶ κέρατος βοὸς ἐκαθέζετο[11] καὶ ηὔλει. Εἶπε δὲ πρὸς τὸν βοῦν· Εἰ βαρύνω σου τὸν τένοντα, ἀναχω-

---

[1]) Ἀνήρ. [2]) Ψύλλας. [3]) Ἀφάλλομαι, Μ. αλοῦμαι=πηδῶ ἀπὸ ἓν εἰς ἄλλο μέρος. [4]) Κατὰ ψύλλου. [5]) Καταλύειν τὸν βίον = θνήσκειν. [6]) Προσκαλέσας πρὸς ἑαυτόν. [7]) Μέλλ. τοῦ ὑπεξέρχομαι. [8]) Ὑπ' ἐμοῦ εἶνε κεκρυμμένα. [9]) Κατορύσσω, ὅτι ἦτο παραχωμένος. [10]) Πόσος, εἶπε, μέγας θόρυβος ἤθελε γείνῃ, ἐὰν ἐγὼ ἔπραττον τοῦτο. [11]) Καθέζομαι.

ρήσω. Ὁ δὲ ἔφη· Οὔτε ὅτε ἦλθες, ἔγνων[1], οὔτε ἐὰν μένης, μελήσει μοι[2].

23. Ὄνου σκιά.

Δημοσθένης[3] ὁ ῥήτωρ λέγειν ποτὲ κωλυόμενος ὑπὸ Ἀθηναίων ἐν ἐκκλησίᾳ[4], βραχὺ ἔφη βούλεσθαι πρὸς αὐτοὺς εἰπεῖν. Τῶν δὲ σιωπησάντων, νεανίας, εἶπε, θέρους ὥρᾳ παρά τινος ἐμισθώσατο ἐξ ἄστεος[5] ὄνον Μέγαράδε. Μεσούσης δὲ τῆς ἡμέρας καὶ σφόδρα φλέγοντος τοῦ ἡλίου, ἑκάτερος αὐτῶν ἐβούλετο ὑποδύεσθαι[6] ὑπὸ τὴν σκιάν· εἶργον δὲ ἀλλήλους, ὁ μὲν[7] λέγων μεμισθωκέναι τὸν ὄνον, οὐ τὴν σκιάν, ὁ δὲ μεμισθωμένος πᾶσαν ἔχειν ἐξουσίαν. Καὶ ταῦτα εἰπὼν ἐσιώπησεν ὁ ῥήτωρ καὶ ἀπαλλαγῆναι ἐβούλετο. Τῶν δὲ Ἀθηναίων αὐτὸν κωλυόντων καὶ δεομένων πέρας ἐπιθεῖναι[8] τῷ λόγῳ· Ὑπὲρ μὲν ὄνου σκιᾶς, ἔφη, βούλεσθε ἀκούειν, ὑπὲρ δὲ σπουδαίων πραγμάτων οὐ βούλεσθε.

24. Ἀλώπηξ.

Ἀλώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ[9] καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν

---

1) Γιγνώσκω. 2) Δηλ. θὰ φροντίσω, θά μοι μέλῃ. 3) Περίφημος ῥήτωρ, υἱὸς τοῦ Δημοσθένους, Παιανιεύς, γεννηθεὶς τῷ 385 πρὸ Χ. Οἱ σωζόμενοι 61 Λόγοι του καί τινες Ἐπιστολαί, εἶνε πρότυπον εὐγλωττίας. 4) Ἐκκλησία λέγεται ἡ συνάθροισις πολιτῶν πρὸς σύσκεψιν περὶ τῶν κοινῶν. 5) Ἄστυ, εος καὶ εως· κάστρον, πόλις (κυρ. πρωτεύουσα καὶ περιτειχισμένη) (ἰδιαιτ. δὲ ἡ) ἀκρόπολις (καὶ κατ' ἐξοχὴν τῶν Ἀθηνῶν.) 6) Νὰ χωθῇ, νὰ καταφύγῃ ὑπὸ τὴν σκιάν. 7) Ὁ κύριος τοῦ ὄνου. 8) Νὰ τελειώσῃ. 9) Τοῦ παριστάνοντος εἰς τὸ θέατρον.

μορμολυκείου[1] εὐφυῶς κατεσκευασμένην, ἣν καὶ ἀναλαβοῦσα ταῖς χεροὶν ἔφη· Ὦ οἵα[2] κεφαλὴ καὶ ἐγκέφαλον οὐκ ἔχει!

25. Μυῖαι.

Ἔν τινι ταμείῳ[3] μέλιτος ἐκχυθέντος, μυῖαι προσπτᾶσαι[4] κατήσθιον. Ἐμπαγέντων[5] δὲ τῶν ποδῶν αὐτῶν, ἀναπτῆναι οὐκ εἶχον. Ἀποπνιγόμεναι δὲ, ἔλεγον· Ἄθλιαι ἡμεῖς! ὅτι διὰ βραχεῖαν[6] βρῶσιν ἀπολλύμεθα.

26. Αἰθίοψ.

Αἰθίοπά τις ὠνήσατο[7] τοιοῦτον[8] εἶναι τὸ χρῶμα δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος[9]. Καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα[10], πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο καθαίρειν. Καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ εἶχε[11], νοσεῖν[12] δὲ τὸ πονεῖν παρεσκεύασε[13].

27. Γέρων καὶ Θάνατος.

Γέρων ποτὲ ξύλα κόψας καὶ ταῦτα φέρων πολλὴν ὁδὸν ἐβάδιζε. Καὶ διὰ τὸν πολὺν κόπον ἀποθέμενος ἐπὶ τόπῳ τινὶ τὸν φόρτον[14], τὸν Θάνατον ἐπεκαλεῖτο. Τοῦ δὲ Θανά-

---

1) Μορμολύκειον καὶ μορμολύκη, προσωπίδα, (Ιταλ. μάσκα) κοινῶς μουτσοῦνα. Οἱ ἀρχαῖοι ὑποκριταὶ ἐφόρουν προσωπίδας εἰς τὸ θέατρον. 2) Ὁποία, πόσον ὡραία. 3) Εἰς ἀποθήκην. 4) Πρὸς (αὐτὸ) πτᾶσαι. Ἵπταμαι. 5) Ἐμπήγνυμι. 6) Ὀλίγην. 7) Ὠνέομαι-οῦμαι. Ἀγοράζω. 8) Κατηγορούμενον τοῦ εἶναι. 9) Τοῦ πρώην κυρίου του. 10) Πᾶν ὅ,τι ἐχρησίμευε διὰ πλύσιμον, σαποῦνι, ἀλησσίβα κτλ. 11) Ἠδύνατο. 12) Τελ. ἀπαρέμφ. ἐξαρτ. ἐκ τοῦ παρεσκεύασε. 13) Τὸν ἔκαμε ν' ἀσθενήσῃ. 14) Τὸ φόρτωμα.

του παρόντος[1] καὶ πυνθανομένου[2] τὴν αἰτίαν, δι' ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων ἔφη· Ἵνα τὸν φόρτον μοι ἄρῃς[3].

28. Λύκος καὶ Ἐρωδιός[4].

Λύκος καταπιὼν ὀστοῦν περιῄει[5] ζητῶν τὸν ἰασόμενον[6]. Περιτυχὼν δ' ἐρωδιῷ τοῦτον παρεκάλει ἐπὶ μισθῷ τὸ ὀστοῦν ἐξελεῖν[7]· κἀκεῖνος καθεὶς[8] τὴν ἑαυτοῦ κεφαλὴν εἰς τὸν φάρυγγα αὐτοῦ τὸ ὀστοῦν ἐξέσπασε καὶ τὸν ὁμολογηθέντα[9] μισθὸν ἐξῄτει. Ὁ δὲ λύκος γελάσας καὶ τοὺς ὀδόντας δείξας φησίν· Ἀρκεῖ σοι καὶ τὸ μόνον σῶαν ἐξελεῖν τὴν κεφαλήν.

29. Ἀηδὼν καὶ Ἱέραξ.

Ἀηδὼν ἐφ' ὑψηλῆς δρυὸς καθημένη κατὰ τὸ σύνηθες ᾖδεν[10] ἱέραξ δ' αὐτὴν θεασάμενος, ὡς ἠπόρει τροφῆς, ἐπιπτὰς συνέλαβεν· ἡ δὲ μέλλουσα ἀναιρεῖσθαι ἐδεῖτο μεθεῖναι[11] αὐτὴν λέγουσα, ὡς οὐχ ἱκανή ἐστιν ἱέρακος γαστέρα αὐτὴ πληρῶσαι· δεῖν δ' αὐτόν, εἰ τροφῆς ἀπορεῖ ἐπὶ τὰ μείζονα τῶν ὀρνέων τρέπεσθαι. Καὶ ὃς ὑπολαβὼν εἶπεν· Ἀλλ' ἔγωγε ἀπόπληκτος[12] ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην βορὰν[13] ἀφεὶς τὰ μηδέπω φαινόμενα διώκοιμι.

---

[1]) Πάρειμι, ἐπειδὴ παρῆν, ἦλθε. [2]) Ἐρωτῶντος. [3]) Αἴρω=Σηκόνω. [4]) Εἶδος πτηνοῦ. [5]) Περίειμι. Περιήρχετο, ἐτριγύριζε. [6]) Ζητῶν τινά, ὁ ὁποῖος νὰ τὸν θεραπεύσῃ· δηλ. τοῦ ἐκβάλῃ τὸ ὀστοῦν ἀπὸ τοῦ φάρυγγος. [7]) Ἐξαιρέω-ῶ = ἐκβάλλω (ἀόρ. ἐξεῖλον), παίρνω ἀπὸ μέσα, ἐβγάλω τι ἀπό .... [8]) Καθίημι=χώνω, εἰσάγω, καταιβάζω (καὶ μσ. ἢ ἑλλ.) καταιβαίνω. [9]) Ὑποσχεθέντα, συμφωνηθέντα [10]) Ἄδω (κατὰ κρ. ἐκ τοῦ Ἰων. Ἀείδω) Μ. ᾄσομαι καὶ ἀδοκίμως ᾄσω. Ψάλλω, τραγουδῶ· ἐπὶ πτηνῶν δέ, κελαδῶ. [11]) Μεθίημι=ἀφίημι, ἀφίνω παραιτῶ. [12]) Ἠλίθιος. [13]) Βορὰ =τροφὴ (κυρίως τῶν σαρκοφάγων ζῴων).

30. Ἀλώπηξ καὶ Βάτος.

Ἀλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὀλισθαίνειν[1] ἔμελλε βάτου ἐπελάβετο[2]. Ξανθεῖσα[3] δὲ τὸ πέλμα[4] καὶ δεινῶς διατεθεῖσα ᾐτιᾶτο αὐτήν, ὅτι καταφυγοῦσα ἐπ' αὐτὴν ὡς ἐπὶ βοηθὸν χείρονι αὐτῇ ἐχρήσατο[5]. Καὶ ἡ βάτος ὑπολαβοῦσα εἶπεν· Ἀλλ' ἐσφάλης[6] τῶν φρενῶν, ὦ αὕτη, ἐμοῦ ἐπιλαβέσθαι βουληθεῖσα, ἣ πάντων ἐπιλαμβάνεσθαι εἴωθα.

31. Κόραξ καὶ Ἀλώπηξ.

Κόραξ κρέας ἁρπάσας ἐπί τινος δένδρου ἐκάθισεν Ἀλώπηξ δὲ τοῦτον θεασαμένη, βουλομένη δὲ καὶ τὸ κρέας ἁρπάσαι, στᾶσα ἐπαινεῖ αὐτὸν ὡς εὐμεγέθη τε καὶ καλόν, λέγουσα καὶ ὅτι πρέπει μάλιστα αὐτὸν τῶν ὀρνέων βασιλεύειν, καὶ τοῦτο πάντως ἂν γένοιτο[7], εἰ φωνὴν εἶχεν. Ὁ δέ, βαλὼν[8] τὸ κρέας, μεγάλα ἔκραγεν· ἐκείνη δὲ προσδραμοῦσα[9] ἔφη· Ὦ κόραξ, εἰ καὶ φρένας εἶχες, οὐδὲν ἂν ἔδει σοι εἰς τὸ βασιλεύειν.

32. Λέων καὶ Βάτραχος.

Λέων ἀκούσας ποτὲ βατράχου μέγα[10] βοῶντος, ἐπεστράφη[11] πρὸς τὴν φωνὴν οἰόμενος μέγα τι ζῷον εἶναι[12].

---

1) Νὰ γλιστρήσῃ. 2) Ἐπιάσθη. 3) Ξεγδαρθεῖσα. 4) Τὸ ὑποκάτω τοῦ ποδὸς δέρμα (πατοῦνα). 5) Εὗρεν αὐτὴν χειροτέραν, ἔπαθε δηλ. πολὺ χειρότερα ἢ ἐὰν ἔπιπτεν. 6) Σφάλλω Μ. σφαλῶ, ἀόρ. ἔσφηλα, πθ. πρκ. ἔσφαλμαι, ἀόρ. πθ. ἐσφάλην. Ἐσφάλης τῶν φρενῶν = ἔχασες τὰ μυαλά σου, ἠπατήθης εἰς τὰς σκέψεις σου. 7) Καὶ τοῦτο ἐξ ἅπαντος ἠδύνατο νὰ γείνῃ. 8) Ὁ δὲ κόραξ ῥίψας κάτω. 9) Προσδραμών, οῦσα, όν, μετοχὴ τοῦ ἀόρ. β'. τοῦ ῥήμ. Προστρέχω. 10) Ἐπιρρηματικῶς, ἀντὶ μεγαλοφώνως. 11) Ἐστράφη πρὸς τὰ ὀπίσω. 12) Οἰόμενος αὐτὸν εἶναι (εἰδικ. απαρέμφ.) μέγα ζῷον.

Προσμείνας δὲ μικρὸν[1], ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

33. Ἔλαφος καὶ Λέων.

Ἔλαφος κυνηγοὺς φεύγουσα, εἰς ἄντρον εἰσέδυ[2]. Λέοντι δ' ἐκεῖ περιτυχοῦσα, ὑπ' αὐτοῦ συνελήφθη. Θνήσκουσα δ' ἔλεγεν· Οἴμοι![3] ὅτι, ἀνθρώπους φεύγουσα, τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον.

34. Λέων καὶ Μῦς.

Λέοντος κοιμωμένου, μῦς τῷ σώματι ἐπέδραμεν· ὁ δὲ ἐξαναστὰς συνέλαβεν αὐτόν. Ὁ δὲ μῦς ἐδεήθη αὐτοῦ μεθεῖναι[4] αὐτὸν, λέγων· Ὅτι σωθεὶς[5] πολλὰς χάριτας αὐτῷ ἀποδώσει[6]· γελάσας δὲ[7], ἀπέλυσεν αὐτόν· συνέβη δὲ αὐτὸν μετ' οὐ πολὺ τῇ τοῦ μυὸς χάριτι περισωθῆναι· ἐπειδὴ γὰρ συλληφθεὶς ὑπό τινων κυνηγῶν, καμίλῳ[8] ἐδέθη ἐπί τινι δένδρῳ, τηνικαῦτα[9] καὶ ὁ μῦς αὐτοῦ ἀκούσας στένοντος, ἐλθὼν, τὸν κάμιλον περιέτρωγε, καὶ λύσας αὐτὸν, ἔφη· Σὺ δὲ οὕτω μου κατεγέλασας, ὡς μὴ προσδοκῶν ἀμοιβὴν παρ' ἐμοῦ κομίσασθαι[10], νῦν δ' εὖ ἴσθι, ὅτι ἐστὶ καὶ παρὰ μυσὶ χάρις[11]

---

1) Μικρὸν χρόνον. 2) Εἰσδύομαι = χώνομαι, τρυπόνω, ἐμβαίνω. 3) Ἀλοίμονον εἰς ἐμένα. Οἴμοι ὅτι = δυστυχία εἰς ἐμέ, διότι 4) Νὰ τὸν ἀφήσῃ. 5) Ἀφ' οὗ σωθῇ. 6) Θὰ τὸν ἀνταμείψῃ. 7) Ὁ λέων. 8) Χονδρῷ σχοινίῳ, (παλαμάρι). 9) Ἐπίρρημα χρονικόν = κατ' ἐκεῖνον τὸν καιρόν, τότε. 10) Νὰ λάβῃς. 11) Δύναται νὰ λάβῃ τις χάριν ὡς καὶ παρὰ τῶν μυῶν, καὶ παρὰ τῶν ἐλαχίστων δηλαδή.



ΕΛΛΗΝΙΚΗ ΜΥΘΟΛΟΓΙΑ

ΕΚ ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ

ΑΠΟΛΛΟΔΩΡΟΥ

1. Προμηθεὺς καὶ Δευκαλίων.

Προμηθεὺς ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας ἔδωκεν αὐτοῖς καὶ πῦρ, λάθρᾳ Διός, ἐν νάρθηκι κρύψας· Ὡς δὲ ᾔσθετο Ζεύς, ἐπέταξεν Ἡφαίστῳ τῷ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι· τοῦτο δὲ Σκυθικὸν ὄρος ἐστίν. Ἐν δὴ τούτῳ προσηλωθεὶς Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν[1] ἐδέδετο· καθ' ἑκάστην δὲ ἡμέραν ἀετὸς ἐφιπτάμενος αὐτῷ τοὺς λοβοὺς ἐνέμετο[2] τῶν ἡπάτων[3] αὐξανομένων διὰ νυκτός.

---

[1])=Ἐπὶ πολλὰ ἔτη. [2]) Κατέτρωγε. [3]) Ἧπαρ, ἥπατος= τὸ συκότι, ὅπερ σύγκειται ἐκ τῶν δύω λεγομένων λοβῶν, τοῦ μικροῦ

Καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος δίκην ἔτινε[1] ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσεν[2], ὡς ἐν τοῖς καθ' Ἡρακλέα δηλώσομεν· Προμηθέως δὲ παῖς Δευκαλίων ἐγένετο. Οὗτος βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων ἄγεται[3] Πύρραν τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν ἔπλασαν θεοὶ πρώτην[4] γυναῖκα. Ἐπεὶ δὲ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν ἤθελε γένος[5], ὑποθεμένου[6] Προμηθέως Δευκαλίων τεκτηνάμενος λάρνακα, καὶ τὰ ἐπιτήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ Πύρρας εἰσέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας ἀνθρώπους, ὀλίγων χωρὶς οἳ συνεφοίτων εἰς τὰ πλησίον ὑψηλὰ ὄρη. Τότε δὲ καὶ τὰ κατὰ Θεσσαλίαν ὄρη διέστη[7], καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου συνεχύθη[8] πάντα. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας τὰς ἴσας τῷ Παρνασσῷ προσίσχει[9], κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων ἐκβὰς θύει Διὶ φυξίῳ. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἰτεῖσθαι ὅ τι βούλεται· ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι. Καὶ Διὸς εἰπόντος ὑπὲρ κεφαλῆς αἴρων ἔβαλε[10] λίθους, καὶ οὓς μὲν ἔβαλε Δευκαλίων, ἄνδρες ἐγένοντο, οὓς δὲ Πύρρα, γυ-

---

καὶ τοῦ μεγάλου. 1)=Ἐτιμωρεῖτο 2) Ἐλύτρωσε 3) Νυμφεύεται. 4) Ἡ Πύρρα ἦτο ἡ πρώτη, καθὸ διασωθεῖσα, γυνὴ μετὰ τὸν κατακλυσμόν. 5) Χαλκοῦν γένος ἐννοεῖ τὸν λεγόμενον χαλκοῦν αἰῶνα, καθ' ὃν ἐλέγετο ὅτι ἡ ἀνθρωπότης ἦτο ἀτελεστέρα καὶ ἀσθενεστέρα. Οἱ κατόπιν λέγονται ἀργυροῦς καὶ χρυσοῦς αἰών. 6) Συμβουλεύσαντος τοῦ Προμ. 7) Διεχωρίσθησαν. 8) =Ἔγιναν ἄνω κάτω. 9) Πιάνει, ἀράζει. 10) Ἔρριπτε

ναῖκες. Ὅθεν καὶ λαοὶ μεταφορικῶς ὠνομάσθησαν ἀπὸ τοῦ λᾶας ὁ λίθος.

Γίνονται δὲ ἐκ Πύρρας Δευκαλίωνι παῖδες Ἕλλην μὲν πρῶτος, ὃν ἐκ Διὸς γεγενῆσθαι λέγουσι, δεύτερος δὲ Ἀμφικτύων ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Ἀττικῆς, θυγάτηρ δὲ Πρωτογένεια, ἐξ ἧς καὶ Διὸς Ἀέθλιος. Ἕλληνος δὲ καὶ νύμφης Ὀρσηίδος Δῶρος Ξοῦθος Αἴολος. Αὐτὸς μὲν οὖν ἀφ' αὐτοῦ τοὺς καλουμένους Γραικοὺς προσηγόρευσεν Ἕλληνας, τοῖς δὲ παισὶν ἐμέρισε τὴν χώραν· καὶ Ξοῦθος μὲν λαβὼν τὴν Πελοπόννησον ἐκ Κρεούσης τῆς Ἐρεχθέως Ἀχαιὸν ἐγέννησε καὶ Ἴωνα, ἀφ' ὧν Ἀχαιοὶ καὶ Ἴωνες καλοῦνται, Δῶρος δὲ τὴν πέραν χώραν Πελοποννήσου λαβὼν τοὺς κατοίκους ἀφ' ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν, Αἴολος δὲ βασιλεύων τῶν περὶ τὴν Θεσσαλίαν τόπων τοὺς ἐνοικοῦντας Αἰολεῖς προσηγόρευσε.

2. Πελίας καὶ Ἰάσων.

Ἰάσων ὁ Αἴσονος τοῦ Κρηθέως ᾤκει ἐν Ἰωλκῷ, τῆς δὲ Ἰωλκοῦ Πελίας ἐβασίλευσε μετὰ Κρηθέα, ᾧ[1] χρωμένῳ περὶ τῆς βασιλείας ἐθέσπισεν ὁ θεὸς τὸν μονοσάνδαλον[2] φυλάξασθαι. Τὸ μὲν οὖν πρῶτον ἠγνόει τὸν χρησμόν, αὖθις δὲ ὕστερον αὐτὸν ἔγνω. Τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Ποσειδῶνι θυσίαν ἄλλους τε πολλοὺς ἐπὶ ταύτῃ καὶ τὸν Ἰάσονα μετεπέμψατο. Ὁ δὲ πόθῳ γεωρ-

[1]) Ὧ χρωμένῳ = εἰς τοῦτον (τὸν Πελίαν) ζητοῦντα χρησμόν.
[2]) = Ὁ φορῶν ἓν μόνον σάνδαλον, ὑπόδημα.

γίας[1] ἐν τοῖς χωρίοις διατελῶν ἔσπευσεν ἐπὶ τὴν θυσίαν, διαβαίνων δὲ ποταμὸν Ἄναυρον ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον ἀπολέσας ἐν τῷ ρείθρῳ πέδιλον. Θεασάμενος δὲ Πελίας αὐτὸν καὶ τὸν χρησμὸν συμβαλὼν[2] ἠρώτα προσελθών, τί ἂν ἐποίησεν ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν[3] αὐτῷ πρός τινος φονευθήσεσθαι τῶν πολιτῶν. Ὁ δέ, εἴτε ἐπελθὸν ἄλλως, εἴτε διὰ μῆνιν Ἥρας, ἵν' ἔλθοι κακὸν Μήδεια Πελίᾳ (τὴν γὰρ Ἥραν οὐκ ἐτίμα), «τὸ χρυσόμαλλον δέρας» ἔφη «προσέταττον ἂν φέρειν αὐτῷ». Τοῦτο Πελίας ἀκούσας εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν ἐκέλευσεν αὐτόν. Τοῦτο ἐν Κόλχοις ἦν ἐν Ἄρεος ἄλσει κρεμάμενον ἐκ δρυός, ἐφρουρεῖτο δὲ ὑπὸ δράκοντος ἀΰπνου.

Ἐπὶ τοῦτο πεμπόμενος Ἰάσων Ἄργον παρεκάλεσε τὸν Φρίξου, κἀκεῖνος Ἀθηνᾶς ὑποθεμένης πεντηκόντορον ναῦν κατεσκεύασε τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ κατασκευάσαντος Ἀργώ· κατὰ δὲ τὴν πρῷραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον[4]. Ὡς δὲ ἡ ναῦς κατεσκευάσθη, [καὶ] χρωμένῳ ὁ θεὸς αὐτῷ πλεῖν ἐπέτρεψε συναθροίσαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος.

3. Ὁ Ἰάσων ἐν Κολχίδι.

Οἱ δὲ Ἀργοναῦται παραπλεύσαντες Θερμώδοντα καὶ Καύκασον[5] ἐπὶ Φᾶσιν[6] ποταμὸν ἦλθον. Οὗτος τῆς Κολ-

---

[1])=Ἐκ πόθου πρὸς τὴν γεωργικήν. [2]) Ἐξηγήσας. [3]) Ἐὰν εἶχε λάβει χρησμόν. [4])Ξύλον φωνῆεν=ἔχον φωνὴν ἀνθρωπίνην. [5]) Ὄρος τῆς Ἀσίας μεταξὺ Εὐξείνου Πόντου καὶ τῆς Κασπίας θαλάσσης. [6]) Ποταμὸς τῆς Καππαδοκίας ἐκβάλλων εἰς τὸν Εὔξεινον Πόντον.

χικῆς ἐστι γῆς. Καθορμισθείσης δὲ τῆς νεώς, ἧκε πρὸς Αἰήτην Ἰάσων καὶ τὰ ἐπιταγέντα ὑπὸ Πελίου λέγων παρεκάλει δοῦναι τὸ δέρας αὐτῷ· ὁ δὲ δώσειν ὑπέσχετο, ἐὰν τοὺς χαλκόποδας ταύρους μόνος καταζεύξῃ· ἦσαν δὲ ἄγριοι παρ' αὐτῷ ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον Ἡφαίστου, οἳ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δ' ἐκ στομάτων ἐφύσων. Τούτους αὐτῷ ζεύξαντι[1] ἐπετάσσετο σπείρειν δράκοντος ὀδόντας· εἶχε γὰρ λαβὼν παρ' Ἀθηνᾶς τοὺς ἡμίσεις, ὧν Κάδμος ἔσπειρεν ἐν Θήβαις. Ἀποροῦντος δὲ τοῦ Ἰάσονος, πῶς ἂν δύναιτο τοὺς ταύρους καταζεῦξαι, Μήδεια ἡ θυγάτηρ Αἰήτου δεδοικυῖα[2] μὴ πρὸς[3] τῶν ταύρων διαφθαρῇ, κρύφα τοῦ πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν ταύρων ἐπηγγείλατο καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὀμόσῃ αὐτὴν ἕξειν[4] γυναῖκα καὶ εἰς Ἑλλάδα σύμπλοον ἀγάγηται[5]. Ὁμόσαντος δὲ Ἰάσονος, φάρμακον δίδωσιν, ᾧ καταζευγνύναι μέλλοντα τοὺς ταύρους ἐκέλευσε χρῖσαι τήν τε ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γὰρ χρισθέντα, ἔφη, πρὸς μίαν ἡμέραν μήτε ὑπὸ πυρὸς ἀδικήσεσθαι μήτε ὑπὸ σιδήρου. Ἐδήλωσε δὲ αὐτῷ, σπειρομένων τῶν ὀδόντων, ἐκ γῆς ἄνδρας μέλλειν ἀναδύεσθαι[6] ἐπ' αὐτὸν καθωπλισμένους, οὓς ἔλεγεν, ἐπειδὰν ἀθρόους θεάσηται, βάλλειν[7] εἰς μέσον λίθους ἄποθεν· ὅταν δὲ ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους, τότε κτείνειν αὐτούς. Ἰάσων δὲ τοῦτο ἀκούσας καὶ χρισάμενος τῷ φαρμάκῳ, ἐμάστευε[8]

---

1) = Ἐὰν ἤθελε τοὺς ζεύξει. 2) Φοβηθεῖσα. 3) Ὑπό 4) Ὅτι θὰ τὴν νυμφευθῇ. 5) Θὰ τὴν ὁδηγήσῃ μαζῆ του εἰς τὴν Ἑλλ. 6) Νὰ ἐξέλθωσι (νὰ ξεφυτρώσωσιν) ἐκ τῆς γῆς. 7) Νὰ ῥίπτῃ. 8) Ἀνεζήτει.

τοὺς ταύρους καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας αὐτοὺς κατέζευξε· σπείροντος δὲ αὐτοῦ τοὺς ὀδόντας, ἀνέτελλον[1] ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι· ὁ δέ[2], ὅπου πλείονας ἑώρα, βάλλων ἀφανὴς[3] λίθους πρὸς αὐτοὺς μαχομένους ἀλλήλοις, προσιὼν ἀνῄρει· καὶ κατεζευγμένων τῶν ταύρων, οὐκ ἐδίδου τὸ δέρας Αἰήτης, ἐβούλετο δὲ τήν τε Ἀργὼ καταφλέξαι καὶ κτεῖναι τοὺς ἐμπλέοντας. Φθάσασα δὲ Μήδεια τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἤγαγε καὶ τὸν φυλάσσοντα δράκοντα κατακοιμίσασα τοῖς φαρμάκοις μετὰ Ἰάσονος ἔχουσα τὸ δέρας ἐπὶ τὴν Ἀργὼ παρεγένετο· συνείπετο δὲ[4] αὐτῇ καὶ ὁ ἀδελφὸς Ἄψυρτος· οἱ δὲ[5] νυκτὸς μετὰ τούτων ἀνήχθησαν.

4. Ἁρπαγὴ Περσεφόνης.

Πλούτων δὲ Περσεφόνης ἐρασθείς, Διὸς συνεργοῦντος ἥρπασεν αὐτὴν κρύφα. Δήμητρα δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιῄει[6]· μαθοῦσα δὲ παρ' Ἑρμιονέων ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς ἀπέλιπεν οὐρανόν, εἰκασθεῖσα δὲ γυναικὶ[7] ἧκεν εἰς Ἐλευσῖνα. Καὶ πρῶτον μὲν ἐπὶ τὴν ἀπ' ἐκείνης[8] κληθεῖσαν Ἀγέλαστον ἐκάθισε πέτραν παρὰ τὸ Καλλίχορον φρέαρ καλούμενον, ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα τὸν βασιλεύοντα τότε Ἐλευσινίων, Τριπτολέμῳ δὲ τῷ πρεσβυτέρῳ τῶν Μετανείρας παίδων δίφρον κατεσκεύασε πτηνῶν[9] δρακόντων καὶ πυρὸν ἔδωκεν, ᾧ

---

1) Ἐξήρχοντο, ἐξεφύτρονον. 2) Ὁ Ἰάσων. 3) Χωρὶς νὰ φαίνεται. 4) Συνηκολούθει δέ. 5) Οἱ Ἀργοναῦται. 6) Ζητοῦσα περιῄει = περιήρχετο καὶ ἐζήτει αὐτήν. 7) Λαβοῦσα μορφὴν γυναικὸς (θνητῆς δηλ. 8) Τῆς Δήμητρος. 9) Πτερωτῶν.

τὴν ὅλην οἰκουμένην δι' οὐρανοῦ αἰρόμενος κατέσπειρε.

Διὸς δὲ Πλούτωνι τὴν Κόρην ἀναπέμψαι κελεύσαντος, ὁ Πλούτων, ἵνα μὴ πολὺν χρόνον παρὰ τῇ μητρὶ καταμείνῃ, ῥοιᾶς ἔδωκεν αὐτῇ φαγεῖν κόκκον. Ἡ δὲ οὐ προϊδομένη τὸ συμβησόμενον κατηνάλωσεν αὐτόν. Καταμαρτυρήσαντος δὲ αὐτῆς Ἀσκαλάφου τοῦ Ἀχέροντος καὶ Γοργύρας, τούτῳ μὲν Δημήτηρ ἐν Ἅδου βαρεῖαν ἐπέθηκε πέτραν, Περσεφόνη δὲ καθ' ἕκαστον ἐνιαυτὸν τὸ μὲν τρίτον μετὰ Πλούτωνος ἠναγκάσθη μένειν, τὸ δὲ λοιπὸν παρὰ τοῖς θεοῖς.

5. Κέκροψ.

Κέκροψ αὐτόχθων, τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος, καὶ τὴν γῆν πρότερον λεγομένην Ἀκτὴν ἀφ' ἑαυτοῦ[1] Κεκροπίαν ὠνόμασεν. Ἐπὶ τούτου, φασίν, ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι, ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος. Ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικήν, καὶ πλήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν[2] ἀπέφηνε θάλασσαν[3], ἣν νῦν Ἐρεχθηίδα καλοῦσι, μετὰ δὲ τοῦτον ἧκεν Ἀθηνᾶ, καὶ ποιησαμένη τῆς καταλήψεως Κέκροπα μάρτυρα ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσείῳ δείκνυται. Γενομένης δὲ ἔριδος ἀμφοῖν[4] περὶ τῆς χώρας, Ἀθηνᾶν καὶ Ποσειδῶνα διαλύσας Ζεὺς κριτὰς ἔδωκεν οὐχ ὡς εἶπόν τινες, Κέκροπα καὶ Κραναόν, οὐδὲ Ἐρυσίχθονα, θεοὺς δὲ τοὺς δώδεκα. καὶ τούτων δικαζόντων ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος

1)=Ἀπὸ τοῦ ἑαυτοῦ ὀνόματος. 2)=Εἰς τὸ μέσον τῆς ἀκροπόλεως. 3) Ἔκαμε νὰ φανῇ θαλάσσιον ὕδωρ. 4) Μεταξὺ τῶν δύω. ἤτοι τοῦ Ποσειδῶνος καὶ τῆς Ἀθηνᾶς.

μαρτυρήσαντος ὅτι πρῶτον τὴν ἐλαίαν ἐφύτευσεν. Ἀθηνᾶ μὲν οὖν ἀφ' ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας, Ποσειδῶν δὲ θυμῷ ὀργισθεὶς τὸ Θριάσιον πεδίον ἐπέκλυσε καὶ τὴν Ἀττικὴν ὕφαλον ἐποίησε· Κέκροψ δὲ γήμας τὴν Ἀκταίου κόρην Ἄγραυλον παῖδα μὲν ἔσχεν Ἐρυσίχθονα, ὃς ἄτεκνος μετήλλαξε[1], θυγατέρας δὲ Ἄγραυλον, Ἕρσην, Πάνδροσον.

6. Ἀσκληπιός.

Ἀσκληπιὸν ἔτι βρέφος ὄντα, τῆς μητρὸς ἀποθανούσης[2] πρὸς Χείρωνα τὸν Κένταυρον ἤνεγκεν Ἀπόλλων, παρ' ᾧ καὶ τὴν ἰατρικὴν καὶ τὴν κυνηγετικὴν τρεφόμενος ἐδιδάχθη. Καὶ γενόμενος χειρουργικὸς καὶ τὴν τέχνην ἀσκήσας ἐπὶ πολὺ οὐ μόνον ἐκώλυέ τινας ἀποθνήσκειν, ἀλλ' ἀνήγειρε καὶ τοὺς ἀποθανόντας. Ζεὺς δὲ φοβηθείς, μὴ λαβόντες ἄνθρωποι θεραπείαν[3] παρ' αὐτοῦ βοηθῶσιν ἀλλήλοις, ἐκεραύνωσεν αὐτόν· καὶ διὰ τοῦτο ὀργισθεὶς Ἀπόλλων κτείνει Κύκλωπας τοὺς τὸν κεραυνὸν Διὶ κατασκευάσαντας. Ζεὺς δὲ ἐμέλλησε[4] ῥίπτειν αὐτὸν εἰς Τάρταρον, δεηθείσης[5] δὲ Λητοῦς ἐκέλευσεν αὐτὸν ἐνιαυτὸν ἀνδρὶ[6] θητεῦσαι· ὁ δὲ παραγενόμενος εἰς Φερὰς πρὸς Ἄδμητον τὸν Φέρητος τούτῳ λατρεύων[7] ἐποίμαινε καὶ τὰς θηλείας βόας πάσας διδυματόκους ἐποίησεν.

---

[1]) Ἐνν. ὡς ἀντικμ. τὸν βίον = ἀπέθανε. [2]) Ἀφ' οὗ ἀπέθανεν ἡ μήτηρ του, ἥτις ἦτο μία τῶν Νυμφῶν καλουμένη Κορωνίς. [3]) Διδαχθέντες οἱ ἄνθρωποι παρ' αὐτοῦ τὸν τρόπον τοῦ θεραπεύειν. [4]) Ἀπεφάσισεν, ἡτοιμάσθη. [5]) Ἐπειδὴ παρεκάλεσεν αὐτὸν ἡ Λητώ. [6]) Θνητῷ δηλ. [7]) = θητεύων = ὑπηρετῶν ἐπὶ μισθῷ.



Γ'. ΠΛΟΥΤΑΡΧΟΥ

ΕΚ ΤΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ

Ὁ Πλούταρχος ἐγεννήθη εἰς Χαιρώνειαν τῆς Βοιωτίας 50 ἔτη μ. Χ. Σπουδάσας δὲ τὴν Φιλοσοφίαν εἰς Ἀθήνας, τὴν ἐδίδαξεν εἰς Ῥώμην, καὶ ἐχρημάτισε διδάσκαλος τοῦ Αὐτοκράτορος Ἀδριανοῦ. Ὁ Τραϊανὸς τὸν διώρισεν ἔπαρχον Ἰλλυρίας. Περὶ τὰ ἔσχατά του δὲ διορισθεὶς ἱερεὺς τοῦ ἐν Δελφοῖς Ἀπόλλωνος, ἀπέθανεν ἑβδομηκοντούτης εἰς Χαιρώνειαν. Ἔγραψε 44 βιογραφίας ἐπισήμων Ἑλλήνων καὶ Ῥωμαίων, συγκρίνων τοὺς μὲν πρὸς τοὺς δέ, καὶ διὰ τοῦτο ἐπιγράφει αὐτὰς **Παραλλήλους βίους**. Συνέγραψε δὲ καὶ διάφορα ἄλλα **Ἠθικὰ** καὶ **Φιλοσοφικὰ** πονήματα.

---

1. Φωκίων[1] ὁ Ἀθηναῖος, πρὸς θυσίαν τινὰ τῶν Ἀθηναίων αἰτούντων ἐπιδόσεις[2] καὶ τῶν ἄλλων ἐπιδιδόντων, κληθεὶς πολλάκις· Αἰσχυνοίμην ἄν, εἶπεν, ὑμῖν μὲν ἐπιδιδούς, τούτῳ δὲ μὴ ἀποδιδούς, ἅμα δεικνύων τὸν δανειστήν.

2. Φίλιππος[3], ὁ Ἀλεξάνδρου πατήρ, ληφθέντων πολλῶν αἰχμαλώτων, ἐπίπρασκεν αὐτοὺς ἀνεσταλμένῳ τῷ

---

[1]) Περίφημος στρατηγὸς καὶ πολιτικὸς ἀνὴρ τῶν Ἀθηναίων ἀκμάσας ἐπὶ Φιλίππου καὶ Ἀλεξάνδρου τοῦ Μεγάλου. Κατηγορηθεὶς δέ, μετὰ θάνατον τοῦ Ἀλεξάνδρου, ὡς μακεδονίζων, κατεδικάσθη νὰ πίῃ τὸ κώνειον τὸ γ'. ἔτος τῆς 115 Ὀλυμπιάδος εἰς ἡλικίαν 84 ἐτῶν. [2]) Ἐπίδοσις, αὐτοπροαίρετος δόσις, προσφορὰ ἑκούσιος. [3]) Υἱὸς τοῦ Ἀμύντα τοῦ Β'. καὶ ἀδελφὸς τοῦ Περδίκκα, πατὴρ Ἀλεξάνδρου τοῦ Μεγάλου, βασιλεὺς τῶν Μακεδόνων, διορισθεὶς ὑπὸ πάσης τῆς Ἑλλάδος ἀρχηγὸς τῆς μελετωμένης κατὰ τῶν Περ-

χιτῶνι καθήμενος οὐκ εὐπρεπῶς· εἷς οὖν τῶν πωλουμένων ἀνεβόησε· Φεῖσαί[1] μου, Φίλιππε, πατρικὸς γάρ εἰμί σου φίλος· ἐρωτήσαντος δὲ τοῦ Φιλίππου· Πόθεν, ὦ ἄνθρωπε, γενόμενος[2], καὶ πῶς; Ἐγγὺς, ἔφη φράσαι σοι βούλομαι προσελθών· ὡς οὖν προσήχθη, μικρὸν, ἔφη, κατωτέρω τὴν χλαμύδα ποίησον· ἀσχημονεῖς[3] γὰρ οὕτω καθήμενος· καὶ ὁ Φίλιππος· Ἄφετε αὐτὸν, εἶπεν, ἀληθῶς γὰρ εὔνους ὢν καὶ φίλος ἐλάνθανε.

Μαχαίτᾳ δέ τινι κρίνων δίκην καὶ ὑπονυστάζων, οὐ πάνυ προσεῖχε τοῖς δικαίοις, ἀλλὰ κατέκρινεν· ἐκείνου δὲ ἀναβοήσαντος ἐκκαλεῖσθαι[4] τὴν κρίσιν, διοργισθείς. Ἐπὶ τίνα; εἶπε· καὶ ὁ Μαχαίτας· Ἐπὶ σὲ, βασιλεῦ, αὐτὸν, ἂν ἐγρηγορῶς[5] καὶ προσέχων ἀκούῃς. Τότε μὲν οὖν ἀνέστη[6]· γενόμενος δὲ μᾶλλον ἐφ' ἑαυτῷ[7], καὶ γνοὺς ἀδικούμενον τὸν Μαχαίταν, τὴν μὲν κρίσιν οὐκ ἔλυσε[8], τὸ δὲ τίμημα τῆς δίκης αὐτὸς ἐξέτισε.

Πρεσβύτιδος δὲ πενιχρᾶς ἀξιούσης ἐπ' αὐτοῦ κριθῆναι, καὶ πολλάκις ἐνοχλούσης, ἔφη, μὴ σχολάζειν· ἡ δὲ πρεσβῦτις ἐκκραγοῦσα. Καὶ[9] μὴ βασίλευε, εἶπεν. Ὁ δὲ, θαυμάσας τὸ ῥηθὲν, οὐ μόνον ἐκείνης ἀλλὰ καὶ τῶν ἄλλων εὐθὺς διήκουσεν[10].

σῶν ἐκστρατείας, εἰς τῆς ὁποίας τὰς προπαρασκευὰς ἐν ᾧ κατεγίνετο, ἐφονεύθη ὑπό τινος νέου Παυσανίου, τῷ 336 πρὸ Χ. εἰς ἡλικίαν 47 ἐτῶν. [1]) Φείδομαι. [2]) Ἐνν. αὐτῷ φίλος. [3]) Ἀσχημονέω-ῶ, φέρομαι ἄσχημα (ἄπρεπα, ἀδιάντροπα). [4]) Κάμνει ἔφεσιν τῆς δίκης εἰς ἀνώτερον δικαστήριον, ὅθεν καὶ ὠργίσθη ὁ Φίλιππος, διότι ἀνώτερον ἑαυτοῦ δικαστὴν δὲν ἐγνώριζεν. [5]) Ἀγρύπνως. [6]) Ἐσηκώθη καὶ ἀνεχώρησε, διέλυσε (καθὼς λέγομεν τώρα) τὴν συνεδρίασιν. [7]) Συνελθὼν εἰς ἑαυτὸν, καλοστοχασθεὶς τὸ πρᾶγμα. [8]) Ἠκύρωσε. [9]) Ὁ καὶ συμπερασματικός. Καὶ λοιπόν. [10]) Διακούω = ἀκούω προσεκτικῶς καὶ μέχρι τέλους.

3. Ἀλέξανδρος[1], ἔτι παῖς ὤν, πολλὰ τοῦ Φιλίππου κατορθοῦντος, οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας· Ἐμοὶ δὲ ὁ πατὴρ οὐδὲν ἀπολείψει. Τῶν δὲ παίδων λεγόντων ὅτι, ταῦτα σοὶ κτᾶται, τί δὲ ὄφελος, εἶπεν, ἐὰν ἔχω μὲν πολλά, πράξω δὲ μηδέν;

Ἀναξάρχῳ δὲ τῷ φιλοσόφῳ δοῦναι τὸν διοικητὴν[2] ἐκέλευσεν, ὅσον ἂν αἰτήσῃ· τοῦ δὲ διοικητοῦ φήσαντος, ὡς ἑκατὸν αἰτεῖται τάλαντα[3]· Καλῶς, ἔφη, ποιεῖ, γινώσκων ὅτι φίλον ἔχει καὶ δυνάμενον τηλικαῦτα δωρεῖσθαι καὶ βουλόμενον.

Παρατασσομένου δὲ τοῦ στρατεύματος, ἰδών τινα τῶν στρατιωτῶν τὸ ἀκόντιον ἐναγκυλούμενον[4], ἐξέωσε τῆς φάλαγγος ὡς ἄχρηστον, ὃς παρασκευάζεται δὴ νῦν, ὅτε δεῖ χρῆσθαι τοῖς ὅπλοις.

4. Ἀντίγονος, ἐπεί ποτε χειμῶνος ἐν τόποις σπανίζουσι τῶν ἐπιτηδείων ἠνάγκασε καταζεῦξαι[5], καὶ τῶν στρατιωτῶν τινες ἐλοιδόρουν αὐτόν, ἀγνοοῦντες ὅτι πλησίον ἐστὶ, τῇ βακτηρίᾳ τὴν σκηνὴν διαστείλας· Οἰμώξετε[6], εἶπεν, εἰ μὴ μακρότερον ἀποστάντες λοιδορήσετε ἡμᾶς.

Εἰπόντος δέ τινος, ὅτι πάντα καλὰ καὶ δίκαια τοῖς βα-

---

1) Υἱὸς τοῦ Φιλίππου βασιλέως τῆς Μακεδονίας καὶ τῆς Ὀλυμπιάδος θυγατρὸς τοῦ Νεοπτολέμου, ὁ ἐπικληθεὶς Μέγας, γεννηθεὶς τῷ 356 καὶ ἀποθανὼν ἐν Βαβυλῶνι τῷ 323 πρὸ Χ., ἀφ' οὗ κατεπολέμησε τὸν Δαρεῖον καὶ τοὺς Πέρσας καὶ κατέκτησε τὸ πλεῖστον μέρος τοῦ τότε ἐγνωσμένου Κόσμου. 2) Οἰκονόμον θησαυροῦ, ταμίαν. 3) Νόμισμα ἀξίας 6.000 δραχμῶν. 4) Ἐναγκυλόω-ῶ = βάλλω εἰς τὸ ἀκόντιον ἀγκύλην, (Ἀγκύλη τὸ κατὰ μέσης τοῦ ἀκοντίου λωρίον, ὅθεν κρατούμενον ἐρρίπτετο). 5) Στρατοπεδεῦσαι, κατασκηνῶσαι. 6) Θὰ σᾶς πάρῃ ὁ διάβολος! θὰ τιμωρηθῆτε.

σιλεῦσι· Ναὶ μὰ Δία[1], εἶπε, τοῖς τῶν βαρβάρων· ἡμῖν δὲ μόνα καλὰ, τὰ καλὸ, καὶ μόνα δίκαια, τὰ δίκαια.

5. Κότυς ὁ Θρᾳκῶν βασιλεὺς φύσει ὢν ὀξὺς εἰς ὀργὴν, καὶ πικρὸς τῶν ἁμαρτανόντων ἐν ταῖς διακονίαις[2] κολαστὴς, σκεύη ποτὲ κεραμεᾶ κομίσαντος αὐτῷ ξένου εὔθραυστα καὶ λεπτὰ, πιθανῶς[3] δὲ καὶ περιττῶς[4] εἰργασμένα γλυφαῖς τισι καὶ τορείαις[5], τῷ μὲν ξένῳ ἔδωκε δῶρα, τὰ δὲ σκεύη πάντα συνέτριψεν, ὅπως, εἶπε, μὴ δι' ὀργὴν πικρότερον κολάζω[6] τοὺς συντρίβοντας.

6. Ἀγαθοκλῆς υἱὸς ἦν κεραμέως· γενόμενος δὲ κύριος τῆς Σικελίας, καὶ βασιλεὺς ἀναγορευθεὶς εἰώθει κεραμεᾶ ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ, καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν, ὅτι τοιαῦτα ποιῶν πρότερον νῦν ταῦτα ποιεῖ διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρείαν.

7. Ἀρχέλαος, ἀδολέσχου[7] κουρέως ἐρωτήσαντος αὐτὸν, πῶς σε κείρω; Σιωπῶν, ἔφη.

8. Διονύσιος ὁ πρεσβύτερος[8], πρὸς τὸν πυθόμενον, εἰ σχολάζοι· Μηδέποτε, εἶπεν, ἐμοὶ τοῦτο συμβαίη.

9. Παιδάρητος[9] ὁ Λακεδαιμόνιος, οὐκ ἐγκριθεὶς εἰς τοὺς τριακοσίους, ἥτις ἦν ἐν τῇ πόλει πρωτεύουσα τιμὴ τῇ τάξει, ἱλαρὸς καὶ μειδιῶν ἀπῄει[10], χαίρειν λέγων, εἰ τριακοσίους ἡ πόλις ἔχει πολίτας ἑαυτοῦ βελτίονας.

---

1) Ζεύς-Διός. Ναὶ μὰ Δία, ὅρκος=ναὶ μὰ τὸν Θεόν. 2) Εἰς τὰς οἰκιακὰς ὑπηρεσίας. 3) Ἐντέχνως. 4) Καθ' ὑπερβολὴν, παρὰ πολύ. 5) Μὲ πλουμούδια, μὲ σκαλίσματα. 6) Τιμωρῶ. 7) Φλυάρου. 8) Τύραννος τῆς Σικελίας, πατὴρ τοῦ νεωτέρου Διονυσίου, ὅστις, ἐκπεσὼν τῆς ἀρχῆς ὑπὸ Δίωνος, κατήντησε γραμματοδιδάσκαλος εἰς τὴν Κόρινθον. 9) Στρατηγὸς τῶν Λακεδαιμονίων υἱὸς τοῦ Λέοντος. 10) Ἄπειμι, (παρατ. Ἀπῄειν)=Ἀπέρχομαι, ἀναχωρῶ.

10. Ἀνταλκίδας[1] πρὸς τὸν Ἀθηναῖον ἀμαθεῖς ἀποκαλοῦντα τοὺς Λακεδαιμονίους· Μόνοι γοῦν, εἶπεν, ἡμεῖς οὐδὲν μεμαθήκαμεν κακὸν παρ' ὑμῶν.

11. Πύρρον[2] τὸν Ἠπειρώτην οἱ υἱοὶ παῖδες ὄντες ἠρώτων, τίνι καταλείψει τὴν βασιλείαν καὶ ὁ Πύρρος εἶπεν· Ὃς ἂν ὑμῶν ὀξυτέραν ἔχῃ τὴν μάχαιραν.

Ἐπεὶ δὲ συμβαλὼν Ῥωμαίοις, οὐκ ἐνίκησε πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἀπολέσας· Ἂν ἔτι μίαν, ἔφη, μάχην Ῥωμαίους νικήσωμεν, ἀπολώλαμεν.

12. Θεμιστοκλῆς[3] ἔτι μειράκιον ὤν, ἐν πότοις ἐκυλινδεῖτο[4]· ἐπεὶ δὲ Μιλτιάδης στρατηγῶν ἐνίκησεν ἐν Μαραθῶνι τοὺς βαρβάρους, οὐκ ἔτι ἦν ἐντυχεῖν ἀτακτοῦντι Θεμιστοκλεῖ· πρὸς δὲ τοὺς θαυμάζοντας τὴν μεταβολὴν ἔλεγεν, ὡς οὐκ ἐᾷ με[5] καθεύδειν[6] οὐδὲ ῥαθυμεῖν[7] τὸ Μιλτιάδου τρόπαιον.

Πρὸς δὲ Σιμωνίδην ἐξαιτούμενόν τινα κρίσιν οὐ δικαίαν, ἔφη, μήτ' ἂν ἐκεῖνον γενέσθαι ποιητὴν ἀγαθὸν ᾄδοντα παρὰ μέλος μήτ' αὐτὸν ἄρχοντα χρηστὸν, δικάζοντα παρὰ τὸν νόμον.

---

[1]) Ἀνταλκίδας, Σπαρτιάτης, πρεσβεύσας εἰς Περσίαν μετα τὴν ἐν Κορίνθῳ μάχην καὶ συνθέμενος τῷ 387 πρὸ Χ. τὴν ἐκ τοῦ ὀνόματος αὐτοῦ γνωριζομένην διαβόητον ἐκείνην εἰρήνην, δι' ἧς παρεχωροῦντο αἱ ἐν τῇ Ἀσίᾳ Ἑλληνικαὶ πόλεις εἰς τὴν ἐξουσίαν τῶν Περσῶν. [2]) Ὁ περίφημος Βασιλεὺς τῆς Ἠπείρου, υἱὸς τοῦ Αἰακίδου καὶ τῆς Φθίας, θυγατρὸς τοῦ Μέμνονος. [3]) Ὁ περίφημος στρατηγὸς τῶν Ἀθηναίων, εἰς τὴν φρόνησιν τοῦ ὁποίου χρεωστεῖ ἡ Ἑλλὰς τὴν σωτηρίαν της καὶ ἡ πατρὶς αὐτοῦ αἱ Ἀθῆναι τὴν δόξαν της, υἱὸς τοῦ Νεοκλέους, ἀποθανὼν ἐν Μαγνησίᾳ τῆς μικρᾶς Ἀσίας τὸ β'. ἔτος τῆς 77 Ὀλυμπιάδος, εἰς ἡλικίαν 60 χρόνων. [4]) Κυλινδέομαι-οῦμαι, κυλίομαι. [5]) Δέν με ἀφίνει. [6]) Καθεύδω=κοιμοῦμαι. [7]) Νὰ περνῶ τὸν καιρόν μου εἰς τρυφὰς καὶ ἀναπαύσεις.

Τῶν δὲ τὴν θυγατέρα μνωμένων[1] αὐτοῦ τὸν ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας, ἄνδρα ἔφη ζητεῖν χρημάτων δεόμενον μᾶλλον ἢ χρήματα ἀνδρός.

Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὐτὸν ἀλλὰ διὰ τὴν πόλιν ἔνδοξός ἐστιν· Ἀληθῆ λέγεις, εἶπεν, ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν[2] ἐγενόμην ἔνδοξος, οὔτε σύ, Ἀθηναῖος.

Ἀδειμάντου δέ, ναυμαχεῖν μὴ τολμῶντος, εἰπόντος πρὸς τὸν Θεμιστοκλέα, τοὺς Ἕλληνας παρακαλοῦντα καὶ προτρέποντα, ὦ Θεμιστόκλεις, τοὺς ἐν τοῖς ἀγῶσι προεξανισταμένους[3], μαστιγοῦσιν ἀεί· Ναί, εἶπεν, ὦ Ἀδείμαντε· τοὺς δὲ λειπομένους οὐ στεφανοῦσιν.

13. Ἀντίοχος[4] ὁ στρατεύσας δεύτερος ἐπὶ Πάρθους, ἔν τισι κυνηγεσίῳ καὶ διωγμῷ τῶν φίλων καὶ θεραπόντων ἀποπλανηθείς, εἰς ἔπαυλιν πενήτων ἀνθρώπων ἀγνοούμενος εἰσῆλθε· καὶ παρὰ τὸ δεῖπνον ἐμβαλὼν λόγον περὶ τοῦ βασιλέως, ἤκουσεν ὅτι τἄλλα χρηστός ἐστι, φίλοις δὲ μοχθηροῖς ἐπιτρέπων τὰ πλεῖστα παρορᾷ[5], καὶ πολλάκις ἀμελεῖ τῶν ἀναγκαίων διὰ τὸ λίαν φιλόθηρος εἶναι· τότε μὲν οὖν ἐσιώπησεν, ἅμα δὲ ἡμέρᾳ τῶν δορυφόρων παραγενομένων ἐπὶ τὴν ἔπαυλιν, φανερὸς γενόμε-

---

1) Τῶν ζητούντων τὴν θυγατέρα αὐτοῦ εἰς γάμον. 2) Μετοχὴ ὑποθετική. Σερίφιος ὢν = εἰ ἦν Σερίφιος 3) Προεξανίσταμαι = σηκόνομαι πρῶτος ἢ πρὸ τοῦ καιροῦ ἀπὸ τὸν τόπον μου. «Ἐν τοῖς ἀγῶσιν οἱ προεξανιστάμενοι ῥαπίζονται,» Ἡρ. καὶ μετνμ. «Προεξανέστη τῷ πολέμῳ,» Πλ., ἄρχισε (ἔδωκε πρῶτος αἰτίαν εἰς) τὸν πόλεμον. 4) Υἱὸς Σελεύκου τοῦ Νικάτορος δεύτερος βασιλεὺς τῆς Συρίας, ὁ ἐπονομασθεὶς Σωτήρ, διότι ἀπὸ τοῦ 281 πρὸ Χ. ἐβασίλευσεν 20 ἔτη φρονίμως καὶ δικαίως. 5) Παραβλέπει.

νος προσφερομένης τῆς πορφύρας[1] αὐτῷ καὶ τοῦ διαδήματος[2]· Ἀλλ' ἀφ' ἧς, εἶπεν, ἡμέρας ὑμᾶς ἀνείληφα, πρῶτον χθὲς ἀληθινῶν λόγων ἤκουσα περὶ ἐμαυτοῦ.

14. Ἀριστείδης[3] δὲ ὁ δίκαιος ἀεὶ καθ' αὑτὸν ἐπολιτεύετο, καὶ τὰς ἑταιρείας ἔφευγεν, ὡς τῆς ἀπὸ τῶν φίλων δυνάμεως ἀδικεῖν ἐπαιρούσης.

Ἐχθρὸς δὲ ὢν τοῦ Θεμιστοκλέους, καὶ πρεσβευτὴς ἐκπεμφθεὶς σὺν αὐτῷ· Βούλει, φησὶν, ὦ Θεμιστόκλεις, ἐπὶ τῶν ὅρων τὴν ἔχθραν ἀπολίπωμεν; ἂν γὰρ δοκῇ, πάλιν αὐτὴν ἐπανιόντες[4] ληψόμεθα.

15. Κάτων[5] ὁ πρεσβύτερος, πολλῶν ὁρῶν ἀνισταμένους ἀνδριάντας· Περὶ ἐμοῦ δὲ, ἔφη, ἐρωτᾶν βούλομαι μᾶλλον τοὺς ἀνθρώπους, διὰ τί ἀνδριὰς οὐ κεῖται Κάτωνος, ἢ διὰ τί κεῖται.

16. Κικέρων[6] ὁ ῥήτωρ, Κάστον Ποπίλλιον νομικὸν εἶναι βουλόμενον, ὄντα δὲ ἀμαθῆ καὶ ἀφυῆ, προσεκαλεῖτο μάρτυρα πρός τινα δίκην. Εἰπόντος δ' ἐκείνου μηδὲν γινώσκειν· Οἴει γὰρ ἴσως, εἶπε, περὶ τῶν νομίμων ἐπερωτᾶσθαι.

---

[1]) Πορφύρα εἶδος θαλασσινοῦ (κογχύλης,) τοῦ ὁποίου τὸν χυμὸν μετεχειρίζοντο ὡς βαφήν· ὕφασμα (κυρ. μάλλινον) βαμμένον μὲ πορφύραν· ἰδιαιτέρως δὲ (ὡς ἐνταῦθα) τὸ βασιλικὸν ἐπανωφόριον. [2]) Διάδημα, ἡ περὶ τὴν κεφαλὴν τῶν βασιλέων (κυανόλευκος) ταινία, κορώνα. [3]) Υἱὸς τοῦ Λυσιμάχου, περίφημος στρατηγὸς τῶν Ἀθηναίων, ἐπονομασθεὶς Δίκαιος, διὰ τὴν περὶ τὰ ἰδιωτικὰ καὶ δημόσια δικαιοσύνην αὐτοῦ, σύγχρονος δὲ καὶ ἀντίζηλος τοῦ Θεμιστοκλέους. [4]) Ἐπανιὼν, οῦσα, όν, μετχ. τοῦ Ἐπανέρχομαι. [5]) Ῥωμαῖος ὕπατος καὶ στρατηγὸς ἔνδοξος. Ἐθαυμάσθη διὰ τὸν φιλοσοφικόν του βίον, καὶ διέπρεψε καὶ ὡς ῥήτωρ καὶ ὡς ἱστορικός· ἀπέθανε δὲ εἰς ἡλικίαν 85 ἐτῶν. [6]) Κικέρων Μάρκος Τούλλιος, περίφημος ῥήτωρ τῶν Ῥωμαίων, γεννηθεὶς τῷ 104 πρὸ Χ

17. Παυσανίας ὁ Κλεομβρότου, τῶν φυγάδων[1] αὐτὸν προτρεπομένων ἐπὶ τοὺς Ἀθηναίους ἄγειν τὴν στρατιὰν, λεγόντων τε ὅτι τοῖς Ὀλυμπίοις[2] ἀνακηρυττομένου αὐτοῦ, ἐσύριττον αὐτὸν μόνοι· Τί οὖν οἴεσθε, ἔφη, τοὺς ὅτε εὖ ἔπασχον συρίττοντας, παθόντας κακῶς, ποιήσειν;

18. Πολυκρατίδας, πρεσβεύων πρὸς τοὺς τοῦ βασιλέως[3] στρατηγοὺς μεθ' ἑτέρων, ἐρομένων αὐτῶν[4], πότερον ἰδίᾳ[5] πάρεισιν, ἢ δημοσίᾳ ἐπέμφθησαν· Αἴ κε[6] τύχωμεν, δημοσίᾳ, εἶπεν· εἰ δὲ μὴ, ἰδίᾳ.

19. Σπαρτιάτης, ἐπεὶ τὰς ἁπαλὰς ἀμυγδαλᾶς τῶν σκληρῶν ἑώρα διπλασίου[7] πωλουμένας· Μὴ σπάνιοι, ἔφη, οἱ λίθοι;

Ἧκόν ποτε κατὰ πρεσβείαν[8] Λάκωνες πρὸς Λύγδαμιν[9] τὸν τύραννον· ὡς δ' ἐκεῖνος ὑπερτιθέμενος πολλάκις συντυχεῖν, ἀνεβάλλετο, τὸ δ' ἐπὶ πᾶσι[10] μαλακῶς ἔχειν ἔφασαν[11] αὐτὸν, οἱ πρέσβεις· Λέγε αὐτῷ, εἶπον, ὅτι μὰ τοὺς Θεοὺς οὐ παλαισόμενοι πρὸς αὐτὸν ἐληλύθαμεν, ἀλλὰ διαλεχθησόμενοι.

---

1) Ἀθηναίων. 2) Ἐνν. τοῖς Ὀλυμπίοις ἀγῶσιν. 3) Ἐνν. πάντοτε ὁ τῶν Περσῶν. 4) Τῶν τοῦ βασιλέως. 5) Ἰδιωτικῶς, δι' ἰδίαν αὐτῶν ὑπόθεσιν. 6) Δωρικῶς ἀντὶ ἐάν. 7) Ἐνν. τιμήματος. 8) Ὡς πρέσβεις. 9) Λύγδαμις, βασιλεὺς τῶν Κιμμερίων, εἰσβαλὼν εἰς τὴν μικρὰν Ἀσίαν καὶ ἀποκατασταθεὶς ἐν Κιλικίᾳ. 10) Καὶ τέλος πάντων. 11) Οἱ περὶ τὸν τύραννον θεράποντες.



Δ'. ΔΙΟΓΕΝΟΥΣ ΛΑΕΡΤΙΟΥ

ΑΠΟΦΘΕΓΜΑΤΑ ΦΙΛΟΣΟΦΩΝ

Διογένης ὁ ἐπικληθεὶς Λαέρτιος, διότι κατήγετο ἐκ Λαέρτης τῆς ἐν Κιλικίᾳ πόλεως, ἤκμασε περὶ τὰ 250 μετὰ Χριστόν. Συνέγραψεν *ἱστορίαν* τῆς *φιλοσοφίας*, ἢ τοὺς *Βίους* καὶ τὰ *Ἀποφθέγματα* τῶν ἐπισημοτέρων φιλοσόφων τῆς Ἑλλάδος, εἰς δέκα βιβλία. Τὸ σύγγραμμά του, διά τε τὸ πλῆθος ὅσων πραγμάτων ἀναφέρει καὶ διὰ πολλὰ διασωθέντα ἐν αὐτῷ χωρία συγγραφέων, τῶν ὁποίων ἀπωλέσθησαν τὰ πρωτότυπα, εἶνε ἐκ τῶν πολυτιμοτέρων τῆς ἀρχαιότητος.

1. Θαλοῦ.

1. Θαλῆς[2] ὁ Μιλήσιος, οὐδὲν ἔφη τὸν θάνατον διαφέρειν τοῦ ζῆν· Σὺ οὖν, ἔφη τις, διὰ τί οὐκ ἀποθνήσκεις; Ὅτι, ἔφη, οὐδὲν διαφέρει.

2. Ἐρωτηθείς, πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς· Ὅσον, ἔφη, ὀφθαλμοὶ[3] τῶν ὤτων.

3. Ἐρωτηθείς, τί δύσκολον, ἔφη· Τὸ ἑαυτὸν γνῶναι. Τί δὲ εὔκολον; τὸ ἄλλῳ ὑποτίθεσθαι[4]. Τί ἥδιστον, τὸ ἐπιτυγχάνειν. Τί τὸ θεῖον; τὸ μήτε ἀρχὴν ἔχον, μήτε

[1]) Ἀπόφθεγμα, λόγος ἐκφράζων ἐν ἄκρᾳ συντομίᾳ μεγάλην καὶ βιωφελῆ ἀλήθειαν. [2]) Θαλῆς, Θαλοῦ καὶ Θάλητος. Εἷς τῶν ἑπτὰ σοφῶν τῆς Ἑλλάδος, ἐκ Μιλήτου τῆς μικρᾶς Ἀσίας καθιδρυτὴς τῆς Ἰωνικῆς Σχολῆς. [3]) Ἐνν. Ἀπέχουσιν. [4]) Τὸ νὰ συμβουλεύῃ δηλ. ἄλλον.

τελευτήν. Πῶς ἂν ἄριστα καὶ δικαιότατα βιώσαιμεν; Ἐὰν ἃ τοῖς ἄλλοις ἐπιτιμῶμεν, αὐτοὶ μὴ δρῶμεν[1].

2. Σόλωνος.

1. Σόλων[2] ἀποβαλὼν υἱὸν[3] ἔκλαιεν· εἰπόντος δέ τινος πρὸς αὐτὸν, ὡς οὐδὲν προὔργου[4] ποιεῖ κλαίων· Δι' αὐτὰ γάρ τοι τοῦτο[5], ἔφη, κλαίω.

2. Ὁ αὐτὸς ἐπετίμα τινὶ κυβεύοντι· τοῦ δὲ λέγοντος περὶ μικροῦ[6] παίζειν· Ἀλλὰ τὸ ἔθος οὐ μικρὸν, ἔφη.

3. Βίαντος.

1. Βίας[7] ποτὲ συμπλέων ἀσεβέσι, χειμαζομένης[8] τῆς νεὼς, κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων· Σιγᾶτε, ἔφη, μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας.

2. Ἥδιον, ἔλεγε, δικάζειν μεταξὺ ἐχθρῶν ἢ φίλων. Τῶν μὲν γὰρ φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον· τῶν δ' ἐχθρῶν τὸν ἕτερον φίλον.

4. Διογένους.

1. Διογένης[9], τοὺς Ἀθηναίους ἔφασκε (δεικνὺς τὴν τοῦ Διὸς στοὰν), πομπεῖον[10] αὐτῷ κατεσκευακέναι ἐνδιαιτᾶσθαι.

---

[1]) Δράω-ῶ=πράττω, κάμνω κτλ. [2]) Σόλων ὁ περίφημος τῶν Ἀθηναίων νομοθέτης, υἱὸς τοῦ Ἐξηκεστίδου, καταγόμενος ἐκ τῆς οἰκίας τοῦ Κόδρου. [3]) Ἐπειδὴ ἔχασε, τοῦ ἀπέθανεν εἷς υἱός του. [4]) Ἀττικῶς, ἀντὶ πρὸ ἔργου· προὔργου ποιεῖ, δὲν κατορθώνει τίποτε. [5]) Ὅτι δηλ. οὐδὲν προὔργου ποιῶ· ὁ δὲ γὰρ αἰτιολογεῖ πρότασιν νοουμένην εὖ οἶδα=διότι γνωρίζω ἴσα ἴσα ὅτι δὲν κατορθώνω τίποτε, διὰ τοῦτο κλαίω. [6]) Ὅτι ἔπαιζε μικρόν, ἀσήμαντον ποσόν. [7]) Εἷς τῶν 7 σοφῶν, ἐκ Πριήνης τῆς μικρᾶς Ἀσίας. [8]) Χειμάζομαι, ὑποφέρω φουρτοῦναν, κινδυνεύω εἰς τὸ πέλαγος, θαλασσομαχῶ. [9]) Περίφημος Κυνικὸς φιλόσοφος ἐκ Σινώπης, σύγχρονος τοῦ Μεγάλου Ἀλεξάνδρου. [10]) Κτίριον μεγαλοπρεπὲς ἀπὸ τοῦ ὁποίου ἐκινοῦσαν αἱ πομπαὶ εἰς τὰς ἑορτάς.

2. Ὀνειδιζόμενός ποτε ὅτι ἐν ἀγορᾷ ἔφαγεν· Ἐν ἀγορᾷ γάρ, ἔφη, καὶ ἐπείνησα.

3. Ἐρωτηθεὶς τί ποιῶν Κύων καλεῖται, ἔφη· Τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων.

4. Ἰδὼν τοξότην ἀφυῆ, παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπών· Ἵνα μὴ πληγῶ.

5. Ἤτει ποτὲ ἀνδριάντα[1]· ἐρωτηθεὶς δὲ διὰ τί τοῦτο ποιεῖ; Μελετῶ, εἶπεν, ἀποτυγχάνειν.

6. Ἔλεγεν ὡς, ὅταν μὲν ἴδῃ κυβερνήτας ἐν τῷ βίῳ καὶ ἰατροὺς καὶ φιλοσόφους, συνετώτατον εἶναι τῶν ζῴων νομίζειν τὸν ἄνθρωπον, ὅταν δὲ πάλιν ὀνειροκρίτας καὶ μάντεις καὶ τοὺς προσέχοντας τούτοις ἢ τοὺς ἐπὶ δόξῃ καὶ πλούτῳ πεφυσημένους[2], οὐδὲν ματαιότερον νομίζειν ἀνθρώπου.

7. Τοὺς μουσικοὺς ἔλεγε τὰς μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρμόττεσθαι, ἀνάρμοστα δ' ἔχειν τῆς ψυχῆς τὰ ἤθη· τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν πρὸς τὴν ἥλιον καὶ τὴν σελήνην, τὰ δ' ἐν ποσὶ πράγματα παρορᾶν· τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς.

8. Πυνθανομένου τινὸς πῶς ἄν τις ἑαυτοῦ διδάσκαλος γένοιτο· Εἰ ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις, ἔφη, καὶ ἑαυτῷ ἐπιτιμῴη μάλιστα.

9. Θεασάμενός ποτε παιδίον ταῖς χερσὶ πῖνον ἐξέρριψε τῆς πήρας[3] τὴν κοτύλην[4], εἰπών· Παιδίον με νενίκηκεν

---

[1]) Ἐζήτει χρήματα παρ' ἀνδριάντος. [2]) Ὑπερηφανευομένους. [3]) Πήρα, σακκοῦλα (κυρίως πέτσινη διὰ τὸν δρόμον) ἐν γένει ταγάρι. [4]) Εἶδος ποτηρίου, κανκί.

εὐτελείᾳ· ἐξέβαλε δὲ καὶ τὸ τρυβλίον ὁμοίως παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε τὸ σκεῦος, τῷ κοίλῳ ... τοῦ ψωμίου τὴν φακῆν ὑποδεχόμενον.

5. Ἀριστοτέλους.

1. Ἀριστοτέλης[1] ἐρωτηθείς, τί παραγίνεται κέρδος τοῖς ψευδομένοις; Ὅταν, ἔφη, λέγωσιν ἀλήθειαν, μὴ πιστεύεσθαι.

2. Ἀκούσας ὑπό τινος λοιδορεῖσθαι· Ἀπόντα με, ἔφη, καὶ μαστιγούτω.

3. Ἐρωτηθείς, πῶς ἂν προκόπτοιεν οἱ μαθηταί; ἔφη· Ἐὰν τοὺς προέχοντας διώκοντες[2], τοὺς ὑστεροῦντας μὴ ἀναμένωσι.

4. Πρὸς τὸν εἰπόντα ἀδολέσχην, ἐπειδὴ πολλὰ αὐτοῦ κατήντλησε[3], μή τί σου κατεφλυάρησα; Μὰ Δί', εἶπεν· οὐ γάρ σοι προσεῖχον.

5. Ὀνειδιζόμενός ποτε ὅτι πονηρῷ ἀνθρώπῳ ἐλεημοσύνην ἔδωκεν· Οὐ τὸν τρόπον[4], εἶπεν, ἀλλὰ τὸν ἄνθρωπον ἠλέησα.

6. Ἀντισθένους.

1. Ἀντισθένης[5], κατ' ἀρχὰς μὲν ἤκουσε Γοργίου τοῦ ῥήτορος, ὕστερον δὲ παρέβαλε Σωκράτει· οἰκῶν τε ἐν Πειραιεῖ, καθ' ἑκάστην ἡμέραν τοὺς τεσσαράκοντα

---

[1]) Περίφημος φιλόσοφος, υἱὸς τοῦ Νικομάχου καὶ τῆς Φαιστιάδος ἐκ Σταγείρων τῆς Μακεδονίας. [2]) Τρέχοντες κατόπιν νὰ τοὺς φθάσωσιν. [3]) Κατεφλυάρησεν, ἐζάλισε μὲ τὴν πολυλογίαν του. [4]) Τὴν διαγωγήν, τὸν χαρακτῆρα. [5]) Φιλόσοφος περίφημος Ἀθηναῖος, μαθητὴς τοῦ Γοργίου καὶ τοῦ Σωκράτους, συστήσας τὴν αἵρεσιν τῶν Κυνικῶν καλουμένων φιλοσόφων, τὴν ὁποίαν ἐδίδασκεν εἰς τὸ Κυνόσαργες καλούμενον Γυμνάσιον.

σταδίους[1] ἀνιὼν, ἤκουεν αὐτοῦ· παρ' οὗ καὶ τὸ καρτερικὸν λαβὼν, καὶ τὸ ἀπαθὲς ζηλώσας, κατῆρξε πρῶτος τοῦ κυνισμοῦ[2].

2. Οὗτος, πρὸς τὸ μέλλον φοιτᾶν αὐτῷ μειράκιον, καὶ πυθόμενον τίνων αὐτῷ δεῖ, ἔφη· Βιβλιαρίου καινοῦ, καὶ γραφείου καινοῦ, καὶ πινακιδίου καινοῦ[3].

7. Ἀριστίππου.

1. Ἀρίστιππος[4] ἐρωτηθεὶς ὑπὸ Διονυσίου[5], διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι; ἔφη· Ὅτι οἱ μὲν ἴσασιν, ὧν[6] δέονται, οἱ δὲ οὐκ ἴσασιν. Ἄλλου δέ τινος εἰπόντος, ὡς ἀεὶ τοὺς φιλοσόφους βλέπει παρὰ ταῖς τῶν πλουσίων θύραις. Καὶ γὰρ καὶ οἱ ἰατροὶ, φησὶ, παρὰ ταῖς τῶν νοσούντων[7]· ἀλλ' οὐ διὰ τοῦτό τις ἕλοιτ' ἂν νοσεῖν ἢ ἰατρεύειν[8].

2. Εἰς Κόρινθον αὐτῷ πλέοντί ποτε καὶ χειμαζομένῳ συνέβη ταραχθῆναι. Πρὸς οὖν τὸν εἰπόντα· Ἡμεῖς μὲν οἱ ἰδιῶται οὐ δεδοίκαμεν, ὑμεῖς δὲ οἱ φιλόσοφοι δειλιᾶτε· Οὐ γὰρ περὶ ὁμοίας, ἔφη, ψυχῆς ἀγωνιῶμεν ἕκαστοι.

3. Ἐρωτηθεὶς ὑπό τινος, τί αὐτοῦ ὁ υἱὸς ἀμείνων ἔσται παιδευθείς; Καὶ εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδήσεται λίθος ἐπὶ λίθου.

4. Συνιστάντος τινὸς αὐτῷ υἱὸν[9], ᾔτησε πεντακοσίας

---

[1]) Τοὺς ἀπὸ τοῦ Πειραιῶς εἰς τὸ ἄστυ, τὰς Ἀθήνας. [2]) Τῆς τῶν Κυνικῶν φιλοσόφων αἱρέσεως. [3]) Ἔλεγε μὲν καινοῦ ὁ φιλόσοφος, παρεδήλου δ' ἀστειότατα τὸ καὶ νοῦ. [4]) Κυρηναῖος, φιλόσοφος, μαθητὴς τοῦ Σωκράτους. [5]) Τοῦ τυράννου τῶν Συρακοσίων. [6]) Ἐκεῖνα ὧν. [7]) Θύραις εἰσί. [8]) Μᾶλλον νὰ νοσῇ παρὰ νὰ εἶνε ἰατρός. [9]) Ὡς μαθητήν.

δραχμάς· τοῦ δ' εἰπόντος, τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι· Πρίω[1] τοίνυν, ἔφη, καὶ ἕξεις δύο.

5. Δεόμενός ποτε περὶ φίλου Διονυσίου, καὶ μὴ ἐπιτυγχάνων, εἰς πόδας αὐτοῦ ἔπεσε· πρὸς οὖν τὸν ἐπισκώψαντα· Οὐκ ἐγὼ, φησὶν, αἴτιος, ἀλλὰ Διονύσιος ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων.

8. Ἀναχάρσιδος.

1. Ἀνάχαρσις[2], τὴν ἄμπελον, εἶπε, τρεῖς φέρειν βότρυς· τὸν πρῶτον, ἡδονῆς· τὸν δεύτερον, μέθης· τὸν τρίτον, μανίας.

2. Ἐρωτηθεὶς, τίνα τῶν πλοίων ἀσφαλέστερα, ἔφη· Τὰ νενεωλκημένα[3].

3. Ὀνειδιζόμενος δὲ ὑπὸ Ἀττικοῦ[4], ὅτι Σκύθης ἐστὶν, ἔφη· Ἀλλ' ἐμοὶ μὲν ὄνειδος ἡ πατρὶς, σὺ δὲ τῆς πατρίδος.

9. Χίλωνος.

1. Χίλων[5], πρὸς τὸν ἀδελφὸν δυσφοροῦντα, ὅτι μὴ ἔφορος ἐγένετο, αὐτοῦ ὄντος· Ἐγὼ μὲν γὰρ ἐπίσταμαι, εἰπεῖν, ἀδικεῖσθαι, σὺ δὲ οὔ.

2. Ἐρωτηθεὶς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων; ἔφη· Ἐλπίσιν ἀγαθαῖς.

3. Τί δύσκολον; Τὸ τὰ ἀπόρρητα σιωπῆσαι καὶ σχολὴν εὖ διαθέσθαι καὶ ἀδικούμενον δύνασθαι φέρειν[6].

---

[1]) Προστακτικὴ τοῦ μέσ. ἀορ. ἐπριάμην τοῦ ῥήμ. ὠνοῦμαι=ἀγοράζω. [2]) Σκύθης, ἐλθὼν ἐπὶ Σόλωνος εἰς τὴν Ἑλλάδα καὶ φιλοσοφήσας. [3]) Νεολκῶ=τραβῶ τὸ καράβι ἀπὸ τῆς θαλάσσης ἔξω εἰς τὴν ξηράν. [4]) Κατοίκου τῆς Ἀττικῆς. [5]) Εἷς τῶν 7 σοφῶν τῆς Ἑλλάδος, Λακεδαιμόνιος, υἱὸς τοῦ Δημαγήτου, χρηματίσας καὶ Ἔφορος ἐν Σπάρτῃ, ἀπέθανε δὲ ὑπὸ τῆς χαρᾶς ὅτε ἐνηγκαλίσθη τὸν υἱόν του ὡς Ὀλυμπιονίκην. [6]) Ὑπομένειν, ὑποφέρειν.

4. Ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν· ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε, τὸ δὲ διὰ παντός.

5. Ταχύτερον ἐπὶ τὰς ἀτυχίας τῶν φίλων ἢ ἐπὶ τὰς εὐτυχίας πορεύεσθαι.

6. Τὴν γλῶτταν μὴ προτρέχειν τοῦ νοῦ.

10. Ζήνωνος.

Ζήνων[1] πρὸς τοὺς ἀπολογουμένους ὑπὲρ τῆς αὐτῶν ἀσωτίας καὶ λέγοντας ἐκ πολλοῦ τοῦ περιόντος[2] ἀναλίσκειν ἔλεγεν· Ἦ που καὶ τοῖς μαγείροις συγγνώσεσθε, ἐὰν ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα, ὅτι πλῆθος ἁλῶν[3] αὐτοῖς ὑπῆρχεν;

11. Σωκράτους.

1. Σωκράτης[4] ἐν γήρᾳ[5] κιθαρίζων παρὰ Κόννῳ τῷ κιθαρῳδῷ ἐτύγχανε· καί τινος εἰπόντος· Κιθαρίζεις τηλικοῦτος ὤν; Κρεῖττον, εἶπεν, ὀψιμαθῆ[6] εἶναι ἢ ἀμαθῆ.

2. Ξανθίππης δὲ τῆς γυναικὸς ἐπιτιμώσης αὐτῷ, διότι λιτῶς παρεσκευάζετο ὑποδέξασθαι φίλους· Ὦ γύναι, εἶπεν, εἰ μὲν ἡμέτεροί εἰσιν, οὐδὲν ἐκείνοις μελήσει[7]· εἰ δὲ ἀλλότριοι[8], ἡμῖν περὶ αὐτῶν οὐδὲν μελήσει.

---

[1]) Ζήνων ὁ Κιτιεύς, υἱὸς τοῦ Μνασέου, ἐκ τῆς ἐν Κύπρῳ πόλεως Κιτίου, ἀρχηγὸς τῆς Στωικῆς αἱρέσεως, ἀκμάσας περὶ τὰ 300 πρὸ Χ. καὶ διδάξας ἐν Ἀθήναις ἐν τῇ ποικίλῃ Στοᾷ, ἀφ' ἧς ἐπωνομάσθη καὶ ἡ αἵρεσίς του. [2])=ἐκ τοῦ περισσεύματος πολλοῦ ὄντος. [3]) Οἱ ἅλες = ἁλάτι. [4]) Ἀθηναῖος, περίφημος φιλόσοφος καὶ ἱδρυτὴς συστήματος φιλοσοφικοῦ ἀποβλέποντος εἰς τὴν ἠθικοποίησιν τοῦ ἀνθρώπου. Κατηγορηθεὶς δὲ ἑβδομηκοντούτης ὑπὸ τοῦ Ἀνύτου καὶ Μελήτου, ὅτι ἐδίδασκε τοὺς νέους νὰ πιστεύωσιν εἰς νέους θεοὺς κατεδικάσθη εἰς τὸν διὰ κωνείου θάνατον. [5]) Ὅτε ἦτο γέρων. [6]) Ὀψιμαθὴς (ὀψὲ μανθάνω), ὁ μαθητεύων (διδασκόμενος ἢ διδαχθείς τι εἰς περασμένην ἡλικίαν. [7]) Ὅτι δηλ. λιτῶς ὑπεδεξάμεθα. [8]) Ἀντιτίθεται πρὸς τὸ ἡμέτεροι.

3. Πρὸς δὲ τὸν ἐρόμενον, πῶς ἄν τις ἄγοι[1] καλῶς τοὺς ἰδίους παῖδας, εἶπε· Νέους μὲν ὄντας παιδεύσας, ἄνδρας δὲ γενομένους διδάξας συμπεριφέρεσθαι τοῖς ἀποβαίνουσι καὶ τὴν οὐσίαν[2] διανείμας αὐτοῖς, ἵνα μὴ διὰ τοῦτο ἐχθροὶ γένωνται.

4. Πολλὰ[3] δὲ τῶν φίλων αὐτῷ πεμπόντων, ἐπειδὴ μηδὲν δεχόμενος ἐπὶ τούτῳ παρὰ τῆς Ξανθίππης εὐθύνετο[4], ἔφη· Ἂν τὰ διδόμενα πάντα ἑτοίμως λαμβάνωμεν, οὐδ' αἰτοῦντες τοὺς διδόντας ἕξομεν.

12. Κλεάνθους.

Κλεάνθης[5] διεβοήθη, ὥς γε πένης ὢν ὥρμησε μισθοφορεῖν, καὶ νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει, μεθ' ἡμέραν δὲ ἐν τοῖς λόγοις ἐγυμνάζετο· ὅθεν καὶ Φρεάντλης ἐκλήθη. Φασὶ δὲ Ἀντίγονον[6] αὐτοῦ πυθέσθαι, ὄντα ἀκροατὴν, διὰ τί ἀντλεῖ; τὸν δ' εἰπεῖν· Ἀντλῶ γὰρ μόνον, τί δ', οὐχὶ σκάπτω; τί δ', οὐκ ἄρδω[7], καὶ πάντα ποιῶ φιλοσοφίας ἕνεκα;

13. Πιττακοῦ.

1. Πιττακὸς[8], ἔλεγεν· Ὃ μέλλεις πράττειν, μὴ πρόλεγε, ἀποτυχὼν γὰρ, γελασθήσει.

2. Φίλον μὴ λέγειν κακῶς, ἀλλὰ μηδὲ ἐχθρόν· εὐσέβειαν ἀσκεῖν· σωφροσύνην φιλεῖν· ἀλήθειαν ἔχειν, πίστιν ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρείαν, ἐπιμέλειαν.

---

1) Πῶς δύναταί τις ν' ἀνατρέφῃ. 2) Τὴν περιουσίαν. 3) Πολλὰ δῶρα. 4) Ἐπεπλήττετο, κατεκρίνετο. 5) Υἱὸς τοῦ Φανίου ἐκ τῆς ἐν Λυκίᾳ πόλεως Ἄσσου, φιλόσοφος Στωϊκός, μαθητὴς τοῦ Ζήνωνος. 6) Τὸν βασιλέα τῆς Μακεδονίας. 7) Ποτίζω. 8) Εἷς τῶν 7 σοφῶν τῆς Ἑλλάδος, Μυτιληναῖος.



Ε'. ΠΟΛΥΑΙΝΟΥ

ΣΤΡΑΤΗΓΗΜΑΤΑ

Πολύαινος ἦτο συγγραφεὺς ἐκ Μακεδονίας, σύγχρονος τοῦ περιηγητοῦ Παυσανίου, γράψας τὰ σωζόμενα *Στρατηγήματα* εἰς Η'. βιβλία.

1. Λυκοῦργος.

Λυκοῦργος[1] παρήγγελλεν· Ἐπὶ τοὺς αὐτούς, ὦ Λάκωνες, μὴ στρατεύετε πολλάκις, ἵνα μὴ πολεμεῖν τοὺς ἐναντίους διδάσκητε.

Λυκοῦργος προσέταττε τοῖς Λάκωσι· Τοὺς πολεμίους φεύγοντας μὴ φονεύετε, ἵνα τὸ φεύγειν ἡγοῖντο[2] τοῦ μένειν λυσιτελέστερον[3].

2. Κλεομένης.

Κλεομένης, Λακεδαιμονίων βασιλεύς, Ἀργείοις ἐπολέμει καὶ ἀντεστρατοπέδευσεν[4]. Ἦν τοῖς Ἀργείοις ἀκρι-

[1]) Λυκοῦργος ὁ περίφημος νομοθέτης τῆς Σπάρτης, υἱὸς τοῦ βασιλέως Εὐνόμου καὶ ἀδελφὸς νεώτερος τοῦ Πολυδέκτου, τοῦ ὁποίου τὸν υἱὸν Χαρίλαον ἐπετρόπευσεν ἄχρις οὗ ἠλικιώθη. [2]) Νὰ νομίζωσιν. [3]) Ἐπωφελέστερον, συμφερώτερον. [4]) Ἀντιστρατοπεδεύω = Ἔχω στημένον τὸ στρατόπεδόν μου ἀντικρὺ τοῦ ἐχθρικοῦ.

δὴς φυλακὴ των δρωμένων τοῖς πολεμίοις· καὶ πάντα ὅσα Κλεομένης βούλοιτο, ὑπὸ κήρυκος ἐσήμαινε[1] τῇ στρατιᾷ, καὶ αὐτοὶ τὰ ἴσα δρᾶν ἐσπούδαζον. Ὁπλιζομένων ἀνθωπλίζοντο, ἐξιόντων ἀντεπεξήεσαν, ἀναπαυομένων ἀντανεπαύοντο. Κλεομένης λάθρᾳ παράγγελμα ἔδωκεν, ὅταν ἀριστοποιεῖσθαι[2] κηρύξῃ, ὁπλίσασθαι. Ὁ μὲν[3] ἐκήρυξεν· οἱ δὲ Ἀργεῖοι πρὸς ἄριστον ἐτράποντο. Κλεομένης, ὡπλισμένους ἐπαγαγὼν, εὐμαρῶς[4] ἀόπλους καὶ γυμνοὺς τοὺς Ἀργείους ἀπέκτεινε.

3. Σόλων.

Ἀθηναῖοι καὶ Μεγαρεῖς ἐπολέμουν χρόνῳ μακρῷ Σαλαμῖνος πέρι[5]. Ἡσσώμενοι[6] Ἀθηναῖοι νόμον ἐκύρωσαν, « Τῷ ἀγορεύσαντι πλεῖν ἐπὶ Σαλαμῖνος μάχῃ θάνατος ἔστω ». Σόλων, τὸν θάνατον οὐ φοβηθεὶς, λύει τὸν νόμον· λύει δὲ ὧδε· Μανίαν ὑποκρίνεται, καὶ προελθὼν εἰς ἀγορὰν ἐλεγεῖα ᾖδε· τὰ δὲ ἐλεγεῖα ἦν Ἀρήϊα[7] ᾄσματα. Τούτοις ἤγειρεν Ἀθηναίους ἐπὶ τὴν μάχην. Οἱ δὲ, κάτοχοι ἐκ Μουσῶν καὶ Ἄρεος, αὐτίκα[8] τε ἀνήγοντο ᾄδοντες ὁμοῦ καὶ ἀλαλάζοντες[9] καὶ Μεγαρεῖς κατὰ κράτος ἐνίκων· καὶ πάλιν ἡ Σαλαμὶς Ἀθηναίων κτῆμα ἦν. Σόλων δὲ μάλα ἐθαυμάζετο, καὶ τὸν νόμον λύσας τῇ μανίᾳ καὶ τὸν πόλεμον νικήσας τῇ μουσικῇ.

---

[1]) Σημαίνω=προστάζω, παραγγέλλω, δίδω σύνθημα κτλ. [2]) Γευματίζωσι. [3]) Κλεομένης. [4]) Ἐπίρρ. Εὐχερῶς, εὐκόλως. [5]) Κατ' ἀναστρφ. ἀντὶ περί. [6]) Ἡσσάομαι-ῶμαι=νικῶμαι, ἀποτυγχάνω, εἶμαι κατώτερος κτλ. [7]) Τὰ ἀφιερωμένα εἰς τὸν Ἄρην, πολεμικά. [8]) Ἐπίρρ. Πάραυτα, ἀμέσως, ἐν τῷ ἅμα. [9]) Ἀλαλάζω=Φωνάζω ἀλαλὰ (κυρίως εἰς τὸν πόλεμον)· κηρύσσω μὲ θορυβώδεις καὶ χαρμοσύνους κραυγὰς (ἀλαλὰς) τὴν ἀγαλλίασίν μου.

4. Θεμιστοκλῆς.

Θεμιστοκλῆς ἐν τῷ πρὸς Αἰγινήτας πολέμῳ μελλόντων Ἀθηναίων τὴν ἐκ τῶν ἀργυρείων[1] πρόσοδον, ἑκατὸν τάλαντα, διανέμεσθαι, κωλύσας[2] ἔπεισεν ἑκατὸν ἀνδράσι τοῖς πλουσιωτάτοις ἑκάστῳ δοῦναι τάλαντον· κἂν μὲν ἀρέσῃ τὸ πραχθησόμενον, τῇ πόλει τὸ ἀνάλωμα[3] λογισθῆναι, ἐὰν δὲ μὴ ἀρέσῃ, τοὺς λαβόντας ἀποδοῦναι. Ταῦτα μὲν ἔδοξεν. Οἱ δὲ ἑκατὸν ἄνδρες ἕκαστος μίαν τριήρη[4] κατέστησαν, σπουδῇ χρησάμενοι κάλλους κα τάχους. Ἀθηναῖοι καινὸν στόλον ποιήσαντες ἥσθησαν[5] καὶ οὐ μόνον κατὰ Αἰγινητῶν ταῖς τριήρεσι ταύταις, ἀλλὰ καὶ κατὰ Περσῶν ἐχρήσαντο.

5. Λεωνίδας.

Λεωνίδας[6] ἐμβαλὼν εἰς χώραν πολεμίων, διαπέμψας νύκτωρ ἄλλους ἀλλαχῇ προσέταξεν, ὅταν αἴρῃ τὸ σημεῖον, δένδρα κόπτειν καὶ τὰς ἐπαύλεις ἐμπιπράναι. Ταῦτα ὁρῶντες οἱ κατὰ τὴν πόλιν, καὶ πάμπολυ τὸ πλῆθος εἶναι νομίσαντες οὐκ ἐπεξῆλθον, ἀλλὰ τὴν λείαν[7] ἄγειν αὐτοῖς προήκαντο.

---

1)=ἐκ τῶν ἀργυρείων μετάλλων, ἐκ τῶν μεταλλείων τοῦ ἀργύρου. 2) Κωλύω=ἐμποδίζω, ἀποτρέπω. 3) Τὸ ἔξοδον. 4) Τριήρης, τριήρους, (ἡ γεν. πλθ. τριήρων). Εἶδος πολεμικοῦ πλοίου μὲ τρεῖς ἀλλεπαλλήλους σειρὰς κωπῶν εἰς κάθε πλευράν. 5) Ἥδομαι Μ. ἡσθήσομαι ἀόρ. ἥσθην=Εὐχαριστοῦμαι, χαίρω κτλ. 6) Περίφημος βασιλεὺς τῆς Σπάρτης, υἱὸς τοῦ Ἀναξανδρίδου, ἀδελφὸς τοῦ Κλεομβρότου καὶ Κλεομένους, ἀπαθανατήσας τὸ ὄνομα αὐτοῦ ἐν Θερμοπύλαις, ὅπου μὲ 300 Σπαρτιάτας καὶ ὀλίγους Θηβαίους ἐφονεύθη μαχόμενος πρὸς τοὺς ὑπὸ τὸν Ξέρξην Πέρσας 7) Λεία, λάφυρον, πρᾶγμα ἁρπαγμένον (καὶ ἰδιαιτ. θρέμμα, βόσκημα, κοπάδι).

6. Ἀλκιβιάδης.

Ἀλκιβιάδης[1], Λακεδαιμονίων πολιορκούντων τὰς Ἀθήνας, βουλόμενος τοὺς φύλακας τοῦ ἄστεος καὶ τοῦ Πειραιῶς καὶ τῶν σκελῶν[2] τῶν ἄχρι θαλάσσης ἀγρύπνους περὶ τὴν φυλακὴν κατασκευάσαι, προηγόρευσεν, ὡς αὐτὸς ἀπὸ τῆς ἀκροπόλεως νύκτωρ τρὶς ἀνασχήσοι[3] τὸν λαμπτῆρα· ὃς δ' ἂν μὴ ἀντανάσχῃ[4], ὡς φυλακὴν ἐκλιπὼν κολασθήσεται. Οὕτω δὴ πάντες ἀγρυπνοῦντες ἐφύλαττον ἀφορῶντες[5] ἐς τὴν ἀκρόπολιν, ἵνα αἴροντος τοῦ στρατηγοῦ τὸ πῦρ ἀντᾶραι δύναιντο, σημαίνοντες ὡς ἐγρηγορότες φυλάττοιεν.

7. Ἀγησίλαος.

Ἀγησίλαος[6] περὶ Κορώνειαν ὅσον οὔπω παρετάσσετο· ἧκέν τις ἀγγέλλων, ὅτι τέθνηκε Πείσανδρος ὁ ναύαρχος Λακεδαιμονίων ἡττηθεὶς ὑπὸ Φαρναβάζου. Ὅπως οὖν ἀθυμία καὶ φόβος μηδαμῶς ἐμπέσοι τῷ στρατεύματι, Ἀγησίλαος προστάσσει τοῖς ἀγγέλοις, « Τἀναντία πρὸς τοὺς στρατιώτας ἀγγέλλετε· Λακεδαιμόνιοι νικῶσιν ἐν τῇ θαλάττῃ ». Ἀλλὰ μὴν καὶ αὐτὸς προῆλθεν ἐστεφανω-

---

[1]) Διάσημος στρατηγὸς τῶν Ἀθηναίων πατὴρ τοῦ Κλεινίου καὶ συγγενὴς τοῦ Περικλέους, γεννηθεὶς τῷ 450 πρὸ Χ. ἐκ πλουσιωτάτης καὶ ἐνδόξου οἰκογενείας, μαθητὴς τοῦ Σωκράτους καὶ Γοργίου. [2]) Σκέλη, τὰ μακρὰ τείχη τῶν Ἀθηνῶν τοῦ Πειραιῶς κλ. [3]) Ἀνέχω = Σηκόνω τι ἐπάνω ἢ πρὸς τὰ ἐπάνω, ὑψόνω, ἢ κρατῶ ὑψωμένον κτλ. [4]) Ἀνταν έχω, Κρατῶ τι ὑψωμένον καταντικρύ τινος (ἢ ἐναντίον τινός). [5]) Ἔχοντες προσηλωμένον τὸ βλέμμα των. [6]) Υἱὸς τοῦ Ἀρχιδάμου, βασιλέως τῆς Σπάρτης καὶ ἀδελφὸς Ἄγιδος τοῦ Β'., νικήσας τοὺς Ἀθηναίους καὶ Θηβαίους ἐν Κορωνείᾳ τῷ 394 πρὸ Χ.

μένος, ἔθυσεν[1] εὐαγγέλια[2], διέπεμψε τοῖς φίλοις μερίδας ἀπὸ τῶν ἱερείων. Οἱ στρατιῶται ταῦτα ἀκούσαντες καὶ ὁρῶντες, πλεῖον θαρρήσαντες, μετὰ μείζονος προθυμίας ἐν τῇ Κορωνείᾳ παρετάξαντο.

8. Κλέαρχος.

Κλέαρχος, πολλὴν στρατιὰν ἄγων, ἦλθεν ἐπὶ ποταμὸν τῇ μὲν εὐδιάβατον ἄχρι κνήμης, τῇ δὲ βαθὺν ἄχρι μαστοῦ· πρῶτον μὲν ἐπειρᾶτο κατὰ τὸ εὐδιάβατον ἄγειν. Τῶν πολεμίων ἀπωτέρω[3] τοῦ ποταμοῦ σφενδονώντων καὶ τοξευόντων καὶ τοὺς διαβαίνοντας ἀνειργόντων[4], ὁ Κλέαρχος τοὺς ὁπλίτας ἤγαγε διὰ τοῦ βαθυτέρου, ἵνα τὸ μὲν πολὺ τοῦ σώματος ὑπὸ τοῦ ποταμοῦ κρύπτοιτο, τὰ δὲ ὑπερέχοντα τοῦ ὕδατος τῇ ἀσπίδι φυλάσσοιτο. Οἱ μὲν ὁπλῖται ἀσφαλῶς διαβαίνοντες ἀνέκρουσαν τοὺς πολεμίους· ἡ δὲ λοιπὴ στρατιὰ κατὰ τὸ εὔπορον τοῦ ποταμοῦ διῆλθεν ἀκωλύτως.

9. Ἐπαμεινώνδας.

Ἐπαμεινώνδας[5] πρὸς τῇ γεφύρᾳ τοῦ Σπερχειοῦ, Θεσσαλῶν ἀντικαθημένων, ὁρῶν ἀπὸ τοῦ ποταμοῦ περὶ τὴν ἕω[6] πολλὴν καὶ βαθεῖαν ὁμίχλην αἰρομένην, παρήγγει-

---

[1]) Θύω, Κάμνω (προσφέρω) θυσίαν, ἐκτελῶ ἑορτήν, «Εὐαγγέλια (Γάμους) θύειν» κτλ. [2]) Καλαί, χαροποιαὶ εἰδήσεις. [3]) Ἐπίρρ. Πλέον μακράν, μακρύτερα. [4]) Ἀνείργω=Ἐμποδίζω, κρατῶ ὀπίσω· «Ἀνεῖργε τοὺς στρατιώτας ὠθουμένους εἰς τὸ πρόσθεν», Ξεν. [5]) Περίφημος στρατηγὸς τῶν Θηβαίων, ἀπαθανατίσας τὸ ὄνομά του εἰς τὴν ἐν Λεύκτροις μάχην, τὴν ὁποίαν ἐκέρδησε κατὰ τῶν Σπαρτιατῶν τῷ 371 πρὸ Χ., ἐφονεύθη δὲ εἰς τὴν ἐν Μαντινείᾳ μάχην τῷ 362. [6]) Ἕως=Ἠώς, αὐγή, ἀνατολή.

λεν ἑκάστῳ λόχῳ, δύο κομίσαι φορτία ξύλων, τὸ μὲν χλωρόν, τὸ δὲ αὖον[1]· καὶ περὶ μέσην νύκτα τὰ μὲν αὖα κάτωθεν, τὰ δὲ χλωρὰ ἄνωθεν θέντας ὑφάψαι[2]. Ὁμοῦ νὺξ καὶ ὁμίχλη καὶ καπνός· ὁ μὲν ἀὴρ τοῖς πολεμίοις ἀόρατος ἦν· ὁ δὲ Ἐπαμεινώνδας ἐπὶ τὴν γέφυραν διεβίβασε τοὺς στρατιώτας. Οἱ δὲ αὖ[3] κατὰ μέσον τὸ πεδίον ὄντες, ὁπότε ὁ καπνὸς μετὰ τῆς ὁμίχλης διεσκεδάσθη, οἱ Θεσσαλοὶ τῆς διαβάσεως τῶν πολεμίων ᾔσθοντο.

10. Φίλιππος.

Φίλιππος ἐν Χαιρωνείᾳ[4], γιγνώσκων τοὺς μὲν Ἀθηναίους ὀξεῖς καὶ ἀγυμνάστους, τοὺς δὲ Μακεδόνας ἠσκηκότας καὶ γεγυμνασμένους, ἐπὶ πολὺ τὴν παράταξιν ἐκτείνας, ταχέως παρέλυσε τοὺς Ἀθηναίους καὶ εὐχειρώτους[5] ἐποίησε.

Φίλιππος ἐπὶ τὴν Ἀμφισσέων ἐστράτευεν· Ἀθηναῖοι καὶ Θηβαῖοι τὰ στενὰ προκατελάβοντο, καὶ ἦν ἡ δίοδος ἀμήχανος[6]. Ἐξαπατᾷ τοὺς πολεμίους Φίλιππος, ἐπιστολὴν πεπλασμένην Ἀντιπάτρῳ[7] πέμψας ἐς Μακεδονίαν, ὡς τὴν μὲν στρατείαν τὴν ἐπ' Ἀμφισσεῖς ἀναβάλοιτο, σπεύδοι δὲ ἐς Θρᾴκην, πεπυσμένος τοὺς ἐκεῖ νεωτερίζειν.

---

1) Ξηρόν. 2) Ὑφάπτω, Βάλλω φωτιὰν ὑποκάτωθεν. 3) Ἐπίρρ. χρον.=Αὖθις, πάλιν. 4) Χαιρώνεια π. τῆς Βοιωτίας ἐπὶ τοῦ Κηφισσοῦ, πατρὶς τοῦ Πλουτάρχου, (Κάπραινα) ὁ πολ. Χαιρωνεύς. 5) Εὐχειρώτους ἐποίησε=εὐκόλως τοὺς ὑπέταξε (κατεδάμασε). 6) Ἀκατόρθωτος, ἀδύνατος· «Ὁδὸς ἀμήχανος εἰσελθεῖν στρατεύματι. Ξεν. 7) Μακεδὼν στρατηγὸς τοῦ Φιλίππου, μείνας ἐπίτροπος τοῦ Ἀλεξάνδρου εἰς τὴν Μακεδονίαν, ἐκστρατεύσαντος κατὰ τῆς Ἀσίας, καὶ μετὰ θάνατον αὐτοῦ, εἰς τὸν ὁποῖον συνετέλεσεν, ὡς λέγεται, διὰ τῶν υἱῶν τοῦ Κασσάνδρου καὶ Ἰόλα, βασιλεύσας τῆς Μακεδονίας.

Ὁ γραμματοφόρος διήει διὰ τῶν στενῶν. Οἱ στρατηγοὶ Χάρης καὶ Πρόξενος, αἱροῦσιν αὐτὸν καὶ τὴν ἐπιστολὴν ἀναγνόντες, πιστεύουσι τοῖς γεγραμμένοις καὶ τὴν φυλακὴν τῶν στενῶν ἀπολείπουσι. Φίλιππος δὲ λαβόμενος ἐρημίας ἀφυλάκτως διεπέμψατο, καὶ τοὺς στρατηγοὺς ἀναστρέψαντας ἐνίκησε, καὶ τῆς Ἀμφίσσης ἐκράτησεν[1].

11. Ἀλέξανδρος.

Ἀλέξανδρος πολεμῶν προσέτασσε τοῖς στρατηγοῖς ξυρεῖν τὰ τῶν Μακεδόνων γένεια, ἵνα μὴ παρέχοιεν πρόχειρον λαβὴν τοῖς ἐναντίοις.

Ἀλέξανδρος κατέστρεφε τὴν Ἰνδῶν. Τῶν δὲ στρατιωτῶν ἐφελκομένων λάφυρα Περσικὰ καὶ πλοῦτον ὑπέρογκον ἐπὶ τῶν ἁμαξῶν, καὶ τὴν πρὸς Ἰνδοὺς μάχην οὐκ ἀναγκαίαν ἡγουμένων, τοσαῦτα δὴ κεκτημένων, πρώτας ὑπέπρησε[2] τὰς βασιλικὰς ἁμάξας, εἶτα τὰς τῶν ἄλλων. Οἱ Μακεδόνες, ἐλαφροὶ γενόμενοι καὶ ἐν χρείᾳ τοῦ πάλιν κτήσασθαι καταστάντες, ἐπὶ τὸν πόλεμον ὥρμησαν προθυμότερον.

Ἀλέξανδρος ἡμιθωράκια[3] τοῖς φεύγουσι στρατιώταις ἀντὶ θωράκων ἔδωκεν, ἵνα μένοντες μὲν ἀσφάλειαν ἔχοιεν, τῶν κατὰ πρόσωπον κρυπτομένων, φεύγοντες δὲ τὰ ὄπισθεν μέρη φυλάσσειν μὴ δύναιντο. Οὐ τοίνυν ἔφευγεν οὐδεὶς γυμνωθῆναι δεδοικὼς[4] ἀλλὰ πάντοτε ἐνίκων μένοντες.

---

[1]) Κρατέω-ῶ Κυριεύω, ἐξουσιάζω. [2]) Ὑποπίμπρημι, Μ. ὑποπρήσω. Καίω ὑποκάτωθεν ἢ καίω κατ' ὀλίγον, ὑποκαίω. [3]) Ἡμιθωράκιον, τὸ ἐμπροσθινὸν μέρος τοῦ θώρακος. [4]) Δέδοικα, πρκ. ἀντὶ ἐνεστ. φοβοῦμαι.

Ἀλέξανδρος ὥρᾳ θέρους ἦγε τὴν στρατιὰν παρὰ ποταμόν, προσκειμένων πολεμίων. Ὁρῶν δὲ τοὺς στρατιώτας διψῶντας καὶ ἀφορῶντας[1] εἰς τὸ ῥεῦμα τοῦ ποταμοῦ, ἵνα μὴ πίνοντες διαλύσειαν τὰς τάξεις, μηδὲ τὸ τῆς ὁδοιπορίας τάχος διακόψειαν, τὸν κήρυκα ἐκέλευσεν εἰπεῖν, «Ἀπεχώμεθα τοῦ ποταμοῦ· θανατῶδες ἔχει τὸ ὕδωρ». Οἱ μὲν[2] φοβηθέντες ἀπέσχοντο καὶ τὴν ὁδὸν ἐπετάχυνον· Ἀλέξανδρος δὲ διανύσας καὶ στρατοπεδεύσας, αὐτὸς μετὰ τῶν ἡγεμόνων[3] ἀπὸ τοῦ ποταμοῦ φανερῶς ἔπιεν. Γελάσαντες οἱ στρατιῶται καὶ τὴν αἰτίαν τῆς ἀπάτης νοήσαντες, ἀδεῶς[4] ὑδρεύσαντο ἐκ τοῦ ποταμοῦ πάντες.

12. Ἀντίγονος.

Ἀντίγονος ἐλάττονας ἔχων στρατιώτας ἀντεστρατοπεδεύετο τοῖς περὶ Εὐμένη πολεμίοις. Ἐπικηρυκευομένων[5] δὲ συνεχῶς, προσέταξεν, ἐπειδὰν[6] ὁ κῆρυξ ἀφίκηται, στρατιώτην ἐσδραμεῖν πνευστιῶντα, κεκονιμένον, ἀγγέλλοντα, «Οἱ σύμμαχοι πάρεισιν». Ἀντίγονος μὲν ἀκούσας περιχαρὴς ἀνεπήδησε· τοὺς κήρυκας ἀποπεμψάμενος, καὶ τῆς ὑστεραίας τὸ μῆκος τῆς φάλαγγος διπλάσιον ἐκτείνας τοῦ χάρακος ἐξήγαγεν. Οἱ δὲ πολέμιοι, παρὰ τῶν κηρύκων ἀκούσαντες τὴν παρουσίαν τῶν συμμάχων, τὴν μὲν ἔκτασιν τοῦ μήκους τῆς φάλαγγος ὁρῶν-

---

[1]) Ἀφοράω-ῶ=ῥίπτω (προσηλόνω) τὰ βλέμματά μου εἴς τι, ἀποβλέπω. [2]) Στρατιῶται. [3]) Στρατηγῶν. [4]) Ἐπίρρ. Χωρὶς φόβου, ἀφόβως. [5]) Ἐπικηρυκεύομαι· Στέλλω πρὸς τὸν ἐχθρὸν κήρυκα μὲ προτάσεις περὶ εἰρήνης ἢ ἀνακοχῆς. [6]) Ἐπειδὰν (ἐπειδὴ ἄν), σύνδ. ἀφ' οὗ.

τες, τὸ δὲ βάθος εὐκαταφρόνητον ἔχοντος, μάχην συνάψαι φοβηθέντες φυγόντες ᾤχοντο[1].

13. Τιμολέων.

Τιμολέων[2] ἐν Σικελίᾳ τὴν δύναμιν[3] ἐξήγαγε παραταξομένην Καρχηδονίοις ἐς τὴν νῆσον διαπεπλευκόσιν· Ἡμίονος ἀπηντᾶτο αὐτοῖς κομίζων σέλινα. Οἱ στρατιῶται τὸ σημεῖον ἐφοβήθησαν, ὅτι ἄρα παρ' αὐτοῖς τὰ μνημεῖα τῶν ἀποθανόντων στεφανοῦται σελίνοις. Τιμολέων, «Καὶ μὴν μᾶλλον», ἔφη, «φανερὰν νίκην οἱ θεοὶ δηλοῦσιν ἡμῖν· τοὺς γὰρ τὰ Ἴσθμια[4] νικῶντας οἱ Κορίνθιοι στεφάνοις τῶν σελίνων στεφανοῦσι». Ταῦτα εἰπὼν αὐτός τε τῶν σελίνων ἀνεστέψατο καὶ τοὺς περὶ αὐτὸν ἡγεμόνας ἀνέστεψεν, ὥστε καὶ οἱ στρατιῶται, ἄλλος πρὸς ἄλλου τῶν σελίνων λαβόντες, εὐτολμότεροι πρὸς τὴν μάχην ἐγένοντο.

14. Πελοπίδας.

Πελοπίδας[5] ἐν Θετταλίᾳ ποταμὸν διαβῆναι μὴ δυνάμενος ἐπικειμένων πολεμίων, στρατοπεδεύσας τοῦ ποταμοῦ πρόσθεν χάρακα περιεβάλετο· πολλὴν ὕλην[6] τεμὼν[7], ανα-

---

[1]) Φυγόντες ᾤχοντο = ἐτράπησαν εἰς φυγήν. [2]) Περίφημος στρατηγὸς καὶ πολιτικὸς τῶν Κορινθίων, υἱὸς τοῦ Τιμοδήμου καὶ ἀδελφὸς τοῦ Τιμοφάνους, ὁ ἐκθρονίσας τὸν τύραννον τῶν Συρακουσῶν Διονύσιον τὸν νεώτερον, καὶ ἀποδοὺς τὴν αὐτονομίαν καὶ ἐλευθερίαν εἰς ὅλας τὰς ἐν Σικελίᾳ πόλεις, ὅπου καὶ ἀπέθανε τιμώμενος ὡς σωτήρ, τελουμένων καὶ ἀγώνων εἰς τιμήν του. [3]) Τὰ στρατεύματα. [4]) Οἱ εἰς τὸν Ἰσθμὸν τῆς Κορίνθου πανηγυριζόμενοι ἀγῶνες. [5]) Περίφημος στρατηγὸς τῶν Θηβαίων, υἱὸς τοῦ Ἱπποκλέους, φίλος καὶ συναγωνιστὴς τοῦ Ἐπαμεινώνδου, ἐλευθερώσας τὴν πατρίδα του ἀπὸ τῶν Λακεδαιμονίων. [6]) Ὕλη, ξύλα, χαμόκλαδα, φρύγανα. [7]) Τέμνω Μ. τεμῶ, ἀόρ. ἔτεμον, παρακ. τέτμηκα = Κόπτω, σχίζω κτλ.

παύσας τοὺς στρατιώτας νυκτὶ μέσῃ τὸν χάρακα κατέφλεξε. Τοῦ δὲ πυρὸς ἐπὶ μέγα αἱρομένου πανταχόθεν, οἱ μὲν πολέμιοι διώκειν ἐκωλύοντο· οἱ δὲ ἀμφὶ Πελοπίδαν ἀσφαλῶς τὸν ποταμὸν διῆλθον.

15. Ἰφικράτης.

Ἰφικράτης[1], ἐς Θρᾴκην ἐμβαλὼν, ἐν πεδίῳ κατεστρατοπέδευσεν ὑπὸ ὄρους περιεχομένῳ, διέξοδον ἔχοντι στενὴν διὰ γεφύρας, ἣν ἔμελλον διαβάντες οἱ Θρᾷκες νύκτωρ ἐπιθέσθαι[2]. Ὁ δὲ πυρὰ πολλὰ καύσας ἐν τῷ στρατοπέδῳ, πρὸς τὴν ὑπώρειαν[3] ἀναδραμὼν σὺν τοῖς στρατιώταις, ἐγγὺς τῆς γεφύρας ἐν τῇ ὕλῃ[4] συγκαθίσας ἡσύχασεν. Οἱ μὲν δὴ Θρᾷκες, διαβάντες τὴν γέφυραν, ὥρμησαν ἐς τὰ πυρὰ, τοὺς πολεμίους ἐκεῖ νομίζοντες εὑρήσειν· Ἰφικράτης δὲ, τοὺς στρατιώτας ἐκ τῆς ὕλης ἀναλαβὼν, τὴν γέφυραν διελθὼν ἀσφαλῶς ἀνεχώρησε.

16. Χαβρίας.

Χαβρίας[5], προσπλεύσας πολεμίᾳ πόλει, νυκτὸς τοὺς πελταστὰς[6] ἀπεβίβασεν· αὐτὸς δὲ, ἀρχομένης ἕω, ἐπὶ τὸν λιμένα ἔπλει, ἀπωτέρω τῆς πόλεως ὄντα. Οἱ ἐκ τῆς πόλεως ἐξέδραμον κωλύσοντες ἀποβῆναι τοὺς ἐκ τῶν νεῶν·

---

[1]) Στρατηγὸς τῶν Ἀθηναίων, διαπρέψας ἐπὶ τοῦ Θηβαϊκοῦ πολέμου, υἱὸς σκυτοτόμου καὶ γαμβρὸς τοῦ βασιλέως τῆς Θρᾴκης Κότυος. [2]) Ἐπιτίθεμαι, ὁρμῶ ἔξαφνα κατά τινος, προσβάλλω· «Ἐπιθέσθαι τοῖς Μακεδόσι», Διόδ. [3]) Πρόποδας τοῦ ὄρους. [4]) Ἐν τῷ δάσει. [5]) Στρατηγὸς τῶν Ἀθηναίων, σύγχρονος τοῦ Ἰφικράτους, φονευθεὶς εἰς μίαν τολμηρὰν ἀπόπειραν κατὰ τοῦ λιμένος τῆς Χίου. [6]) Πελταστής, στρατιώτης ἁρματωμένος μὲ πέλτην (πέλτη=ἀσπὶς ἐλαφρά), ἐν γένει δὲ στρατιώτης πεζὸς ἐλαφροαρματωμένος, ἀκροβολιστής· «οἱ πρότερον ἀπὸ τῶν ἀσπίδων ὁπλῖται καλούμενοι, τότε ἀπὸ τῆς πέλτης πελτασταὶ μετωνομάσθησαν», Διόδ.

οἱ δὲ ἐκ τῆς ἐνέδρας[1] πελτασταὶ, ὄπισθεν ἐπιφανέντες, τοὺς μὲν διέφθειραν αὐτῶν, τοὺς δὲ ζωγρ ία λαβόντες, τῶν νεῶν ἐπιβάντες ἀνήχθησαν.

17. Καῖσαρ.

Καῖσαρ[2] Δυρράχιον[3] κρατούμενον ὑπὸ Πομπηΐου βουλόμενος ἑλεῖν, αὐτὸς μὲν ὀλίγους εἶχεν ἱππέας, τοῖς δὲ ἦν πολὺ πλῆθος ἱππέων· ἀλλὰ καὶ τοὺς πολλοὺς τέχνῃ χρησάμενος ἐτρέψατο. Τοὺς ὀλίγους ἱππεῖς ἐπελαύνειν κελεύσας ἔμπροσθεν αὐτῶν λόχους τέσσαρας πεζῶν ἔταξε, παραγγείλας μηδὲν ἄλλο δρᾶν ἢ τοῖς ποσὶν ἀνεγείρειν κόνιν ὅσην πλείστην δύναιντο. Πολὺ δὴ νέφος ἀρθὲν[4] φαντασίαν πολλοῦ πλήθους ἱππέων ἐνεποίησε τοῖς πολεμίοις, ὥστε παραχρῆμα φοβηθέντες ἔφευγον.

18. Διότιμος.

Διότιμος[5] δέκα ναῦς ἔχων ἀνθώρμει Λακεδαιμονίοις, τὰς ἴσας ναῦς ἔχουσιν. Οἱ μὲν οὐκ ἐθάρρουν συμβάλλειν, τὰς Ἀττικὰς ἐμπειρίας δεδοικότες. Ὁ δὲ τοὺς ταρσοὺς[6] τῶν τριήρων ἐξελὼν[7], ζεύξας[8] πρὸς ἀλλήλας, τὰ ἱστία

---

[1]) Ἐνέδρα=χωσιά, παραμόνευμα, καρτέρι κτλ. [2]) Περίφημος συγγραφεύς, στρατηγὸς καὶ Δικτάτωρ τῶν Ῥωμαίων, γεννηθεὶς τῷ 100 ἔτει πρὸ Χ., οὗτος ἀνύψωσε τὴν δόξαν τῆς Ῥώμης διὰ τῶν 50 αὐτοῦ νικῶν καὶ τῆς κατακτήσεως 1000 πόλεων. [3]) Πόλις τῆς Ἰλλυρίας ἐπὶ τῆς Ἀδριατικῆς θαλάσσης, ἡ πρότερον Ἐπίδαμνος καὶ νῦν Δουράτσο, (ὁ πολ. Δυρραχηνός). [4]) Αἴρω=Σηκόνω ἀπὸ κάτω ἐπάνω, ὑψόνω. [5]) Υἱὸς τοῦ Στρομβίχου, ναύαρχος τῶν Ἀθηναίων ἐπὶ τοῦ Κορινθιακοῦ πολέμου. [6]) Τὰ κωπία. [7]) Ἐξαιρέω-ῶ. Ἐξελὼν = ἀφαιρέσας. [8]) Ζεύγνυμι, Ζεύξας=ἑνώσας διὰ τῶν ἐδωλίων τὰς δύο πλευράς των. «Αἰγινῆται πρῶτοι ζεῦξαν νέας», Πινδ.

τῆς μιᾶς ἐπαράμενος εἰς τὸ πέλαγος ἀνήγετο. Λακεδαιμόνιοι, πέντε ἱστίων φαινομένων, πέντε ναῦς εἶναι νομίσαντες, καταφρονήσαντες ἐπέπλευσαν· Διότιμος τὰ ζεύγματα λύσας, ἐπιστρέψας, ἐναντίοις ἐμβαλὼν δέκα ναυσὶ, προσούσης τῆς Ἀττικῆς ἐπιστήμης τὰς μὲν ἓξ τῶν Λακωνικῶν κατέδυσε[1], τὰς δὲ τέσσαρας ἔλαβεν αὐτάνδρους.

19. Νικίας.

Νικίας[2] ὑπὸ Γυλίππου[3] διωκόμενος, ἤδη καταλαμβανόμενος ἔπεμψε κήρυκα πρὸς αὐτὸν, φάσκων πάντα ποιήσειν τὰ προστεττόμενα, καὶ ὡς ἤδη τινὰ χρὴ πέμπειν τὸν δώσοντα ὅρους καὶ ληψόμενον. Γύλιππος τῷ κήρυκι πιστεύσας κατεστρατοπέδευσε, καὶ τοῦ διώκειν ἀποσχόμενος, τῷ κήρυκι τῷ ἀπὸ τοῦ Νικίου συνέπεμψε τὸν συνθησόμενον. Ἐν δὲ τῷ τέως Νικίας, τῶν ὀχυρωτέρων λαβόμενος, πάλιν ἐπολέμει, τὴν ἀποχώρησιν τῇ διὰ τοῦ κήρυκος ἀπάτῃ στρατηγήσας.

[1]) Κατεβύθισεν. [2]) Υἱὸς τοῦ Νικηράτου, στρατηγὸς καὶ εἷς τῶν πλουσιωτέρων Ἀθηναίων. [3]) Γύλιππος, Σπαρτιάτης, υἱὸς τοῦ Κλεανδρίδου, στρατηγήσας ἐπιτυχῶς κατὰ τῶν Ἀθηναίων ἐπὶ του Πελοποννησιακοῦ πολέμου.





ΣΤ'. ΚΛΑΥΔΙΟΥ ΑΙΛΙΑΝΟΥ
ΠΟΙΚΙΛΗ ΙΣΤΟΡΙΑ

Κλαύδιος Αἰλιανός, σοφιστὴς ἐκ τῆς ἐν Ἰταλίᾳ Πραινέστου, ζήσας περὶ τὴν τρίτην μ. Χ. ἑκατονταετηρίδα. Ἔγραψεν Ἑλληνιστὶ *Ἱστορίαν τῶν ζῴων* εἰς 16 βιβλία, καὶ *Ποικίλης ἱστορίας* 14 βιβλία.

1. Υἱοῦ ἐγκαρτέρησις.

Μειράκιον[1] Ἐρετρικὸν[2] Ζήνωνι προσεφοίτησε πλείονα χρόνον. Ἐπανελθόντος δὲ ἤρετο[3] ὁ πατήρ, τί ἄρα μάθοι σοφόν. Ὁ δὲ ἔφη δείξειν[4]. Χαλεπήναντος δὲ τοῦ πατρὸς καὶ πληγὰς ἐντείναντος[5], τὴν ἡσυχίαν ἀγαγὼν καὶ ἐγκαρτερήσας· Τοῦτο, ἔφη, μεμαθηκέναι, φέρειν[6] ὀργὴν πατρός.

2. Ἐντέλεια εἰκόνος.

Ἀλέξανδρος[7] θεασάμενος τὴν ἐν Ἐφέσῳ[8] εἰκόνα ἑαυτοῦ τὴν ὑπὸ Ἀπελλοῦ[9] γραφεῖσαν οὐκ ἐπῄνεσε κατὰ τὴν

---

[1]) Ὑποκορ. τοῦ Μεῖραξ, παλληκάρι ἀπὸ 14—21 ἐτῶν. [2]) Ἐξ Ἐρετρίας, πόλεως τῆς Εὐβοίας. [3]) Ἀόρ. τοῦ ἐρωτῶ. [4]) Ὅτι θέλει δείξῃ τί ἔμαθεν. [5]) Ἐντείνω. [6]) Νὰ ὑποφέρῃ. [7]) Ὁ Μέγας. [8]) Πόλις τῆς Μικρᾶς Ἀσίας. [9]) Ἀπελλῆς περίφημος ζωγράφος Κῷος.

ἀξίαν τοῦ γράμματος[1]. Ἐσαχθέντος δὲ ἵππου καὶ χρεμετίσαντος πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι ὡς πρὸς ἀληθινὸν καὶ ἐκεῖνον· Ὦ βασιλεῦ, εἶπεν ὁ Ἀπελλῆς, ἀλλ' ὅ γε ἵππος ἔοικέ σου γραφικώτερος[2] εἶναι κατὰ πολύ.

3. Λιτότης δείπνου.

Τιμόθεος ὁ[3] Κόνωνος ὁ στρατηγὸς τῶν Ἀθηναίων ἀποστάς ποτε τῶν δείπνων τῶν πολυτελῶν καὶ τῶν ἑστιάσεων τῶν στρατηγικῶν ἐκείνων παραληφθεὶς ὑπὸ Πλάτωνος ἐς τὸ ἐν Ἀκαδημείᾳ[4] συμπόσιον καὶ ἑστιαθεὶς ἀφελῶς ἅμα καὶ μουσικῶς, ἔφη πρὸς τοὺς οἰκείους ἐπανελθών, ὅτι ἄρα οἱ παρὰ Πλάτωνι δειπνοῦντες καὶ τῇ ὑστεραίᾳ καλῶς διάγουσιν. Ἐκ δὴ τούτου διέβαλλε Τιμόθεος τὰ πολυτελῆ δεῖπνα καὶ φορτικὰ ὡς πάντως ἐς τὴν ὑστεραίαν οὐκ εὐφραίνοντα. Λόγος δὲ καὶ ἐκεῖνος ἀδελφὸς τῷ προειρημένῳ καὶ ταὐτὸν νοῶν, οὐ μὴν τὰ αὐτὰ λέγων περίεισιν, ὅτι ἄρα τῇ ὑστεραίᾳ ὁ Τιμόθεος περιτυχὼν τῷ Πλάτωνι εἶπεν· Ὑμεῖς, ὦ Πλάτων, εὖ δειπνεῖτε μᾶλλον ἐς τὴν ὑστεραίαν ἢ ἐς τὴν παροῦσαν.

4. Ἡ κλῖμαξ τῆς Τύχης.

Πιττακὸς ἐν Μυτιλήνῃ κατεσκεύασεν ἐν τοῖς ἱεροῖς κλίμακας ἐς οὐδεμίαν μὲν χρῆσιν ἐπιτηδείους, αὐτὸ δὲ τοῦτο ἀναθήματα εἶναι, αἰνιττόμενος τὴν ἐκ τῆς τύχης

---

[1]) Τῆς ζωγραφίας. [2]) Ἐννοεῖ τὴν ζωγραφίαν καλλίτερα ἀπὸ σέ. [3]) Ὁ υἱός. [4]) Ἀκαδημεια, θέσις τερπνὴ καὶ δενδρόφυτος, ἓξ στάδια μακρὰν τῶν Ἀθηνῶν, κληθεῖσα ἀπό τινος παλαιοῦ ἥρωος Ἀκαδήμου. Εἰς τὸ ἐνταῦθα γυμνάσιον ἐδίδασκεν ὁ Πλάτων, ὅθεν ἡ φιλοσοφικὴ αὐτοῦ σχολὴ ἐκλήθη Ἀκαδημαϊκὴ καὶ Ἀκαδημαϊκοὶ οἱ ὀπαδοί του

ἄνω καὶ κάτω μετάπτωσιν[1], τρόπον τινὰ τῶν μὲν εὐτυχούντων ἀνιόντων[2], κατιόντων[3] δὲ τῶν δυστυχούντων.

5. Εὐγνωμοσύνη Ἀθηναίων.

Αἰσχύλος[4] ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. Ἑτοίμων οὖν ὄντων Ἀθηναίων[5] βάλλειν αὐτὸν λίθοις, Ἀμεινίας ὁ νεώτερος ἀδελφὸς, διακαλυψάμενος[6] τὸ ἱμάτιον ἔδειξε τὸν πῆχυν[7] ἔρημον τῆς χειρός. Ἔτυχε δὲ ἀριστεύων[8] ἐν Σαλαμῖνι ὁ Ἀμεινίας ἀποβεβληκὼς[9] τὴν χεῖρα, καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἔτυχεν. Ἐπεὶ δὲ εἶδον οἱ δικασταὶ τοῦ ἀνδρὸς τὸ πάθος, ὑπεμνήσθησαν τῶν ἔργων αὐτοῦ, καὶ ἀφῆκαν[10] τὸν Αἰσχύλον.

6. Ὕπνος καὶ Θάνατος.

Γοργίας[11] ὁ Λεοντῖνος ἐπὶ τέρματι[12] ὢν τοῦ βίου καὶ γεγηρακὼς εὖ μάλα ὑπό τινος ἀσθενείας καταληφθεὶς, κατ' ὀλίγον ἐς ὕπνον ὑπολισθάνων ἔκειτο. Ἐπεὶ δέ τις ὡς αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων[13] ἐπισκοπούμενος καὶ ἤρετο ὅ,τι πράττοι, ὁ Γοργίας ἀπεκρίνατο· Ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τἀδελφῷ!

---

1) Μετάπτωσις, τὸ οὐσ. τοῦ μεταπίπτω, μεταβολὴ θέσεως (καταστάσεως). 2) Μετχ. τοῦ ἄνειμι=ἀναβαίνω. 3) Μετχ. τοῦ κάτειμι=κατέρχομαι, καταβαίνω. 4) Υἱὸς τοῦ Εὐφορίωνος, γεννηθεὶς ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς τῷ 524 πρὸ Χ., πατὴρ τῆς Ἑλληνικῆς Τραγῳδίας. Ἐκ τῶν 70—80 τραγῳδιῶν αὐτοῦ ἐσώθησαν μόνον ἑπτά. 5) Γενικὴ ἀπόλυτος. 6) Ἀνοίξας, ξεσκεπάσας. 7) Πῆχυς, τὸ μέρος τῆς χειρὸς ἀπὸ τοῦ ἀγκῶνος καὶ κάτω. 8) Μετοχὴ χρονική. 9) Ἀποβάλλω. Ἔτυχεν ἀποβεβληκώς. 10) Ἀφίημι. 11) Περίφημος σοφιστὴς καὶ ῥήτωρ ἐκ τοῦ ἐν Σικελίᾳ Λεοντίου, μαθητὴς τοῦ Ἐμπεδοκλέους καὶ διδάσκαλος τοῦ Ἰσοκράτους. 12) Πλησίον εἰς τὸ τέλος. 13) Τῶν οἰκείων.

7. Σωκράτους πρὸς θάνατον ἀφοβία.

Σωκράτης δὲ καὶ αὐτὸς βαθύτατα γηρῶν εἶτα νόσῳ περιπεσών, ἐπεί τις αὐτὸν ἠρώτησε πῶς ἔχοι· Καλῶς, εἶπε, πρὸς ἀμφότερα· ἐὰν μὲν γὰρ ζῶ, ζηλωτὰς ἕξω πλείονας· ἐὰν δὲ ἀποθάνω, ἐπαινέτας πλείονας.

8. Φιλοπατρία Ξενοφῶντος.

Ξενοφῶντι[1] θύοντι ἧκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων τὸν υἱὸν αὐτοῦ τὸν Γρύλλον τεθνάναι· κἀκεῖνος ἀπέθετο μὲν τὸν στέφανον, διετέλει δὲ θύων. Ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε τῷ πρότερον λόγῳ καὶ ἐκεῖνον τὸν λέγοντα ὅτι νικῶν μέντοι[2] τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τῇ κεφαλῇ τὸν στέφανον. Ταῦτα μὲν οὖν δημώδη καὶ ἐς πολλοὺς ἐκπεφοίτηκεν[3].

9. Καρτεροψυχία Ἀναξαγόρου.

Ἀναξαγόρᾳ[4] τις τῷ Κλαζομενίῳ, σπουδάζοντι πρὸς τοὺς ἑταίρους, προσελθὼν ἔφη, τεθνηκέναι οἱ τοὺς δύο παῖδας, οὕς περ οὖν καὶ εἶχε μόνους ὁ Ἀναξαγόρας. Ὁ δέ, μηδὲν διαταραχθείς, εἶπεν· Ἤδειν[5] θνητοὺς γεγεννηκώς.

---

1) Περίφημος στρατηγός, φιλόσοφος καὶ ἱστοριογράφος, υἱὸς τοῦ Γρύλλου, γεννηθεὶς ἐν Ἀθήναις τῷ γ'. ἔτει τῆς 83' Ὀλυμπιάδος, μαθητὴς τοῦ Σωκράτους. Συνακολουθήσας μετὰ τῶν μυρίων Ἑλλήνων Κῦρον τὸν νεώτερον εἰς τὴν Περσίαν, εὐτύχησε διὰ τῆς φρονήσεώς του νὰ ἐπαναφέρῃ αὐτοὺς εἰς τὰς πατρίδας των. Ἀπέθανεν ἐν ἡλικίᾳ 93 ἐτῶν. Ἔσχε δὲ ἐκ τῆς γυναικὸς αὐτοῦ Φιλησίας δύο υἱούς, τὸν Γρύλλον καὶ Διόδωρον. 2) Ὅμως. 3) Ἐκφοιτάω-ῶ, κοινοποιοῦμαι. 4) Ἀναξαγόρας φιλόσοφος ἐκ Κλαζομενῶν τῆς Ἰωνίας, φίλος καὶ διδάσκαλος τοῦ Περικλέους καὶ τοῦ Σωκράτους. 5) ὑπερσ. τοῦ Οἶδα=Ἠξεύρω, γνωρίζω.

10. Θεμιστοκλῆς παῖς ἔτι μέγα φρονῶν.

Ἐπανῄει[1] ποτὲ ἐκ διδασκαλείου παῖς ἔτι ὢν Θεμιστοκλῆς. Εἶτα προσιόντος[2] Πεισιστράτου[3] ὁ παιδαγωγὸς ἔφη τῷ Θεμιστοκλεῖ μικρὸν ἐκχωρῆσαι τῆς ὁδοῦ προσάγοντος τοῦ τυράννου. Ὁ δὲ καὶ πάνυ ἐλευθερίως ἀπεκρίνατο· Αὕτη γὰρ, εἶπεν, αὐτῷ οὐχ ἱκανὴ ὁδός; Οὕτως ἄρα εὐγενές τι καὶ μεγαλόφρον ἐνεφαίνετο τῷ Θεμιστοκλεῖ[4] καὶ ἐξ ἐκείνου.

11. Τῦφος Ἀλκιβιάδου.

Ὁρῶν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ καὶ μέγα φρονοῦντα[5] ἐπὶ τῇ περιουσίᾳ καὶ ἔτι πλέον ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν ἔς τινα τῆς πόλεως τόπον, ἔνθα ἀνέκειτο πινάκιον[6] ἔχον γῆς περίοδον[7], καὶ προσέταξε τῷ Ἀλκιβιάδῃ τὴν Ἀττικὴν ἐνταῦθ' ἀναζητεῖν. Ὡς δ' εὗρε[8], προσέταξεν αὐτῷ τοὺς ἀγροὺς τοὺς ἰδίους διαθρῆσαι[9]. Τοῦ δὲ εἰπόντος· Ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν· Ἐπὶ τούτοις οὖν, εἶπε, μέγα φρονεῖς, οἵπερ οὐδὲν μέρος τῆς γῆς εἰσιν;

12. Ἐπαμεινώνδου αὐτάρκεια.

Ἐπαμεινώνδας ἕνα εἶχε τρίβωνα[10], καὶ αὐτὸν ῥυπῶντα. εἴ ποτε δὲ αὐτὸν ἔδωκεν ἐς κναφεῖον[11] αὐτὸς ὑπέμενεν

---

[1]) Ἐπάνειμι. [2]) Πρόσειμι. [3]) Ὁ τύραννος τῶν Ἀθηναίων. [4]) Ἀντί, ἐφαίνετο ἐν τῷ Θεμιστοκλεῖ. [5]) Μεγαλοφρονοῦντα. [6]) Χάρτης γεωγραφικός. [7]) Τοπογραφίαν, περιγραφήν. [8]) Ὁ Ἀλκιβιάδης τὸ διάγραμμα τῆς Ἀττικῆς. [9]) Διαθρέω. Διαθρῆσαι=νὰ κυττάξῃ νὰ εὕρῃ. [10]) Ἐπανωφόρι μάλλινον. [11]) (Καὶ γναφεῖον) =εἰς τὴν πλύσιν.

οἴκοι[1] δι' ἀπορίαν ἑτέρου. Ἐν δὴ τούτῳ τῆς περιουσίας ὤν[2] τοῦ Περσῶν βασιλέως πέμψαντος αὐτῷ πολὺ χρυσίον, οὐ προσήκατο[3]· καὶ εἴτι ἐγὼ νοῶ[4], μεγαλοφρονέστερος ἦν τοῦ διδόντος ὁ μὴ λαβών.

13. Περὶ γενναίας πράξεως.

Ταραντίνων[5] πολιορκουμένων ὑπὸ Ἀθηναίων καὶ μελλόντων ἁλῶναι λιμῷ οἱ Ῥηγῖνοι[6] ἐψηφίσαντο μίαν ἡμέραν ἐν ταῖς δέκα νηστεύειν καὶ ἐκείνης τὰς τροφὰς ἐκχωρῆσαι Ταραντίνοις· ἀποστάντων οὖν αὐτῶν ἐσώθησαν, καὶ μεμνημένοι τοῦ πάθους ἑορτὴν ἄγουσι τὴν καλουμένην Νηστείαν οἱ Ταραντῖνοι.

14. Ἀφοσίωσις πρὸς τὴν τέχνην.

Νικίας[7] ὁ ζωγράφος τοσαύτην περὶ τὸ γράφειν σπουδ᾽ν εἶχεν, ὡς ἐπιλαθέσθαι[8] πολλάκις αὐτὸν τροφὴν προσενέγ ασθαι προστετηκότα[9] τῇ τέχνῃ.

15. Εὐεργεσία.

Ἀριστοτέλης[10] ὁ Κυρηναῖος[11] ἔλεγε μὴ δεῖν εὐεργεσίαν

---

1) Κατ' οἶκον. 2) Ἐνῷ ἦτο εἰς αὐτὴν τὴν κατάστασιν τῆς περιουσίας του, ἐνῷ τοιαύτη ἦτο ἡ περιουσία του. 3) Προσίημι. 4) Ἂν ὀρθῶς φρονῶ, δηλ. ὡς μοὶ φαίνεται. 5) Τάρας-αντος (ὁ καὶ ἡ) πόλις μὲ λιμένα τῆς Ἀπουλίας ἐν τῇ κάτω Ἰταλίᾳ, (ὁ πολ. Ταραντῖνος). 6) Ῥήγιον, ἀκρωτ. τῆς κάτω Ἰταλίας, προέχον ἀπέναντι τῆς ἐν Σικελίᾳ πόλεως Μεσσήνης. 7) Υἱὸς τοῦ Νικομήδους, περίφημος ζωγράφος ἐξ Ἀθηνῶν σύγχρονος τοῦ Μ. Ἀλεξάνδρου. 8) Ἐπιλανθάνομαι. 9) Προστήκω, (συνήθ. ὁ μσ. πρκ. ἀντὶ ἐνστ.) Προστέτηκα, (μὲ δοτ.)=εἶμαι προσηλωμένος εἴς τι. 10) Φιλόσοφος σύγχρονος τοῦ Ἀντιγόνου. 11) Κυρήνη πρωτεύουσα τῆς Κυρηναϊκῆς ἐν τῇ Λιβύῃ, (ὁ πολ. Κυρηναῖος).

παρά τινος προσίεσθαι· ἢ γὰρ ἀποδιδόναι πειρώμενον πράγματα ἂν ἔχειν ἢ μὴ ἀποδιδόντα ἀχάριστον φαίνεσθαι.

16. Παρομοίωσις Ἀρχύτα.

Ἀρχύτας[1] ἔλεγεν· Ὥσπερ ἔργον[2] ἐστὶν εὑρεῖν ἰχθὺν ἄκανθαν[3] μὴ ἔχοντα, οὕτω καὶ ἄνθρωπον μὴ κεκτημένον τι δολερὸν καὶ ἀκανθῶδες.

17. Περὶ ἀφιλοχρηματίας.

Πελοπίδας δὲ ἐπιτιμώντων αὐτῷ τῶν φίλων ὅτι χρημάτων ἀμελεῖ πράγματος ἐς τὸν βίον λυσιτελοῦς[4]· Νὴ τὸν Δία, εἶπε, λυσιτελές, ἀλλὰ Νικομήδει τούτῳ, δείξας χωλόν[5] τινα καὶ ἀνάπηρον[6]

18. Πολυτέλεια Ἀκραγαντίνων.

Πλάτων ὁ Ἀρίστωνος ἰδὼν Ἀκραγαντίνους[7] καὶ οἰκοδομοῦντας πολυτελῶς καὶ ὁμοίως δειπνοῦντας, εἶπεν, ὅτι ἄρα οἱ Ἀκραγαντῖνοι οἰκοδομοῦσι μὲν ὡς ἀεὶ βιωσόμενοι, δειπνοῦσι δὲ ὡς αὔριον τεθνηξόμενοι. Λέγει δὲ Τίμαιος ὅτι καὶ ἀργυραῖς ληκύθοις[8] καὶ στλεγγίσιν[9] ἐχρῶντο καὶ ἐλεφαντίνας[10] κλίνας εἶχον ὅλας.

---

1) Φιλόσοφος Πυθαγορικὸς ἐξ Ἰταλίας φίλος τοῦ Πλάτωνος. 2) Δύσκολον. 3) Ψαροκόκκαλον. 4) Ἐπωφελοῦς. 5) Κουτσόν. 6) Σακάτην. 7) Ἀκράγας πόλις τῆς Σικελίας, κειμένη ἐπὶ τῶν μεσημβρινῶν αὐτῆς παραλίων παρὰ τὸν ὁμώνυμον ποταμὸν καὶ τὸ ὁμώνυμον ὄρος, (ὁ πολ. Ἀκραγαντῖνος). 8) Λήκυθος (ἡ), Σκεῦος (φιάλη) πρὸς ἐναπόθεσιν ἐλαίου, λαδικόν, «Ἔλαιον χρυσέῃ ἐν ληκύθῳ», Ὁμ. Ὀδύσσ. Δ., Ζ. 9) Στλεγγὶς=ξύστρα, (τὴν ὁποίαν μετεχειρίζοντο εἰς τὸ λουτρόν). 10) Κατεσκευασμέας ἐξ ἐλέφαντο., (Τουρκ. φιλδισένιας).

19. Ἀμαθία Μεγαρέων.

Διογένης ὁ Σινωπεὺς ἔλεγε πολλά, τὴν ἀμαθίαν καὶ τὴν ἀπαιδευσίαν τῶν Μεγαρέων διαβάλλων καὶ ἐβούλετο Μεγαρέως ἀνδρὸς κριὸς εἶναι μᾶλλον ἢ υἱός. Ἠνίττετο[1] δὲ ὅτι τῶν θρεμμάτων[2] ποιοῦνται πρόνοιαν οἱ Μεγαρεῖς, τῶν παίδων δὲ οὐχί.

20. Ἀλήθεια καὶ εὐεργεσία.

Πυθαγόρας[3] ἔλεγε δύο ταῦτα ἐκ τῶν θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα, τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν· καὶ προσετίθει ὅτι καὶ ἔοικε τοῖς θεῶν ἔργοις ἑκάτερον[4].

21. Εἰκὼν περὶ Ὁμήρου.

Πτολεμαῖος[5] ὁ Φιλοπάτωρ κατασκευάσας Ὁμήρῳ νεὼν[6], αὐτὸν μὲν ἐν μέσῳ ἐκάθισε, κύκλῳ δὲ τὰς πόλεις περιέστησεν, ὅσαι ἀντιποιοῦνται τοῦ Ὁμήρου. Γαλάτων δὲ ὁ ζωγράφος ἔγραψε τὸν μὲν Ὅμηρον αὐτὸν ἐμοῦντα, τοὺς δὲ ἄλλους ποιητὰς τὰ ἐμημεσμένα[7] ἀρυτομένους.

---

[1]) Αἰνίττομαι, ὁμιλῶ ἀλληγορικῶς, ὑπαινίττομαι. [2]) Τὰ θρέμματα=τὰ κτήνη, καὶ ἰδίως τὰ σφακτά, τὰ πρόβατα κτλ. [3]) Περίφημος φιλόσοφος Ἕλλην, υἱὸς τοῦ Μνησάρχου, καὶ μαθητὴς τοῦ Φερεκύδους γεννηθεὶς ἐν Σάμῳ περὶ τὴν 49 Ὀλυμπιάδα. Τὰ ἀναφερόμενα εἰς αὐτὸν συγγράμματα δὲν εἶνε γνήσια· διότι ὁ Πυθαγόρας οὐδὲν ἔγραψε. Γαλην. Τόμ. ιέ. σ. 67 «καὶ μάλισθ' ὅτι μηδ' ἔγραψαν ἔνιοι σύγγραμμα μηδέν, ὥσπερ Σωκράτης καὶ Πυθαγόρας καὶ τῶν καθ' ἡμᾶς ἐνδόξων ἰατρῶν Κόϊντος». [4]) Καὶ τὸ ἓν καὶ τὸ ἄλλο. [5]) Ὁ ἐπικληθεὶς κατ' εὐφημισμὸν Φιλοπάτωρ, διότι ἐφόνευσεν, ὡς ἐλέγετο, τὸν πατέρα του, υἱὸς καὶ διάδοχος τοῦ Εὐεργέτου, ἀποθανὼν εἰς ἡλικίαν 37 ἐτῶν μετὰ τυραννικὴν βασιλείαν, 220—203 πρὸ Χ. [6]) Ἀττικῶς ἀντὶ Ναόν. [7]) Μετοχὴ τοῦ παθ. παρακ. τοῦ ῥήμ. ἐμέω—ῶ=ξερνῶ.

22. Κλεισθένης.

Κλεισθένης ὁ Ἀθηναῖος τὸ ἐξοστρακίζεσθαι πρῶτος ἐσηγησάμενος, αὐτὸς ἔτυχε τῆς καταδίκης πρῶτος.

23. Μητρικὸς θρῆνος Ὀλυμπιάδος.

Ὀλυμπιάς[1] ἡ Ἀλεξάνδρου πυθομένη ὅτι πολὺν χρόνον ὁ παῖς αὐτῆς ἄταφος μένει, βαρὺ ἀναστένουσα[2] καὶ θρηνοῦσα εὖ μάλα[3] λιγέως[4]· Ὦ τέκνον εἶπεν, ἀλλὰ σὺ μὲν οὐρανοῦ μετασχεῖν βουλόμενος καὶ τοῦτο σπεύδων, νῦν οὐδὲ τῶν κοινῶν δήπου καὶ ἴσων πᾶσιν ἀνθρώποις μετασχεῖν ἔχεις, γῆς τε ἅμα καὶ ταφῆς, καὶ τὰς ἑαυτῆς τύχας οἰκτείρασα καὶ τὸ τοῦ παιδὸς τετυφωμένον ἐλέγξασα.

24. Ξενοκράτους εὐσπλαγχνία.

Ξενοκράτης[5] ὁ Χαλκηδόνιος, ὁ ἑταῖρος Πλάτωνος, τά τε ἄλλα ἦν φιλοικτίρμων[6] καὶ οὐ μόνον φιλάνθρωπος, ἀλλὰ καὶ πολλὰ τῶν ἀλόγων ζῴων ἠλέει. Καὶ οὖν ποτε καθημένου ἐν ὑπαίθρῳ, διωκόμενος βιαίως στρουθὸς ὑπὸ ἱέρακος ἐς τοὺς κόλπους αὐτοῦ κατέπτη. Ὁ δὲ ἀσμένως ἐδέξατο τὸν ὄρνιν, καὶ διεφύλαξεν ἀποκρύψας, ἔστε[7] ὁ διώκων ἀπῆλθεν. Ἐπεὶ δὲ ἠλευθέρωσεν αὐτὸν τοῦ φόβου, ἁπλώσας τὸν κόλπον ἀφῆκε τὸν ὄρνιν, ἐπειπὼν ὅτι μὴ ἐξέδωκε τὸν ἱκέτην.

---

[1]) Θυγάτηρ τοῦ Νεοπτολέμου ἡγεμόνος τῆς Ἠπείρου, γυνὴ Φιλίππου τοῦ βασιλέως τῆς Μακεδονίας καὶ μήτηρ τοῦ Μ. Ἀλεξάνδρου. [2]) Ἀναστένω=Στενάζω ἐκ βάθους (καρδίας), βαρειαναστενάζω, κλαίω, μυρολογῶ. [3]) Εὖ μάλα=παρὰ πολὺ δυνατά. [4]) Ἐπίρρ. Μὲ λιγυρὰν (διαπεραστικὴν) φωνήν. [5]) Φιλόσοφος ἐκ Χαλκηδόνος, μαθητὴς τοῦ Πλάτωνος καὶ διδάσκαλος τοῦ Δημοσθένους. [6]) Φιλελεήμων, συμπαθής. [7]) Ἕως ὅτου.

25. Πυθαγόρου δοξασίαι.

Πυθαγόρας ἔλεγεν ἱερώτατον εἶναι τὸ τῆς μαλάχης[1] φύλλον. Ἔλεγε δὲ ὅτι πάντων σοφώτατον ὁ ἀριθμὸς, δεύτερος δὲ ὁ τοῖς πράγμασι τὰ ὀνόματα θέμενος. Καὶ τὸν σεισμὸν ἐγενεαλόγει οὐδὲν ἄλλο εἶναι ἢ σύνοδον τῶν τεθνεώτων. Ἡ δὲ Ἶρις[2] ἔφασκεν ὡς αὐγὴ τοῦ ἡλίου ἐστὶ, καὶ ὁ πολλάκις ἐμπίπτων τοῖς ὠσὶν ἦχος φωνὴ τῶν κρειττόνων[3]. Οὐχ οἷόν τε δὲ ἦν διαπορῆσαι ὑπέρ τινος αὐτῷ ἢ τοῖς λεχθεῖσί τι προσερωτῆσαι, ἀλλ' ὡς χρησμῷ θείῳ, οὕτως οἱ τότε προσεῖχον τοῖς λεγομένοις ὑπ' αὐτοῦ. Ἐπιστρεφομένου δὲ τὰς πόλεις αὐτοῦ διέρρει[4] λόγος ὅτι Πυθαγόρας ἀφίκετο οὐ διδάξων ἀλλ' ἰατρεύσων.

26. Τῦφος Μενεκράτους.

Μενεκράτης[5] ὁ ἰατρὸς ἐς τοσοῦτον προῆλθε τύφου[6], ὥστε ἑαυτὸν ὀνομάζειν Δία. Ἐπέστειλε δέ ποτε ἐπιστολὴν Φιλίππῳ τῷ Μακεδόνων βασιλεῖ τοιαύτην· «Φιλίππῳ Μενεκράτης ὁ Ζεὺς εὖ πράττειν[7]». Ἀντέγραψε[8] δὲ καὶ ὁ Φίλιππος «Φίλιππος Μενεκράτει ὑγιαίνειν. Συμβουλεύω σοι προσάγειν τοῖς κατὰ Ἀντίκιρραν τόποις[9]». Ἠνίττετο δὲ ἄρα διὰ τούτων ὅτι παραφρονεῖ ὁ ἀνήρ.

---

[1]) Μολόχας. [2]) Τὸ οὐράνιον τόξον τὸ φαινόμενον μετὰ τὴν βροχήν. [3]) Οἱ κρείττονες, οἱ θεοί, αἱ οὐράνιαι δυνάμεις. [4]) Διαρρέω· Διέρρει λόγος = ἐκυκλοφόρει φήμη. [5]) Ἰατρὸς ἐκ Συρακουσῶν. [6]) Τῦφος = οἴησις, φαντασία, τρελλοπεριφάνεια. [7]) Εὖ πράττειν = εὐτυχεῖν. [8]) Ἀντιγράφω = ἀποκρίνομαι ἐγγράφως εἰς ἔγγραφον, (ἀπήντησε). [9]) Ἀντίκιρραν τόποις. Εἰς τὴν Ἀντίκιρραν, ἐφύετο τὸ πάλαι ἄφθονος ἐλλέβορος (χόρτον θεραπευτικὸν τῶν τρελλῶν). Προσάγειν εἰς Ἀντίκιρραν, φράσις ἔχουσα ἔννοιαν ἀντίστοιχον ταῖς παρ' ἡμῖν: «Εἶσαι διὰ τὴν Κέρκυραν», «Εἶσαι διὰ τὴν Τῆνον».

27. Τὸ φιλόπολι τοῦ Ἀγησιλάου.

Ἀγησίλαος[1] ὁ Λακεδαιμόνιος γέρων ἤδη ὢν ἀνυπόδητος πολλάκις καὶ ἀχίτων προῄει[2], τὸν τρίβωνα περιβαλλόμενος αὐτὸν[3], καὶ ταῦτα ἑωθινὸς[4] ἐν ὥρᾳ χειμερίῳ. Ἠτιάσατο[5] δέ τις αὐτὸν ὡς νεανικώτερα τῆς ἡλικίας ἐπιχειροῦντα· ὁ δέ· Ἀλλ' οἵ γε νέοι, φησί, τῶν πολιτῶν ὥσπερ οὖν πῶλοι[6], πρὸς τὸν τέλειον ἀποβλέπουσιν ἐμέ.

28. Διογένους ἀδιαφορία πρὸς θάνατον.

Διογένης ὁ Σινωπεὺς ὅτε λοιπὸν ἐνόσει ἐπὶ θανάτῳ, ἑαυτὸν φέρων μόνον ἔρριψε κατά τινος γεφυρίου πρὸς γυμνασίῳ ὄντος, καὶ προσέταξε τῷ παλαιστροφύλακι[7], ἐπειδὰν αἴσθηται ἀποπεπνευκότα αὐτὸν, ῥῖψαι ἐς τὸν Ἰλισ όν. Οὕτως ἄρα ὀλίγον ἔμελε Διογένει καὶ θανάτου καὶ ταφῆς.

29. Μετριοφροσύνη Φιλίππου.

Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους νίκῃ ἐνίκησε Φίλιππος. Ἐπαρθεὶς[8] δὲ τῇ εὐπραγίᾳ, ὅμως λογισμῷ ἐκράτησε[9], καὶ οὐχ ὕβρισε καὶ διὰ ταῦτα ᾤετο[10] δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἕωθεν, ὅτι ἄνθρωπός ἐστι, καὶ προσέταξε τῷ παιδὶ τοῦτο[11] ἔχειν ἔρ—

---

[1]) Βασιλεὺς καὶ μέγας στρατηγὸς τῶν Λακεδαιμονίων. [2]) Πρόειμι. [3]) Δηλ. χωρὶς χιτῶνα. [4]) Ὁ Ἀγησίλαος ἑωθινὸς, δηλ. ὁ Ἀγησίλαος εἰς ὥραν πρωινήν. [5]) Αἰτιῶμαι, κατηγορῶ. [6]) Πῶλος ὁ καὶ ἡ) ὁ νεογέννητος, ἵππος, (πουλάρι). Ἐντθ. Μτφορ. νέος παῖς. [7]) Παλαιστροφύλαξ, ὁ φύλαξ (ἐπιστάτης) τῆς παλαίστρας, [8]) Ἐπαίρομαι. [9]) Διὰ τοῦ λογικοῦ ἐκράτησε τὸν ἑαυτόν του. [10]) Οἶμαι. [11]) Τὸ ὑπομιμνήσκειν.

γον. Καὶ οὐ πρότερόν φασιν, οὔτε αὐτὸς προήει, οὔτε τις τῶν δεομένων αὐτοῦ παρ' αὐτὸν εἰσήει[1], πρὶν τοῦτο αὐτῷ τὸν παῖδα ἑκάστης ἡμέρας ἐκβοῆσαι τρίς. Ἔλεγε δὲ αὐτῷ· Φίλιππε, ἄνθρωπος εἶ.

30. Ἀμουσία Θηβαίων.

Πίνδαρος[2] ὁ ποιητὴς ἀγωνιζόμενος[3] ἐν Θήβαις ἀμαθέσι περιπεσὼν ἀκροαταῖς ἡττήθη Κορίννης[4] πεντάκις. Ἐλέγχων δὲ τὴν ἀμουσίαν αὐτῶν ὁ Πίνδαρος σῦν ἐκάλει τὴν Κόριννα.

---

[1]) Εἴσειμι. [2]) Πίνδαρος, περίφημος λυρικὸς ποιητὴς τῆς Ἑλλάδος, γεννηθεὶς ἐν Θήβαις τῷ 520 πρὸ Χ., καὶ διδαχθεὶς τὴν ποιητικὴν ὑπὸ τοῦ Σιμωνίδου καὶ τῆς Κορίννης, καὶ τὴν φιλοσοφίαν, ὡς λέγεται, τοῦ Πυθαγόρου ἐν καιρῷ τῆς ἐν Σικελίᾳ διατριβῆς του· ἐκ τῶν ποιημάτων του διεσώθησαν ΙΔ'. Ὀλυμπιακαὶ ᾠδαί, ΙΒ'. Πυθικαί, Η'. Ἰσθμικαὶ καὶ ΙΑ'. Νεμεακαί. [3]) Ἀγωνίζομαι=Μάχομαι περὶ βραβείου, κυρίως εἰς τοὺς δημοσίους ἀγῶνας, ἢ εἰς τὸ θέατρον κτλ. [4]) Κόριννα, ποιήτρια ἐκ τῆς ἐν Βοιωτίᾳ Τανάγρας.



Ζ'. ΑΘΗΝΑΙΟΥ

ΕΚ ΤΩΝ ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ

Ἀθήναιος, φιλόσοφος καὶ γραμματικὸς ἐκ τῆς ἐν Αἰγύπτῳ πόλεως Ναυκράτεως, ζήσας περὶ τὰς ἀρχὰς τῆς τρίτης ἀπὸ Χριστοῦ ἑκατονταετηρίδος, συνέγραψεν εἰς 15 βιβλία, Συμπόσιον σοφῶν, ἐπιγραφόμενον Δειπνοσοφισταί, ἀφ' οὗ ἐπωνομάσθη καὶ αὐτὸς Δειπνοσοφιστής.

1. Θάνατος ἐκ τρυφῆς.

Ἀγαθαρχίδης[1] ἐν τῇ ἑκκαιδεκάτῃ Εὐρωπιακῶν Μάγαν[2] φησὶ, τὸν Κυρήνης βασιλεύσαντα ἔτη πεντήκοντα, ἀπολέμητον[3] γενόμενον, καὶ τρυφῶντα, κατάσαρκον γενέσθαι ἐκτόπως[4] τοῖς ὄγκοις κατὰ τὸν ἔσχατον καιρὸν, καὶ ὑπὸ τοῦ πάχους ἀποπνιγῆναι, δι' ἀργίαν σώματος καὶ τὸ προσφέρεσθαι πλῆθος τροφῆς.

2. Ἐλευθεριότης Κίμωνος.

Κίμων ὁ Ἀθηναῖος ἐν τοῖς ἀγροῖς καὶ τοῖς κήποις οὐδένα τοῦ καρποῦ καθίστα φύλακα, ὅπως οἱ βουλόμενοι

---

[1]) Γεωγράφος Κνίδιος, συγγράψας περὶ τὸ 160 π. Χ. περίπλουν τῆς Ἐρυθρᾶς θαλάσσης. [2]) Μάγας, ἀδελφὸς τοῦ Φιλαδέλφου. [3]) Ἀπολέμητος, ὁ μὴ πολεμηθείς. [4]) Ἐκτόπως = μὲ ὑπερβολὴν· ἤτοι ἐξωγκώθη ὑπερβολικῶς ἐκ τῆς ὑπερσαρκίας.

τῶν πολιτῶν εἰσιόντες ὀπωρίζωνται[1], καὶ λαμβάνωσιν, εἴ τινος δέοιντο τῶν ἐν τοῖς χωρίοις[2]. Ἔπειτα τὴν οἰκίαν παρεῖχε κοινὴν ἅπασι· καὶ δεῖπνον ἀεὶ εὐτελὲς παρασκευάζεσθαι πολλοῖς ἀνθρώποις, καὶ τοὺς ἀπόρους προσιόντας τῶν Ἀθηναίων εἰσιόντας δειπνεῖν. Ἐθεράπευε δὲ καὶ τοὺς καθ' ἑκάστην ἡμέραν αὐτοῦ τι δεομένους· καὶ λέγουσιν ὡς περιήγετο[3] μὲν ἀεὶ νεανίσκους δύ' ἢ τρεῖς, ἔχοντας κέρματα[4]· τούτοις τε διδόναι προσέταττεν, ὁπότε τις προσέλθοι αὐτοῦ δεόμενος.

3. Τρυφηλότης Συβαριτῶν.

Περὶ δὲ Συβαριτῶν[5] τί δεῖ καὶ λέγειν; παρ' οἷς πρώτοις εἰσήχθησαν εἰς τὰ βαλανεῖα[6] λουτροχόοι καὶ παραχύται[7] πεπεδημένοι[8], τοῦ μὴ θᾶττον ἰέναι, καὶ ὅπως μὴ σπεύδοντες κατακαίωσι τοὺς λουομένους. Πρῶτοι δὲ Συβαρῖται καὶ τὰς ποιούσας ψόφον τέχνας οὐκ ἐῶσιν ἐπιδημεῖν τῇ πόλει, οἷον χαλκέων καὶ τεκτόνων καὶ τῶν ὁμοίων, ὅπως αὐτοῖς πανταχόθεν ἀθόρυβοι ὦσιν οἱ ὕπνοι. Οὐκ ἐξῆν δ' οὐδ' ἀλεκτρυόνα ἐν τῇ πόλει τρέφεσθαι. Ἱστορεῖ δὲ περὶ αὐτῶν Τίμαιος, ὅτι ἀνὴρ Συβαρίτης εἰς ἀγρόν ποτε πορευόμενος ἔφη, ἰδὼν τοὺς ἐργάτας σκάπτοντας, αὐτὸς ῥῆγμα λαβεῖν· πρὸς ὃν ἀποκρίνασθαί

---

[1]) Κόπτουσι 'πωρικά. [2]) Ἀγροῖς, ὑποστατικοῖς, κτήμασιν. [3]) Περιάγομαι = Περιφέρω μαζῆ μου, σύρω κατόπιν μου. [4]) Ψιλὰ νομίσματα. [5]) Σύβαρις, εως καὶ ιδος, πόλις τῆς κάτω Ἰταλίας ἐν τῇ Λευκανίᾳ ἐπὶ τοῦ Ταραντίνου κόλπου, (ὁ πολ. Συβαρίτης). [6]) Λουτρά. [7]) Λουτροχόοι, καὶ παραχύται, ὑπηρέται τῶν λουτρῶν χύνοντες νερὸν εἰς τοὺς λουομένους. [8]) Παθτ. παρακ. τοῦ Πεδάω-ῶ = Δένω μὲ πέδας, δεσμούς· κάμνω νὰ μὴ κινῆται, ἐμποδίζω.

τινα τῶν ἀκουσάντων, αὐτὸς δὲ σοῦ διηγουμένου ἀκούων πεπονηκέναι τὴν πλευράν.

4. Τὸ κιτρίον ὡς ἀντιφάρμακον.

Ὅτι δὲ καὶ προλαμβανόμενον τὸ κιτρίον[1] πάσης τροφῆς ξηρᾶς τε καὶ ὑγρᾶς ἀντιφάρμακόν ἐστι παντὸς δηλητηρίου, εὖ οἶδα, μαθὼν παρὰ πολίτου ἐμοῦ, πιστευθέντος τὴν τῆς Αἰγύπτου ἀρχήν. Οὗτος κατεδίκασέ τινας γενέσθαι θηρίων βορὰν[2] κακούργους εὑρεθέντας, καὶ ἔδει αὐτοὺς ἀποσίτοις ζῴοις παραβληθῆναι. Εἰσιοῦσι δὲ αὐτοῖς εἰς τὸ τοῖς λησταῖς εἰς τιμωρίαν ἀποδεδειγμένον θέατρον, κατὰ τὴν ὁδὸν κάπηλίς[3] τις γυνὴ κατ' ἔλεον ἔδωκεν οὗ μετὰ χεῖρας εἶχεν ἐσθίουσα κιτρίου, καὶ λαβόντες ἔφαγον, καὶ μετ' οὐ πολύ, παραβληθέντες πελωρίοις καὶ ἀγριωτάτοις ζῴοις, ταῖς ἀσπίσι[4] δηχθέντες[5], οὐδὲν ἔπαθον. Ἀπορία δὲ κατέσχε τὸν ἄρχοντα. Καὶ τὸ τελευταῖον ἀνακρίνων τὸν αὐτοὺς φυλάττοντα στρατιώτην, εἴ τι ἔφαγον ἢ ἔπιον, ὡς ἔμαθε κατὰ τὸ αὐτὸ ἐξ ἀκεραίου τὸ κιτρίον δεδομένον, τῇ ἐπιούσῃ τῶν ἡμερῶν τῷ μὲν πάλιν ἐκέλευσε δοθῆναι κιτρίου, τῷ δ' οὔ· καὶ ὁ μὲν φαγὼν δηχθεὶς οὐδὲν ἔπαθεν, ὁ δὲ παραυτίκα πληγεὶς ἀπέθανε.

5. Λιτότης δείπνου.

Αἰγυπτίων ἐπιστρατευσάντων ἐπὶ Ὦχον[6] τὸν Περσῶν

---

[1]) Κιτρίον, γρφ. καὶ Κίτριον, ὁ καρπὸς ἢ ἡ φλοῦδα τῆς κιτριᾶς, κιτρόμηλον. [2]) Βορά, τροφὴ (κυρίως τῶν σαρκοφάγων ζῴων). [3]) Κάπηλις, μεταπωλήτρια, ἢ λιανοπωλήτρια (κυρίως ἐδωδίμων), κρασοπῶλις. [4]) Ἀσπίς, ἐντθ. εἶδος φαρμακεροῦ ὄφεως. [5]) Δάκνομαι. Δάκνω, δαγκάνω, κεντῶ. [6]) Ἐπώνυμον Ἀρταξέρξου τοῦ Γ'.

βασιλέα, καὶ νικηθέντων, ἐπεὶ ἐγένετο αἰχμάλωτος ὁ τῶν Αἰγυπτίων βασιλεύς, ὁ Ὦχος αὐτὸν φιλανθρώπως ἄγων ἐκάλεσε καὶ ἐπὶ δεῖπνον. Τῆς οὖν παρασκευῆς γενομένης λαμπρᾶς, ὁ Αἰγύπτιος κατεγέλα, ὡς εὐτελῶς τοῦ Πέρσου διαιτωμένου. Εἰ δὲ θέλεις, ἔφη, εἰδέναι, ὦ βασιλεῦ, πῶς δεῖ σιτεῖσθαι τοὺς εὐδαίμονας βασιλέας, ἐπίτρεψον τοῖς ἐμοῖς ποτε γενομένοις μαγείροις παρασκευάσαι σοι Αἰγύπτιον δεῖπνον. Καὶ κελεύσαντος, ἐπεὶ παρεσκευάσθη, ἡσθεὶς ὁ Ὦχος τῷ δείπνῳ· Κακὸν κακῶς σε, ἔφη, ὦ Αἰγύπτιε, ἀπολέσειαν οἱ θεοί, ὅστις δεῖπνα τοιαῦτα καταλιπών, ἐπεθύμησας θοίνης[1] εὐτελεστέρας.

6. Μονομαχία ἐν καιρῷ δείπνου.

Κελτοὶ[2] ἐνίοτε παρὰ τὸ δεῖπνον μονομαχοῦσιν. Ἐν γὰρ τοῖς ὅπλοις ἀγερθέντες σκιαμαχοῦσι καὶ πρὸς ἀλλήλους ἀκροχειρίζονται, ποτὲ δὲ καὶ μέχρι τραύματος προΐασι, καὶ ἐκ τούτου ἐρεθισθέντες, ἐὰν μὴ ἐπίσχωσιν οἱ παρόντες, καὶ ἕως ἀναιρέσεως[3] ἔρχονται. Τὸ δὲ παλαιόν φησιν, ὅτι παρατεθέντων κωλήνων[4] τὸ μηρίον ὁ κράτιστος ἐλάμβανεν· εἰ δέ τις ἕτερος ἀντιποιήσαιτο, συνίσταντο μονομαχήσοντες μέχρι θανάτου.

7. Ἥρας ἐκδίκησις.

Καὶ περὶ τῆς γεράνου δέ φησιν ὁ Βοῖος, ὅτι ἦν τις παρὰ τοῖς Πυγμαίοις[5] γυνὴ διάσημος, ὄνομα Γεράνα.

---

[1]) Θοίνη, τροφή, φαγητόν, συμπόσιον, εὐωχία. [2]) Κελτοί, ἓν τῶν τεσσάρων ἐθνῶν, τὰ ὁποῖα κατῴκουν τὸ πάλαι τὴν Γαλλίαν, ὑπὸ τῶν Ἑλλήνων καὶ Ῥωμαίων, Γαλάται καὶ Γάλλοι καλούμενοι. [3]) Σκοτώματος. [4]) Κωλήν, ῆνος = χοιρομέρι. [5]) Ἔθνος τι μυθῶδες τῆς Λιβύης.

Αὕτη κατὰ θεὸν[1] τιμωμένη πρὸς τῶν πολιτῶν, αὐτὴ τοὺς ὄντως θεοὺς ταπεινῶς ἦγε, μάλιστα δὲ Ἥραν[2] τε καὶ Ἄρτεμιν[3]. Ἀγανακτήσασα οὖν ἡ Ἥρα, εἰς ἀπρεπῆ ὄψιν τὴν ὄρνιν μετεμόρφωσε, πολέμιόν τε καὶ στυγητὴν[4] κατέστησε τοῖς τιμήσασιν αὐτὴν Πυγμαίοις.

8. Λακωνικὰ συμπόσια.

Ἡρόδοτος[5] ἐν τῇ ἐνάτῃ τῶν ἱστοριῶν περὶ τῆς Μαρδονίου παρασκευῆς λέγων καὶ μνημονεύσας λακωνικῶν συμποσίων φησί· Ξέρξης φεύγων ἐκ τῆς Ἑλλάδος Μαρδονίῳ τὴν παρασκευὴν κατέλιπε τὴν αὐτοῦ. Παυσανίαν οὖν ἰδόντα τὴν τοῦ Μαρδονίου παρασκευὴν χρυσῷ καὶ ἀργύρῳ καὶ παραπετάσμασι ποικίλοις κατεσκευασμένην κελεῦσαι τοὺς ἀρτοποιοὺς καὶ ὀψοποιοὺς κατὰ ταὐτὰ καθὼς Μαρδονίῳ δεῖπνον παρασκευάσαι. Ποιησάντων δὲ τούτων τὰ κελευσθέντα τὸν Παυσανίαν ἰδόντα ἐκ κλίνας χρυσᾶς καὶ ἀργυρᾶς ἐστρωμένας καὶ τραπέζας ἀργυρᾶς καὶ παρασκευὴν μεγαλοπρεπῆ δείπνου, ἐκπλαγέντα τὰ προκείμενα, κελεῦσαι ἐπὶ γέλωτι τοῖς ἑαυτοῦ διακόνοις[6] παρασκευάσαι λακωνικὸν δεῖπνον. Καὶ παρασκευασθέντος

---

[1]) Κατὰ θεὸν = ὡς θεός. [2]) Ἥρα ἡ θυγάτηρ τοῦ Κρόνου καὶ τῆς Ῥέας, γυνὴ τοῦ Διός, ἐξ οὗ ἐγέννησε τὸν Ἥφαιστον, τὸν Ἄρην, τὴν Ἥβην καὶ τὴν Εἰλείθυιαν· ἐτιμᾶτο ὡς βασίλισσα τῶν θεῶν καὶ τῶν ἀνθρώπων. [3]) Ἄρτεμις, θυγάτηρ τοῦ Διὸς καὶ τῆς Λητοῦς καὶ ἀδελφὴ τοῦ Ἀπόλλωνος· θεὰ τοῦ κυνηγίου, παριστάνεται ἐνδεδυμένη κυνηγετικῶς μὲ τόξα καὶ βέλη. [4]) Στυγητός, στύξιος, ἀποτρόπαιος, μισητός. [5]) Ὁ περιφημότερος τῶν ἀρχαίων ἱστοριογράφων, γεννηθεὶς ἐν Ἁλικαρνασσῷ τῆς Καρίας τῷ ... ο Χ., καὶ συγγράψας τὸ μέγα αὐτοῦ ἱστορικὸν σύγγραμμα ει... 6λία τὰ ὁποῖα ὠνόμασαν οἱ ἀρχαῖοι Μούσας. [6]) Δούλοις, ...οις, ὑπηρέταις.

γελάσας ὁ Παυσανίας μετεπέμψατο τῶν Ἑλλήνων τοὺς στρατηγούς, καὶ ἐλθόντων ἐπιδείξας ἑκατέρου τῶν δείπνων τὴν παρασκευήν, εἶπεν· Ἄνδρες Ἕλληνες, συνήγαγον ὑμᾶς βουλόμενος ἐπιδεῖξαι τοῦ Μήδων ἡγεμόνος τὴν ἀφροσύνην, ὃς τοιαύτην δίαιταν ἔχων ἦλθεν ὡς[1] ἡμᾶς οὕτω ταλαίπωρον ἔχοντας. Φασὶ δέ τινες καὶ ἄνδρα Συβαρίτην ἐπιδημήσαντα τῇ Σπάρτῃ καὶ συνεστιαθέντα ἐν τοῖς φιδιτίοις[2] εἰπεῖν· Εἰκότως ἀνδρειότατοί εἰσιν ἁπάντων οἱ Λακεδαιμόνιοι· ἕλοιτο γὰρ ἄν τις εὖ φρονῶν μυριάκις ἀποθανεῖν ἢ οὕτως εὐτελοῦς διαίτης μεταλαβεῖν.

9. Φιλόσοφος τύραννος.

Καὶ Ταρσοῦ δὲ Ἐπικούρειος φιλόσοφος ἐτυράννησε, Λυσίας ὄνομα. Ὃς ὑπὸ τῆς πατρίδος στεφανηφόρος αἱρεθείς, τοῦτ' ἐστὶν ἱερεὺς Ἡρακλέους, οὐκ ἀπετίθετο τὴν ἀρχὴν, ἀλλ' ἐξ ἱματίου τύραννος ἦν, πορφυροῦν μὲν μεσόλευκον[3] χιτῶνα ἐνδεδυκώς, χλαμύδα δὲ ἐφεστρίδα[4] περιβεβλημένος πολυτελῆ, καὶ ὑποδούμενος λευκὰς Λακωνικάς, στέφανον δάφνης χρυσῆς ἐστεμμένος, καὶ διανέμων τὰ τῶν πλουσίων τοῖς πένησι, πολλοὺς φονεύων τῶν οὐ διδόντων.

10. Ἀνταμοιβὴ φιλεργίας.

Τοὺς ἀσώτους καὶ τοὺς μὴ ἔκ τινος περιουσίας ζῶντας, τὸ παλαιὸν ἀνεκαλοῦντο οἱ ἀρεοπαγῖται καὶ ἐκόλα-

---

1) Πρός. 2) Φιδίτιον καὶ φειδίτιον (συνηθ. εἰς τὸν πληθυν. συσσίτιον τῶν στρατιωτῶν. 3) Μὲ ἄσπραις ἀράδαις. 4) Ἐφεστρίς, ἐπανωφόρι κυρίως διὰ τὸν χειμῶνα.

ζον. Μενέδημον γοῦν καὶ Ἀσκληπιάδην τοὺς φιλοσόφους, νέους ὄντας καὶ πενομένους μεταπεμψάμενοι ἠρώτησαν[1] πῶς ὅλας τὰς ἡμέρας τοῖς φιλοσόφοις σχολάζοντες, κεκτημένοι δὲ μηδέν, εὐεκτοῦσιν οὕτω τοῖς σώμασι. Καὶ οἱ ἐκέλευσαν μεταπεμφθῆναί[2] τινα τῶν μυλωθρῶν. Ἐλθόντος δ' ἐκείνου καὶ εἰπόντος, ὅτι νυκτὸς ἑκάστης κατιόντες εἰς τὸν μυλῶνα καὶ ἀλοῦντες[3] δύο δραχμὰς ἀμφότεροι λαμβάνουσι, θαυμάσαντες οἱ ἀρεοπαγῖται διακοσίαις δραχμαῖς ἐτίμησαν αὐτούς.

11. Εὐγνωμοσύνη δελφίνων.

Κοίρανος ὁ Μιλήσιος, ἰδὼν ἁλιέας τῷ δικτύῳ λαβόντας δελφῖνα, καὶ μέλλοντας κατακόπτειν, ἀργύριον δοὺς καὶ παραστησάμενος[4] ἀφῆκεν εἰς τὸ πέλαγος. Καὶ μετὰ ταῦτα ναυαγίᾳ[5] χρησάμενος[6] περὶ Μύκονον, καὶ πάντων ἀπολομένων, μόνος ὑπὸ δελφῖνος ἐσώθη ὁ Κοίρανος. Τελευτήσαντος δὲ αὐτοῦ γηραιοῦ ἐν τῇ πατρίδι, καὶ τῆς ἐκφορᾶς παρὰ τὴν θάλατταν γιγνομένης κατὰ τύχην ἐν τῇ Μιλήτῳ, ἐν τῷ λιμένι πλῆθος δελφίνων ἐφάνη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, μικρὸν ἀπωτέρω τῶν συνεκκομιζόντων[7] τὸν Κοίρανον, ὡσεὶ συνεκφερόντων καὶ συγκηδευόντων τὸν ἄνθρωπον.

---

[1]) Μεταπεμψάμενοι ἠρώτησαν, προσκαλέσαντες οἱ ἀρεοπαγῖται ἠρώτησαν. [2]) Νὰ προσκληθῇ τις ἐκ τῶν μυλωθρῶν. [3]) Ἀλέθοντες. [4]) Παρίσταμαι. [5]) Ναυαγία = χαραβοτσάκισμα. [6]) Χράομαι-ῶμαι, μ. χρήσομαι (ἀπαρφ. χρῆσθαι, ἀόρ. ἐχρησάμην, παρακ. κέχρημαι καὶ τὸ θετικὸν χρηστέον) = μεταχειρίζομαι, κάμνω χρῆσιν τινὸς κτλ. (ἐπὶ κακ. ὡς ἐντθ.) ὑποφέρω, περιπίπτω εἰς... Ναυαγίᾳ χρησάμενος = παθὼν ἀπὸ ναυάγιον. [7]) Συνεκκομίζω, ἐκφέρω

12. Διὸς ὀργή.

Φιλήδονον δ' οἱ ποιηταὶ καὶ τῶν ἀρχαῖόν φασι γενέσθαι Τάνταλον[1]. Ὁ γοῦν τὴν τῶν Ἀτρειδῶν ποιήσας κάθοδον, ἀφικόμενον αὐτὸν λέγει πρὸς τοὺς θεοὺς, καὶ συνδιατρίβοντα ἐξουσίας τυχεῖν, παρὰ τοῦ Διὸς αἰτήσασθαι, ὅτου ἐπιθυμεῖ. Τὸν δὲ, πρὸς τὰς ἀπολαύσεις ἀπλήστως διακείμενον, ὑπὲρ αὐτῶν τε τούτων μνείαν ποιήσασθαι, καὶ τοῦ ζῆν τὸν αὐτὸν τρόπον τοῖς θεοῖς. Ἐφ' οἷς ἀγανακτήσαντα τὸν Δία, τὴν μὲν εὐχὴν ἀποτελέσαι διὰ τὴν ὑπόσχεσιν, ὅπως δὲ μηδὲν ἀπολαύῃ τῶν παρακειμένων, ἀλλὰ διατελῇ ταραττόμενος, ὑπὲρ τῆς κεφαλῆς ἐξήρτησεν αὐτῷ πέτρον[2], δι' ὃν οὐ δύναται τῶν παρακειμένων τυχεῖν οὐδενός.

13. Ἰχθύες ἐκβρασθέντες εἰς τὴν ξηράν.

Ὅτε Τρύφων ὁ Ἀπαμεὺς, ὁ τὴν τῶν Σύρων[3] βασιλείαν ἁρπάσας, ἐπολεμεῖτο ὑπὸ Σαρπηδόνος, τοῦ Δημητρίου στρατηγοῦ, περὶ Πτολεμαΐδα πόλιν, καὶ ὡς ὁ Σαρπηδὼν λειφθεὶς ἀνεχώρησεν εἰς τὴν μεσόγαιαν μετὰ τῶν ἰδίων στρατιωτῶν, οἱ δὲ τοῦ Τρύφωνος ὥδευον κατὰ τὸ πλησίαλον[4], νικήσαντες τὴν μάχην, ἐξαίφνης πελάγιον

---

[1]) Τάνταλος βασιλεὺς τῆς Φρυγίας, πατὴρ τοῦ Πέλοπος καὶ τῆς Νιόβης, περίφημος εἰς τοὺς ἡρωϊκοὺς χρόνους διὰ τὰ μεγάλα του πλούτη καὶ τὴν ἐν τῷ Ἅδῃ τιμωρίαν του, ὅπου κατεδικάσθη νὰ διψᾷ αἰωνίως καὶ νὰ μὴ δύναται νὰ πίῃ, καίτοι περιστοιχιζόμενος ἀπὸ ὕδατα. [2]) Πέτρος=λίθος, πέτρα=βράχος. [3]) Συρία, ἐπαρχία τῆς Ἀσίας, ἐκτεινομένη ἀπὸ τοῦ Ταύρου μέχρι τῆς Αἰγύπτου, (τὸ ἐθν. Σύρος). [4]) Παράλιον, παραθαλάσσιον.


κῦμα, ἐξαρθὲν μετέωρον εἰς ὕψος ἐξαίσιον[1], ἐπῆλθε τῇ γῇ, καὶ πάντας αὐτοὺς ἐπέκλυσε[2], διέφθειρέ[3] τε ὑποβρυχίους, ἰχθύων τε πολὺν σωρὸν ἀναχωροῦν τὸ κῦμα μετὰ τῶν νεκρῶν κατέλιπε. Καὶ οἱ περὶ τὸν Σαρπηδόνα, ἀκούσαντες τὴν συμφορὰν, ἐπελθόντες τοῖς μὲν τῶν πολεμίων σώμασιν ἐφήσθησαν[4], ἰχθύων δὲ ἀφθονίαν ἀπηνέγκαντο, καὶ ἔθυσαν Ποσειδῶνι τροπαίῳ πρὸς τοῖς προαστείοις τῆς πόλεως.

14. Ματαιοφροσύνη Πτολεμαίου.

Πτολεμαῖόν[5] φασι τὸν δεύτερον Αἰγύπτου βασιλεύσαντα πάντων σεμνότατον γενόμενον τῶν δυναστῶν καὶ παιδείας, εἴ τινα καὶ ἄλλον, καὶ αὐτὸν ἐπιμεληθέντα, οὕτως ἐξαπατηθῆναι τὴν διάνοιαν καὶ διαφθαρῆναι ὑπὸ τῆς ἀκαίρου[6] τρυφῆς, ὥστε τὸν πάντα χρόνον ὑπολαβεῖν βιώσεσθαι, καὶ λέγειν ὅτι μόνος εὕροι τὴν ἀθανασίαν. Κατατεινόμενον[7] οὖν ὑπὸ ποδάγρας[8] πλείους ἡμέρας, ὥς ποτ' οὖν ἐρράϊσε[9] καὶ κατεῖδε διά τινων ὑπολαμπάδων τοὺς Αἰγυπτίους παρὰ τὸν ποταμὸν ἀριστοποιουμένους, καὶ τὰ τυχόντα προσφερομένους, ἐπί τε τῆς ἄμμου χύδην[10] ἐρριμμένους, εἶπεν· Ὦ τάλας ἐγὼ, τὸ μηδὲ τούτων ἕνα γενέσθαι.

---

1) Ὑπερβολικόν. 2) Ἐπικλύζω. 3) Ἠφάνισε. 4) Ἐφήδομαι, ἐπιχαίρω, κατευχαριστοῦμαι διά τι. 5) Πτολεμαῖος ὁ Β'., βασιλεὺς τῆς Αἰγύπτου, ἐπικληθεὶς Φιλάδελφος, βασιλεύσας ἀπὸ τοῦ 284 ἕως τοῦ 246 πρὸ Χ. 6) Ἄκαιρος (ὁ καὶ ἡ) ἀπρεπής, ἀνάρμοστος. 7) Βασανιζόμενον, κατατυραννούμενον. 8) Ποδάγρα, πιάσιμον τῶν ποδῶν, ποδαλγία (ἀρθρῖτις νόσος). 9) Ῥαΐζω, γίνομαι καλλίτερα, ἀναλαμβάνω ἀπὸ τὴν ἀσθένειαν. 10) Χύδην, ἐπίρρ. Χυτά, σωρηδόν, σκορπιστά.



Η'. ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ
ΑΝΘΟΛΟΓΙΟΝ

Ἰωάννης Στοβαῖος, ἀπὸ τοὺς Στόβους τῆς Μακεδονίας, ἀκμάσας περὶ τὴν δ'. ἑκατονταετηρίδα μ. Χ., συνέλεξε **Γνωμικὰ** ἀπὸ ἀρχαίους συγγραφεῖς τε καὶ ποιητάς, ὑπὸ τὸν τίτλον ΑΝΘΟΛΟΓΙΟΝ. Δύω βιβλία τῆς συλλογῆς ταύτης σώζονται.

---

1. Σωκράτης πρὸς τὸν πυθόμενον[1]· Τίς πλουσιώτατος[2]; Ὁ ἐλαχίστοις[3] ἀρκούμενος[4]· αὐτάρκεια[5] γὰρ φύσεώς ἐστι πλοῦτος.

2. Περίανδρος ἐρωτηθείς· Τί μέγιστον[6] ἐν ἐλαχίστῳ; εἶπε· Φρένες ἀγαθαὶ ἐν σώματι ἀνθρώπου.

—Πυνθανομένου[7] τινός· Πῶς ἄν τις ἑαυτοῦ[8] γένοιτο; Εἰ ὑπὲρ ὧν[9] ἐπιτιμᾷ τοῖς ἄλλοις, ἔφη, καὶ ἑαυτῷ ἐπιτιμῴη μάλιστα.

3. Θεόκριτος[10] ἐρωτηθεὶς ποῖα τῶν θηρίων ἐστὶ

---

1) Πυνθάνομαι. 2) Τίς ἐστιν ὁ πάντων ἀνθρώπων πλουσιώτατος. 3) Τοῖς ἐλαχίστοις πράγμασι. 4) Εἶπε. 5) Τὸ νὰ ἀρκῆταί τις εἰς ὅσα ἔχει. 6) Τί πρᾶγμα μέγιστον πάντων ὂν χωρεῖ ἐν ἄλλῳ πράγματι. 7) Γενικὴ ἀπόλυτος, χρόνου σημαντική. 8) Κύριος ἑαυτοῦ. 9) Ἐπιτιμῴη ἑαυτῷ ὑπὲρ ἐκείνων, ὑπὲρ ὧν. 10) Χῖος, σοφιστής, σύγχρονος τοῦ Ἀριστοτέλους, συγγράψας ἱστορίαν τῆς Λιβύης.

χαλεπώτατα; εἶπεν· Ἐν μὲν ὄρεσιν[2] ἄρκτοι καὶ λέοντες· ἐν δὲ ταῖς πόλεσι τελῶναι καὶ συκοφάνται.

4. **Ἆγις** ὁ βασιλεὺς ἔφη τοὺς Λακεδαιμονίους[2] μὴ ἐρωτᾶν, ὁπόσοι εἰσὶν, ἀλλὰ ποῦ εἰσιν οἱ πολέμιοι· Καὶ ἐρωτῶντός τινος· Πόσοι εἰσὶ Λακεδαιμόνιοι; ἔφη· Ἱκανοὶ τοὺς κακοὺς ἀπερύκειν[3].

5. **Ἀνάξαρχος**[4] ὁ φυσικὸς, εἰπόντος αὐτῷ Ἀλεξάνδρου, ὅτι κρεμῶ σε[5]· Ἀπείλει τούτοις, ἔφη, τοῖς πολλοῖς[6]· ἐμοὶ δὲ οὐδὲν διαφέρει ὑπὲρ γῆς, ἢ κατὰ γῆς σήπεσθαι.

6. **Σωκράτης**, ἰδὼν μειράκιον πλούσιον καὶ ἀπαίδευτον· Ἰδοὺ, ἔφη, χρυσοῦν ἀνδράποδον.

7. **Ἀντισθένης**, Αἱρετώτερον, φησὶν, εἰς κόρακας ἐμπεσεῖν[7], ἢ εἰς κόλακας. Οἱ μὲν γὰρ ἀποθανόντος τὸ σῶμα[8], οἱ δὲ ζῶντος τὴν ψυχὴν λυμαίνονται.

8. **Διογένης** ἔλεγε τὴν τῶν παίδων ἀγωγὴν ἐοικέναι τοῖς τῶν κεραμέων πλάσμασιν· ὡς γὰρ ἐκεῖνοι ἁπαλὸν μὲν τὸν πηλὸν ὄντα ὅπως θέλουσι σχηματίζουσι καὶ ῥυθμίζουσιν, ὀπτηθέντα δ' οὐκέτι δύνανται πλάσσειν, οὕτω καὶ τοὺς ἐν νεότητι μὴ διὰ πόνων παιδαγωγηθέντας, τελείους γενομένους ἀμεταπλάστους γίνεσθαι.

9. **Μόνιμος**[9] ὁ Κυνικὸς φιλόσοφος ἔφη κρεῖττον εἶναι τυφλὸν ἢ ἀπαίδευτον· τὸν μὲν γὰρ εἰς τὸν βόθρον τὸν δ' εἰς τὸ βάραθρον ἐμπίπτειν.

---

[1]) Χαλεπώτατα θηρία εἰσί. [2]) Ὑποκείμενον τοῦ Ἐρωτᾶν. [3]) Ἀπερύκω=ἀποδιώκω, ἀποκρούω [4]) Φιλόσοφος Ἀβδηρίτης. [5]) Θὰ σὲ κρεμάσω. [6]) Εἰς τὸν ὄχλον, εἰς τοὺς κοινοὺς ἀνθρώπους. [7]) Νὰ πέσῃ τις μεταξὺ κοράκων. [8]) Λυμαίνονται [9]) Συρακόσιος, μαθητὴς τοῦ Διογένους.

10. Φιλόξενος ὁ μουσικὸς ἐρωτηθεὶς τί μάλιστα συνεργεῖ παιδείᾳ; Εἶπε· Χρόνος.

11. Κηφισόδωρος ἔλεγεν, ὅτι οὐδεὶς οὐσίαν[1], ἣν αὐτὸς ἐκτήσατο[2], κατέφαγεν, ἣν δὲ παρ' ἄλλου παρέλαβε[3].

12. Δημοσθένης ἔλεγεν, ὡς πολλάκις ἐπιὸν[4] αὐτῷ εὔξασθαι τοὺς πονηροὺς ἀπολέσθαι, φοβοῖτο, μὴ ἔρημον ἄρδην[5] ἐκ τῆς εὐχῆς ποιήσῃ τὴν πόλιν.

13. Ἔφη τις τὸν Διογένην ἀνόητον εἶναι· ὁ δὲ[6], Ἀνόητος μὲν οὐκ εἰμὶ, ἔφη· τὸν δ' αὐτὸν ὑμῖν νοῦν οὐκ ἔχω[7].

14. Πλάτων ἔφη, τοὺς ἀγαθοὺς ἄνδρας βίου μὴ μακροῦ, ἀλλὰ λαμπροῦ δεῖσθαι[8].

15. Πυθαγόρας ἐρωτηθείς· Πῶς ἂν οἰνόφλυξ[9] τοῦ μεθύειν[10] παύσαιτο; Εἰ συνεχῶς, ἔφη, θεωροίη τὰ ὑπ' αὐτοῦ πρασσόμενα.

16. Λεωνίδας, ἀκούσας ἐπισκιάζεσθαι τὸν ἥλιον τοῖς Περσῶν τοξεύμασι· Χαρίεν[11], ἔφη, ὅτι καὶ ὑπὸ σκιᾷ μαχούμεθα[12].

17. Πελοπίδας,[13] ἀνδρείου στρατιώτου διαβληθέντος αὐτῷ ὡς βλασφημήσαντος[14] αὐτόν· Ἐγὼ τὰ μὲν ἔργα, ἔφη, αὐτοῦ βλέπω· τῶν δὲ λόγων οὐκ ἤκουσα.

---

1) Περιουσίαν. 2) Ἀπέκτησεν, ἐκέρδησε. 3) Φράσις ἐλλειπτική. ἀντὶ, Κατέφαγε δὲ πᾶς τις ἐκείνην ἣν παρέλαβε παρ' ἄλλου. 4) Ἔπειμι. Ὡς πολλάκις ἐπιὸν κτλ. Ἐν ᾧ τῷ ἔρχεται ὄρεξις. 5) Ἐντελῶς. 6) Διογένης. 7) Οὐκ ἔχω δὲ τὸν αὐτὸν νοῦν μὲ σᾶς, τὸν ὁποῖον σεῖς ἔχετε. 8) Δέομαι. 9) Μέθυσος. 10) Ἀπὸ τὸ νὰ μεθύῃ. 11) Εὐχάριστον εἶνε. 12) Μάχομαι. 13) Ὁ Θηβαῖος στρατηγός. 14) Ὑβρίσαντος.

18. Σόλων ἐκείνην εἶπεν ἄριστα τὴν πόλιν οἰκεῖσθαι[1], ἐν ᾗ τοὺς ἀγαθοὺς ἄνδρας συμβαίνει τιμᾶσθαι· καὶ τὸ ἐναντίον, ἐν ᾗ τοὺς κακοὺς ἀμύνεσθαι.

19. Σωκράτης ἐρωτηθείς· Διὰ τί οὐ συγγράφει; Ὅτι, εἶπεν, ὁρῶ τὰ χαρτία[2] πολὺ τῶν γραφησομένων τιμιώτερα[3].

20. Ἱπποκράτην[4] ἔπειθέ τις πρὸς Ξέρξην ἀπαίρειν[5], χρηστὸν εἶναι, φάσκων, βασιλέα[6]· ὁ δέ[7]· Οὐ δέομαι, ἔφη, χρηστοῦ δεσπότου.

21. Διογένης, Ἀττικοῦ τινος[8] ἐγκαλοῦντος[9] αὐτῷ, δι' ὅ,τι Λακεδαιμονίους μᾶλλον ἐπαινῶν, παρ' ἐκείνοις οὐ διατρίβει· Οὐδὲ γάρ, ὁ ἰατρὸς, εἶπεν, ὑγείας ὢν ποιητικὸς[10], ἐν τοῖς ὑγιαίνουσι τὴν διατριβὴν ποιεῖται[11].

22. Ἀντισθένης ὁ φιλόσοφος, τοὺς δημίους εὐλαβεστέρους ἔλεγεν εἶναι τῶν τυράννων· πυθομένου δέ τινος τὴν αἰτίαν, ἔφη· Ὅτι ὑπὸ μὲν τῶν δημίων οἱ ἀδικοῦντες ἀναιροῦνται· ὑπὸ δὲ τῶν τυράννων, οἱ μηδὲν ἁμαρτάνοντες.

23. Ἀνάχαρσις ὁ Σκύθης, ἐρωτηθεὶς ὑπό τινος· Τί ἐστι πολέμιον ἀνθρώποις; Αὐτοί, ἔφη[12], ἑαυτοῖς.

24. Ὁρῶν Μεγαρέας ὁ Διογένης τὰ μακρὰ τείχη[13] ἱστάντας[14]· Ὦ μοχθηροί, εἶπε, μὴ τοῦ μεγέθους[15] προ-

---

1) Ἐκείνην...... οἰκεῖσθαι=ὅτι ἐκείνης τῆς πόλεως εὐτυχοῦσιν οἱ κάτοικοι. 2) Ὄντα. 3) Ἀκριβότερα. 4) Ἱπποκράτης, περίφημος ἰατρός, γεννηθεὶς ἐν τῇ νήσῳ Κῷ περὶ τὸ 420 πρὸ Χ. 5) Νὰ πλεύσῃ. 6) Τὸν Ξέρξην εἶναι βασιλέα χρηστόν. 7) Ἱπποκράτης. 8) Κατοίκου τῆς Ἀττικῆς. 9) Κατηγοροῦντος αὐτόν. 10) Δυνάμενος νὰ ποιήσῃ, νὰ δώσῃ ὑγείαν. 11) Διατρίβει. 12) Εἰσὶ πολέμιοι. 13) Τείχη ἑνώνοντα τὴν πόλιν μὲ τὸν λιμένα. 14) Ἀνεγείροντας. 15) Περὶ τοῦ μεγέθους.

νοεῖτε τῶν τειχῶν, ἀλλὰ τῶν ἐπ' αὐτῶν στησομένων[1].

25. Θεόκριτος τοὺς πολλοὺς[2] τῶν πλουσίων ἔλεγεν ἐπιτρόπους εἶναι, ἀλλὰ μὴ δεσπότας τῶν χρημάτων.

26. Δημοσθένης ὁ ῥήτωρ θεασάμενός τινα δημαγωγὸν ἀφυῆ, μέγα[3] βοῶντα, ἔφη· Ἀλλ' οὐ τὸ μέγα εὖ ἐστί· τὸ δὲ εὖ[4] μέγα.

27. Θεόκριτος γραμματοδιδασκάλῳ φαύλως ἀναγινώσκοντι προσελθών, εἶπε· Διὰ τὶ γεωμετρεῖν οὐ διδάσκεις; Τοῦ δ' εἰπόντος[5], ὅτι οὐκ οἶδα· Καὶ τί[6] τοῦτ', εἶπεν; Οὐδὲ γὰρ ἀναγινώσκειν.

28. Μενέδημος[7], νεανίσκου τινὸς εἰπόντος, μέγα ἐστὶ τὸ τυχεῖν ὧν ἄν τις ἐπιθυμῇ, εἶπε· Πολλῷ μεῖζόν ἐστι τὸ μηδὲν ἐπιθυμεῖν, ὧν[8] μὴ δεῖ.

29. Ἀλέξανδρος νοσήσας μακρὰν νόσον, ὡς ἀνέρρωσεν, οὐδὲν, ἔφη, διατεθῆναι χεῖρον[9]· ὑπέμνησε γὰρ ἡ νόσος ἡμᾶς[10] μὴ μέγα φρονεῖν, ὡς θνητοὺς ὄντας.

30. Δημοκράτης[11] ἀναβαίνων εἰς τὴν ἀκρόπολιν ἐν γήρᾳ καὶ πνευστιῶν· Ποιεῖν, ἔφη, ὅπερ καὶ ξύμπασα ἡ Ἀθηναίων πόλις[12]· πνεῖν μὲν γὰρ μέγα, ἰσχύειν δὲ μικρόν.

31. Ἀρίστιππος ἐρωτηθείς· Τί θαυμαστόν ἐστιν ἐν τῷ βίῳ; Ἄνθρωπος ἐπιεικής, εἶπε, καὶ μέτριος· ὅτι

---

1) Ἀλλὰ τῶν ἀνδρῶν τῶν στησομένων ἐπ' αὐτῶν. 2) Τοὺς περισσοτέρους. 3) Ἐπιρρηματικῶς, ἀντὶ Μεγάλως, μεγαλοφώνως. 4) Ἐστί. 5) Τοῦ γραμματοδιδασκάλου. 6) Ἐνν. ἐστί. Τὶ βλάπτει τοῦτο. 7) Φιλόσοφος μαθητὴς τοῦ Πλάτωνος, καὶ θεμελιωτὴς τῆς Ἐρετριακῆς σχολῆς. 8) Μηδὲν ἐξ ἐκείνων, ἃ μὴ δεῖ. 9) Δὲν ἐβλάβη. 10) Ἀντὶ ἐμέ. 11) Ἀθηναῖος ῥήτωρ συμπρεσβεύσας μετὰ τοῦ Δημοσθένους εἰς Θήβας 12) Ποιεῖ

ἐν πολλοῖς[1] ὑπάρχων μοχθηροῖς, οὐ διέστραπται.

32. Σωκράτης ἐρωτηθείς· Τίνες[2] φιλοχρήματοι; Οἱ τὰ αἰσχρὰ κέρδη θηρώμενοι[3], εἶπε, καὶ τοὺς ἀναγκαίους τῶν φίλων ὑπερορῶντες[4].

33. Ἀρίστιππος, θεασάμενός τινα ὀργιζόμενον, καὶ διὰ τῶν λόγων χαλεπαίνοντα[5], ἔφη· Μὴ τοὺς λόγους δι' ὀργῆς ἄγωμεν[6]· ἀλλὰ τὴν ὀργὴν διὰ τῶν λόγων[7] καταπαύωμεν.

34. Σόλων, Πῶς ἂν ἄριστα αἱ πόλεις οἰκοῖντο; ἐρωτηθείς, εἶπεν· Ἐὰν οἱ μὲν πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις[8].

35. Δημάδης[9] ἐρωτηθείς· Τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη; Τὸ τῶν Ἀθηναίων, ἔφη, βῆμα[10]· ἐμφαίνων ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστίν.

36. Αἰσχύλος ἐν Ἰσθμῷ ἀγῶνα ὁρῶν πύκτην[11], καὶ ἐπὶ τῇ πληγῇ τοῦ θεάτρου ἐκβοήσαντος πρὸς Ἴωνα ἔφη· Ὁρᾷς οἷόν ἐστιν ἡ ἄσκησις! Ὁ πεπληγὼς σιωπᾷ, οἱ δὲ θεώμενοι βοῶσι.

37. Χρύσιππος[12] ἐρωτηθείς· Διὰ τί οὐ πολιτεύεται; εἶπε· Διότι εἰ μὲν πονηρά[13] τις πολιτεύεται, τοῖς θεοῖς ἀπαρέσει· εἰ δὲ χρηστά, τοῖς πολίταις[14].

---

1) Μεταξὺ πολλῶν ἀνθρώπων. 2) Εἰσί. 3) Διώκοντες. 4) Περιφρονοῦντες. 5) Ὑβρίζοντα. 6) Μὴ τοὺς λόγους δι' ὀργῆς ἄγωμεν, Μὴ διὰ τοὺς λόγους ὀργιζώμεθα. 7) Τὴν ὀργὴν διὰ τῶν λόγων, τὴν ὀργὴν αὐτοῦ διὰ τῶν λόγων ἡμῶν. 8) Πείθωνται. 9) Ἀθηναῖος ῥήτωρ. 10) Ἡ θέσις εἰς τὴν ὁποίαν ἀνέβαινον καὶ ὡμίλουν οἱ ῥήτορες ἐν Ἀθήναις. 11) Τὸ πύκτης κεῖται ἐπιθετικῶς ἀντὶ τοῦ πυκτικός. Ἀγῶνα πύκτην=ἀγῶνα πυγμῆς ἤτοι πυγμαχίαν. 12) Στωικὸς φιλόσοφος ἐκ Κιλικίας. 13) Ἐπιρρηματικῶς, ἀντὶ πονηρῶς. 14) Ἀπαρέσει.

38. Πυθαγόρας παρῄνει[1] τοῖς ἑταίροις αἱρεῖσθαι βίοτον[2] ἄριστον· καὶ γὰρ εἰ ὁ ἐπιπονώτατος εἴη, ἀλλὰ τῇ συνηθείᾳ ἡδὺν αὐτὸν ποιήσειν.

39. Δημοκράτης ἰδὼν κλέπτην ὑπὸ τῶν ἕνδεκα[3] ἀπαγόμενον· Ἄθλιε! εἶπε, τί γὰρ τὰ μικρὰ ἔκλεπτες, ἀλλ' οὐ τὰ μεγάλα, ἵνα καὶ σὺ ἄλλους ἀπῆγες[4];

40. Θεόφραστος[5] ἔφη τοὺς μοχθηροὺς τῶν ἀνθρώπων, οὐχ οὕτως ἥδεσθαι ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς, ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς.

41. Δημοσθένης ἐρωτηθείς· Πῶς τῆς ῥητορικῆς περιεγένου[6]; Πλέον, ἔφη, ἔλαιον οἴνου δαπανήσας.

42. Διογένης ἔφη τῶν ἀνθρώπων ἐνίους τὰ δέοντα λέγοντας, ἑαυτῶν οὐκ ἀκούειν[7]· ὥσπερ καὶ τὰς λύρας καλὸν[8] φθεγγομένας οὐκ αἰσθάνεσθαι[9].

43. Σόλων ἐρωτηθείς· Πῶς ἂν μὴ γίγνοιτο ἀδίκημα ἐν τῇ πόλει; εἶπεν· Εἰ ὁμοίως ἀγανακτοῖεν οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις.

44. Σιμωνίδης[10] ἐρωτηθείς· Διὰ τί ἐσχάτου γήρως ὢν φιλάργυρος εἴη; Ὅτι[11], εἶπε, βουλοίμην ἂν ἀποθανὼν τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν[12], ἢ ζῶν δεῖσθαι τῶν φίλων.

---

[1]) Παραινῶ. [2]) Τρόπον βίου. [3]) Οἱ ἕνδεκα ἦσαν οἱ ὑπηρέται τῆς δικαιοσύνης ἐν Ἀθήναις. [4]) Διὰ νὰ πηγαίνῃς σὺ ἄλλους εἰς τὴν φυλακήν. [5]) Λέσβιος φιλόσοφος μαθητὴς τοῦ Ἀριστοτέλους. [6]) Ἐνίκησας τὰς δυσκολίας της, κατώρθωσας νὰ γίνῃς αὐτῆς κάτοχος. [7]) Δὲν ἀκούουσι τὸν ἑαυτόν των, διότι δὲν πράττουσιν ἐκεῖνα ὅπου λέγουσι. [8]) Ἐπιρρηματικῶς. [9]) Τοῦτο, ὅτι φθέγγονται. Ἐξαρτᾶται δὲ ἐκ τοῦ ἔφη. [10]) Κεῖος ποιητής. [11]) Διότι. [12]) Χρήματα.

ΚΑΤΑΣΤΗΜΑΤΑ
ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ
ΕΝ ΑΘΗΝΑΙΣ

Ἐν τοῖς Καταστήμασιν ἡμῶν πωλοῦνται καὶ τὰ ἑξῆς βιβλία διαφόρων γλωσσῶν εἰς ἐκδόσεις ὅλως νέας.

Ααν *Μέθοδος πρὸς ἐκμάθησιν τῆς Γαλλικῆς Γλώσσης* . .	*Δρ.*	1,50
Αλφαβηταριον *τῆς Γαλλικῆς Γλώσσης Δ. Σ. Β*	*Λεπ.*	45
» » *ἔκδοσις ὅλως νέα.*	»	80
Κρασσα Φ. *Σύνοψις ὠφελιμωτάτη πρὸς ταχυτέραν ἐκμάθησιν τῆς Γαλλικῆς Γλώσσης χαρτοδ.*	*Δρ.*	4,—
Κλεις *τῆς μεθόδου τοῦ Ὀλλενδόρφου.*	»	2,25
Οικονομιδου *Στοιχεῖα Γαλλ. Γραμ.*	»	5,—
» *Γαλλικὴ Χρηστομάθεια.*	»	2,50
Ραγκαβη *Γαλλικὴ Ἐγκυκλοπαίδεια* .	»	3,25
Σαμουρκαση *Στοιχεῖα Γαλλικῆς Γραμ.*	»	2,—
Καρασουτσα *Ι. Γαλλικὴ Γραμματικὴ καὶ Συντακτικόν* . . .	»	2,—
Ναδιρη Απ. *Γαλλικὸν Ἀναγνωσματάριον*	*Λεπ.*	50
Παπαδακη Αλ. *Β. Ν. Γραμματικὴ Ἀγγλ. γλώσσης* . . .	*Δρ.*	2,—
Αλφαβηταριον *Ἀγγλικὸν Ἀλεξάνδρου.*	»	50
Δεφνερ *Λατινικῆς μεθόδου μέρος Α'..*	*Δρ.*	2,—
» » » » *Β'..*	»	2,—
» » » » *Γ'..*	»	1,80
Κορνηλιου Νεπωτος Βιοι *ὑπὸ Σ. Κ. Σακελλαροπούλου* . . .	*Λεπ.*	50
Σακελλαροπουλου Σ. *Λατινικὸν Συντακτικὸν πρὸς χρῆσιν τῶν Γυμν.*	*Δρ.*	1,30
Σεμιτελου Δ. *Γραμ. Λατιν. μεγάλη*	»	2,—
» » *μικρά*	*Λεπ.*	50

Τιμᾶται λεπτῶν 70.

Τύποις Ἀνέστη Κωνσταντινίδου 1892-3077

ΕΛΛΗΝΙΚΗ
ΧΡΗΣΤΟΜΑΘΕΙΑ

ΕΚ ΤΩΝ

ΔΟΚΙΜΩΤΕΡΩΝ ΕΛΛΗΝΩΝ ΠΕΖΟΓΡΑΦΩΝ

ΣΥΝΤΑΧΘΕΙΣΑ

Κατὰ τὸ νέον πρόγραμμα τῆς 23 Ἰουνίου 1884 τοῦ ἐπὶ τῶν Ἐκκλησιαστικῶν καὶ τῆς Δημοσίας ἐκπαιδεύσεως Ὑπουργείου

Πρὸς χρῆσιν τῶν Ἑλληνικῶν σχολείων

ΥΠΟ

ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ

ΤΟΜΟΣ Β΄.

Μετὰ εἰκόνων

ΔΙΑ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΤΑΞΙΝ



ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ
ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ
1888

ΕΛΛΗΝΙΚΗ
ΧΡΗΣΤΟΜΑΘΕΙΑ

ΕΚ ΤΩΝ

ΔΟΚΙΜΩΤΕΡΩΝ ΕΛΛΗΝΩΝ ΠΕΖΟΓΡΑΦΩΝ

ΣΥΝΤΑΧΘΕΙΣΑ

ΚΑΤΑ ΤΟ ΝΕΟΝ ΠΡΟΓΡΑΜΜΑ ΤΗΣ 23 ΙΟΥΝΙΟΥ 1884
ΤΟΥ ΕΠΙ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΑΣ ΕΚΠΑΙΔΕΥΣΕΩΣ
ΥΠΟΥΡΓΕΙΟΥ

ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΧΟΛΕΙΩΝ

ΥΠΟ

ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ

ΤΟΜΟΣ Β'.

Μετὰ εἰκόνων

ΔΙΑ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΤΑΞΙΝ



ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ
ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ
1888

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν κάτωθι σφραγῖδα τῶν
ταστημάτων, θεωρεῖται κλοπιμαῖον.



ΒΙΟΣ ΞΕΝΟΦΩΝΤΟΣ

Ἡ ἱστορία καὶ ἡ γεωγραφία δὲν περιέσωσαν μέχρι τῶν ἡμερῶν μας τὰ ὀνόματα ὅλων τῶν φυλῶν καὶ ὅλων τῶν δήμων τῶν διεσπαρμένων πέριξ τῶν Ἀθηνῶν. Ὑπάρχουσιν ὅμως τινὰ τῶν μερῶν τούτων τὰ ὁποῖα δὲν περιέπεσαν εἰς τὴν λήθην τῶν αἰώνων, εἶνε δὲ ἐκεῖνα ὅπου ἐγεννήθησαν οἱ ἔνδοξοι ἄνδρες τοὺς ὁποίους κοινῶς καλοῦμεν Ἀθηναίους. Ἐνόσῳ ἐνθυμούμεθα τὸν Θουκυδίδην, τὸν Σωκράτην καὶ τὸν Δημοσθένην, τὰ χωρία τοῦ Ἁλιμοῦντος, τῆς Ἀλωπεκῆς καὶ τῆς Παιανίας θὰ διέρχωνται τὰς γενεὰς τῶν ἀνθρώπων καὶ θὰ φθάσωσι μέχρι τῆς συντελείας τῶν αἰώνων. Τὸ μικρὸν χωρίον Ἔρχεια, ἀνῆκον εἰς τὴν Αἰγηίδα φυλήν, ἐσώθη ὡσαύτως ἐκ τῆς λήθης χάρις εἰς τὸν Ξενοφῶντα.

Ἡ μήτηρ τοῦ Ξενοφῶντος ἀγνοεῖται, ὁ πατήρ του ἐκαλεῖτο Γρύλλος, καὶ τοῦτο μόνον γνωρίζομεν περὶ αὐτοῦ. Βλέποντες ὅμως τὰς ἀγροτικὰς κλίσεις τοῦ υἱοῦ, δυνάμεθα νὰ συμπεράνωμεν ὅτι ὁ πατὴρ ἦτο ἐκ τῶν εὐπόρων ἐκείνων γεωκτημόνων, οἵτινες ἠρέσκοντο, ὡς ὅλοι οἱ Ἀθηναῖοι, νὰ καλλιεργῶσι τὰ κτήματά των, τὰς κυψέλας των, τὰς ἀμπέλους των καὶ τὰς ἐλαίας των, εἴτε ἐπὶ τῆς μεσημβρινῆς κλιτύος τοῦ Πάρνηθος, εἴτε ἐπὶ τῶν ὀχθῶν τοῦ Κηφισσοῦ, καὶ οἵτινες δὲν ἤρχοντο εἰς τὴν πόλιν εἰμὴ ἐπὶ τῇ ὁριστικῇ προσκλήσει τῶν κηρύκων. Ἡ

ἐποχὴ τῆς γεννήσεως τοῦ Ξενοφῶντος εἰς οὐδὲν κείμενον μνημονεύεται. Τούτου ἕνεκα μεγάλη ἠγέρθη συζήτησις μεταξὺ τῶν σοφῶν, ἐκ δὲ τῶν ἀναζητήσεων καὶ τῶν ἀντιφατικῶν παρατηρήσεών των προκύπτει ὅτι δυνάμεθα νὰ ὁρίσωμεν ὡς ἐποχὴν τῆς γεννήσεως αὐτοῦ τὸ τέταρτον ἔτος τῆς 73 ὀλυμπιάδος, ἤτοι τὸ 445 π. Χ.

Ἀγνοοῦμεν ποία ὑπῆρξεν ἡ πρώτη ἀγωγὴ τοῦ Ξενοφῶντος, δὲν διστάζομεν ὅμως νὰ παραδεχθῶμεν ὅτι θὰ ἦτο ὁμοία τῶν ἄλλων νεανίσκων τῆς ἐποχῆς του, οἵτινες ἀπεστήθιζον τὰ ποιήματα τοῦ Ὁμήρου, ἐσπούδαζον τὰ στοιχεῖα τῆς γραμματικῆς, τὰ μαθηματικὰ καὶ τὰς ἀρχὰς τῆς στρατηγικῆς καὶ ἤσκουν τὸ σῶμα κολυμβῶντες, τρέχοντες, θηρεύοντες, ἱππεύοντες. Δεκαπενταετὴς γενόμενος ἐσχετίσθη μετὰ τοῦ Σωκράτους. Ἰδοὺ δὲ πῶς Διογένης ὁ Λαέρτιος ἀφηγεῖται τὴν ἀρχὴν τῆς γνωριμίας ταύτης μεταξὺ μαθητοῦ καὶ διδασκάλου. Ἡμέραν τινὰ ὁ Σωκράτης συνήντησε τὸν Ξενοφῶντα καὶ τὸν ἠρώτησε ποῦ εἶνε ἡ ἀγορά· ἀποκριθέντος δὲ ἐκείνου εἰς τὴν ἐρώτησίν του, ὁ Σωκράτης τὸν ἠρώτησε ποῦ οἱ ἄνθρωποι γίνονται καλοὶ κἀγαθοί. Ὁ Ξενοφῶν ἠπόρει τί νὰ ἀποκριθῇ. Τότε ὁ Σωκράτης τῷ εἶπεν: Ἕπου τοίνυν, καὶ μάνθανε.

Ἀπὸ τῆς ἡλικίας ταύτης μέχρι τῶν τεσσαράκοντα ἐτῶν ἀτελεστάτας μόνον πληροφορίας ἔχομεν περὶ τοῦ βίου του. Εἰς τὸ χρονικὸν τοῦτο διάστημα πρέπει νὰ κατατάξωμεν τὴν ἐν Βοιωτίᾳ ἐπί τινα ἔτη αἰχμαλωσίαν του, τὴν μετάβασίν του εἰς τὴν αὐλὴν τοῦ Διονυσίου, τὴν συγγραφὴν τοῦ Συμποσίου καὶ τοῦ Ἱέρωνος, τὴν μαθήτευσίν του παρὰ τῷ Ἰσοκράτει καὶ τὴν δημοσίευσιν τῆς Ἱστορίας τοῦ Θουκυδίδου. Ἀφοῦ δὲ προσέφερεν εἰς τὰ γράμματα τὴν πλείστου λόγου ἀξίαν ταύτην ὑπηρεσίαν, ἀπῆλθε τῷ 401 πρὸς τὸν Κῦρον τὸν νεώτερον.

Ἐν τῇ ΑΝΑΒΑΣΕΙ (Γ', 1) διηγεῖται τὰ αἴτια τὰ ὁποῖα τὸν ἔπεισαν νὰ πράξῃ τοῦτο. Βοιωτός τις, ὀνόματι Πρόξενος, μαθητὴς ἄλλοτε Γοργίου τοῦ Λεοντίνου καὶ φίλος τοῦ Κύρου, τὸν προσεκάλεσε νὰ ἔλθῃ εἰς τὰς Σάρδεις ὑποσχόμενος αὐτῷ

τὴν φιλίαν τοῦ Κύρου. Ὁ Ξενοφῶν συνεβουλεύθη τὸν Σωκράτην περὶ τῆς ὁδοιπορίας· οὗτος δὲ φοβηθεὶς μήπως ὁ φίλος του καταστῇ ὕποπτος εἰς τοὺς Ἀθηναίους γινόμενος φίλος τοῦ Κύρου, ὅστις προθύμως καὶ ἀναφανδὸν εἶχε βοηθήσει τοὺς Λακεδαιμονίους εἰς τὸν κατὰ τῶν Ἀθηναίων πόλεμον, συνεβούλευσε τὸν Ξενοφῶντα νὰ μεταβῇ εἰς τοὺς Δελφοὺς διὰ νὰ ἐρωτήσῃ τὸν Ἀπόλλωνα. Ἀλλ' ὁ Ξενοφῶν, ὅστις εἶχεν ἐσχηματισμένην ἀπόφασιν, δὲν ἠρώτησε τὸν θεὸν ἐὰν ἔπρεπεν ἢ δὲν ἔπρεπε νὰ ἐπιχειρήσῃ τὴν ὁδοιπορίαν ἐκείνην, ἀλλ' εἰς ποίους θεοὺς ἔπρεπε νὰ θυσιάσῃ διὰ ν' ἀποβῇ αὐτῷ εἰς καλὸν ἡ μελετωμένη ὁδοιπορία. Ὁ Σωκράτης τὸν ἐπέπληξε διὰ τοῦτο, οὐχ ἧττον ὅμως τὸν προέτρεψε νὰ ἀναχωρήσῃ ἀφοῦ πράξῃ ὅσα ἐκέλευσε τὸ μαντεῖον. Ἐπέβη λοιπὸν ὁ Ξενοφῶν εἰς πλοῖον καὶ εὗρε τὸν Πρόξενον εἰς τὰς Σάρδεις· ἐκεῖ ὁ φίλος του τὸν παρουσίασεν εἰς τὸν Κῦρον, ὅστις τὸν ὑπεδέχθη κάλλιστα, τὸν παρεκάλεσε νὰ μείνῃ πλησίον του καὶ τῷ ὑπεσχέθη νὰ τὸν ἀποστείλῃ ὀπίσω ἅμα ἤθελε τελειώσει ἡ ἐκστρατεία ἐκείνη ἥτις, ὡς ἐλέγετο, ἡτοιμάζετο κατὰ τῶν Πισιδῶν. Ὁ Ξενοφῶν πιστεύσας ὅτι ἡ ἐκστρατεία οὐδένα ἄλλον εἶχε σκοπόν, συγκατένευσε νὰ λάβῃ μέρος εἰς αὐτήν, καθὼς καὶ ὁ Πρόξενος ὅστις ὁμοίως ἠπατήθη· διότι, ἐξ ὅλων τῶν Ἑλλήνων, μόνος ὁ Κλέαρχος ἐγίνωσκε τοὺς σκοποὺς τοῦ Κύρου. Κατόπιν ἐπῆλθεν ὁ μεταξὺ Κύρου καὶ Ἀρταξέρξου πόλεμος, ἡ πορεία τοῦ περσικοῦ στρατοῦ καὶ τῶν Ἑλλήνων ἐθελοντῶν· διὰ τῆς Φρυγίας, τῆς Λυκαονίας καὶ τῆς Κιλικίας, ἡ ἐν Κουνάξῃ μάχη, ἡ ἀπιστία τοῦ Τισσαφέρνους, ἡ δραστηριότης καὶ ὁ ἡρωισμὸς τοῦ Ξενοφῶντος, ἐκλεχθέντος στρατηγοῦ μετὰ τὸν φόνον τοῦ Κλεάρχου καὶ τῶν ἄλλων στρατηγῶν, τὰ συγκινητικὰ ἐπεισόδια τῆς καθόδου τῶν Μυρίων, καὶ τέλος ἡ σχεδὸν ἀνέλπιστος ἐπιστροφὴ τῶν Ἑλλήνων εἰς τὰς πατρίδας των.

Ἐπανελθὼν εἰς τὴν Ἑλλάδα ὁ Ξενοφῶν δὲν εὗρε πλέον τὸν ἀγαπητόν του διδάσκαλον· οἱ κατήγοροι τοῦ μεγάλου φιλοσόφου εἶχον θριαμβεύσει καὶ ὁ Σωκράτης ἔπιε τὸ κώνειον. Τότε

ἡ ἀφοσίωσις καὶ ἡ ἀγανάκτησις τοῦ Ξενοφῶντος ἐξεδηλώθησαν τρανῶς· ἔγραψε τὴν Ἀπολογίαν καὶ τὰ Ἀπομνημονεύματα, εὔγλωττον διαμαρτύρησιν τῆς δικαιοσύνης καὶ τῆς φιλίας ὑπὲρ τῆς τοῦ φθόνου καὶ τοῦ ψεύδους καταδιωκομένης ἀρετῆς.

Ἀλλ' ἐὰν ἡ γενναία αὕτη ὑπεράσπισις τιμᾷ τὸν εὐγενῆ χαρακτῆρα τοῦ Ξενοφῶντος ἐνώπιον τῶν μεταγενεστέρων, κατέστησεν ὅμως αὐτὸν ὕποπτον παρὰ τοῖς συμπολίταις του.

Ὡς ἐφοβεῖτο ὁ Σωκράτης, ἡ φιλία δι' ἧς ἐτίμησεν αὐτὸν ὁ Κῦρος ἐξώργισε κατ' αὐτοῦ τὸ ἀνήσυχον καὶ φιλύποπτον πνεῦμα τῶν Ἀθηναίων. Κατηγορηθεὶς ἐπὶ λακωνισμῷ κατεδικάσθη εἰς ἐξορίαν, ἥτις παρετάθη ἐπὶ τριάκοντα ἔτη. Ἀνεχώρησε λοιπὸν μὲ τὴν γυναῖκά του Φιλησίαν καὶ τοὺς δύο νεαροὺς υἱούς του, τὸν Γρύλλον καὶ τὸν Διόδωρον, οἵτινες ἕνεκα τῆς πρὸς ἀλλήλους ἀδελφικῆς τρυφερότητος ἐπωνομάσθησαν Διόσκουροι, καὶ πρῶτον μὲν μετέβη πρὸς τὸν φίλον του Ἀγησίλαον βασιλέα τῆς Σπάρτης, ὅστις ἕνεκα τοῦ πολέμου τῶν Θηβαίων πρὸς τοὺς Λακεδαιμονίους εἶχεν ἀνακληθῆ εἰς τὴν Ἑλλάδα, παρευρέθη εἰς τὴν μάχην τῆς Κορωνείας, ὅπου οἱ συμπολῖταί του ἐπολέμουν εἰς τὰς τάξεις τῶν ἐναντίων, ἐπέστρεψε μετὰ τοῦ Ἀγησιλάου εἰς τὴν Σπάρτην, καὶ ἔπειτα ἀπεχώρησεν ὁριστικῶς εἰς τὸν Σκιλλοῦντα, πόλιν μικράν, εἴκοσι στάδια μακρὰν τῆς Ὀλυμπίας, ὅπου οἱ Λακεδαιμόνιοι τῷ ἐδώρησαν οἰκίαν καὶ γαίας πολλάς. Τὸ μέρος τοῦτο καὶ τὸν ἤρεμον βίον ὃν διῆγεν ἐν αὐτῷ περιγράφει ὁ ἴδιος ἐν τῇ Ἀναβάσει (Ε', 3). Ὁ Λετρόννιος φρονεῖ ὅτι εἰς τὸ θελκτικώτατον ἐκεῖνο ἀναχωρητήριον ἔγραψε τὴν Κύρου Ἀνάβασιν, τὸν Κυνηγετικόν, τὸν περὶ Ἱππικῆς, καθὼς καὶ τὰς πολιτείας τῶν Λακεδαιμονίων καὶ τῶν Ἀθηναίων, τὰς ὁποίας ὅμως ὁ Μάγνης Δημήτριος δὲν παραδέχεται ὡς ὑπ' αὐτοῦ συγγραφείσας.

Οἱ βιογράφοι διαφωνοῦσιν ὡς πρὸς τὸ μέρος ὅπου ἀπεβίωσεν ὁ Ξενοφῶν. Κατὰ τὸν Παυσανίαν καὶ τὸν Πλούταρχον, ὁ

τάφος αὐτοῦ ὑπῆρχεν ἐν Σκιλλοῦντι· ἀλλά, κατὰ Διογένην τὸν Λαέρτιον, στρατευσάντων τῶν Ἠλείων κατὰ τοῦ Σκιλλοῦντος καὶ τῆς πόλεως ἁλωθείσης ὑπ' αὐτῶν, οἱ υἱοὶ τοῦ Ξενοφῶντος ἔφυγον εἰς τὸ Λέπρεον· ὁ δὲ πατήρ των ἀναγκασθεὶς νὰ κρυβῆ πρῶτον εἰς τὴν Ἦλιν, μετέβη ἔπειτα καὶ αὐτὸς εἰς Λέπρεον πρὸς τὰ τέκνα του καὶ ἐκεῖθεν κατέφυγεν εἰς τὴν Κόρινθον, ὅπου ἔμεινε μέχρι τελευτῆς βίου.

Ὁ Λετρόννιος φρονεῖ ὅτι ἡ ἀνάκλησίς του ἐκ τῆς ἐξορίας ἐγένετο ὀλίγον χρόνον μετὰ τὴν ἔξωσίν του ἐκ τοῦ Σκιλλοῦντος. Πιθανὸν ἡ πατρίς του, μαθοῦσα τὴν δυστυχίαν ἣν ὑπέστη ὁ περιφανὴς ἐκεῖνος ἀνήρ, νὰ ἀνεκάλεσε τέλος τὴν τοῦ ὀστρακισμοῦ του ἀπόφασιν. Βεβαίως ὅμως ἡ ἀνάκλησίς του προηγήθη τῆς ἐν Μαντινείᾳ μάχης (3 ἔτος τῆς 104 ὀλυμπιάδος), διότι μαθὼν ὅτι αἱ Ἀθῆναι συνετάχθησαν μὲ τὸ μέρος τῆς Σπάρτης εἰς τὸν κατὰ τῶν Θηβαίων πόλεμον, ἔπεμψε τοὺς υἱούς του νὰ πολεμήσωσιν εἰς τὰς τάξεις τῶν Ἀθηναίων ὑπὲρ τῆς ἀγάπητῆς του Λακεδαίμονος· τοῦθ' ὅπερ ὑποτίθησιν ὅτι ὁ πατήρ των δὲν ἦτο πλέον ἐξόριστος. Κατὰ τὸν χρόνον τῆς ἐν Μαντινείᾳ μάχης δὲν εἶχεν ἀκόμη ἐπανέλθει εἰς τὰς Ἀθήνας, καὶ ἀγνοεῖται μάλιστα ἐὰν ἐπέστρεψέ ποτε.

Εἰς Κόρινθον εὑρισκόμενος ἔμαθε τὸν θάνατον τοῦ υἱοῦ του Γρύλλου, ὅστις ἔπεσεν ἐν Μαντινείᾳ, ἀφοῦ, ὡς ἐλέγετο, ἔτρωσε θανασίμως τὸν Ἐπαμεινώνδαν. Ὅταν ἔφθασεν ἡ ἀπαισία ἐκείνη ἀγγελία, ὁ Ξενοφῶν ἔθυεν ἔχων ἐστεφανωμένην τὴν κεφαλήν. Διέκοψε τὴν θυσίαν καὶ ἀπεστεφανώθη. Ἀλλ' ἀκούσας ὅτι ὁ υἱός του ἔπεσεν ἀνδρείως μαχόμενος, ἔθεσε πάλιν τὸν στέφανον ἐπὶ τῆς κεφαλῆς του χωρὶς νὰ δακρύσῃ, καὶ ἠρκέσθη νὰ εἴπῃ « Ἤξευρα ὅτι θνητὸν ἐγέννησα ». Ἡρωικὴ ἐγκαρτέρησις, συγκινητικὴ ὑποταγὴ εἰς τὰς βουλὰς τῆς θείας Προνοίας, προαίσθησις τῆς χριστιανικῆς ἐκείνης ὑπακοῆς, ἥτις λέγει μετὰ τοῦ Ἰώβ: Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον!

Εἰς τὴν Κόρινθον συνεπλήρωσε τὴν συγγραφὴν τῆς Κύρου

Παιδείας καὶ τῶν Ἑλληνικῶν, ἅτινα προωρισμένα νὰ ἀπαρτίσωσι συνέχειαν τῆς Θουκυδιδείου συγγραφῆς, ἄρχονται ἀπὸ τῆς παρὰ τὴν Κύζικον ναυμαχίας τῶν Ἀθηναίων κατὰ τὸ 411 ἔτος π. Χ. καὶ λήγουσιν εἰς τὴν ἐν ἔτει 362 γενομένην μάχην τῆς Μαντινείας ἤτοι περικλείουσι περίοδον πεντήκοντα ἐτῶν καὶ συνέγραψεν ἓν τῶν ἀρίστων ἔργων του, τὸ περὶ Προσόδων, ἐν τῷ ὁποίῳ ἐκφράζει διὰ συγκινητικωτάτου τρόπου τὰς εὐχάς του διὰ τὴν εὐδαιμονίαν τῶν Ἀθηνῶν· «Πρὶν καταβῶ εἰς τὸν τάφον, ἀνακράζει, ἂς ἴδω τοὐλάχιστον τὴν πατρίδα μου εἰρηνεύουσαν καὶ εὐδαιμονοῦσαν» (ΣΤ').

Ἀπέθανε πιθανῶς ἐν τῇ ἰδίᾳ ταύτῃ πόλει περὶ τὸ 355 ἢ 354 π. Χ. «ὑπὲρ τὰ ἐννενήκοντα ἔτη βιώσας», ὡς λέγει ὁ Λουκιανὸς ἐν τῷ περὶ τῶν Μακροβίων.

Πιστεύεται ὅτι περιεσώθησαν ὅλα τὰ συγγράμματά του, τοὐλάχιστον ἐκ τῆς ἀπαριθμήσεως τοῦ Διογένους τοῦ Λαερτίου δὲν φαίνεται ἐλλεῖπόν τι. Συνήθως δὲ τὰ ἔργα ταῦτα διαιροῦνται εἰς τέσσαρας τάξεις.

1.) Εἰς ΙΣΤΟΡΙΚΑ. Ταῦτα δὲ εἶνε τὰ **Ἑλληνικά, ἡ Κύρου Ἀνάβασις, Λόγος εἰς Ἀγησίλαον.**

2.) Εἰς ΠΟΛΙΤΙΚΑ. Εἶνε δὲ ταῦτα ἡ **Κύρου Παιδεία, Λακεδαιμονίων Πολιτεία, Πόροι ἢ περὶ Προσόδων.**

3.) Εἰς ΔΙΚΑΣΤΙΚΑ. Εἶνε δὲ ταῦτα ὁ **Ἱππαρχικός, ὁ περὶ Ἱππικῆς, ὁ Κυνηγετικός, ὁ Οἰκονομικός.**

4.) Εἰς ΦΙΛΟΣΟΦΙΚΑ, ἅτινα εἶνε **Ἀπολογία Σωκράτους, Ἀπομνημονεύματα Σωκράτους, Συμπόσιον, Ἱέρων ἢ τυραννικός.**

Ἐκτὸς τούτων περιεσώθησαν καί τινες ἐπιστολαὶ αὐτοῦ πρός τινας τῶν φίλων του.



ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΙΣ

ΒΙΒΛΙΟΝ Α'.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Α'. Κῦρος ὁ νεώτερος[1].

Γένος καὶ πολεμικαὶ παρασκευαὶ κατὰ τοῦ βασιλέως.

Δαρείου[2] καὶ Παρυσάτιδος[3] γίγνονται[4] παῖδες δύο,
πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος, ἐπεὶ
δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου,
ἐβούλετο τὼ παῖδε ἀμφοτέρω παρεῖναι. Ὁ μὲν οὖν πρε- 2
σβύτερος παρὼν ἐτύγχανε· Κῦρον δὲ μεταπέμπεται[5] ἀπὸ
τῆς ἀρχῆς ἧς αὐτὸν σατράπην ἐποίησε, καὶ στρατηγὸν
δὲ αὐτὸν ἀπέδειξε πάντων ὅσοι εἰς Καστωλοῦ[6] πεδίον

[1]) Λέγεται νεώτερος ὁ Κῦρος οὗτος καθ' ὃ ἀπόγονος τοῦ ἑτέρου, τοῦ ἥρωος τῆς Κύρου Παιδείας. [2]) Δαρεῖος ὁ Β'., ἐπικληθεὶς Ὦχος ἢ Νόθος, υἱὸς Ἀρταξέρξου τοῦ Μακρόχειρος καὶ πατὴρ Ἀρταξέρξου τοῦ Μνήμονος καὶ Κύρου τοῦ νεωτέρου, βασιλεύσας ἀπὸ τοῦ 423 μέχρι τοῦ 403 πρὸ Χ. [3]) Παρύσατις θυγάτηρ τοῦ Ἀρταξέρξου τοῦ Α'. καὶ γυνὴ Δαρείου τοῦ Ὤχου, μήτηρ δὲ τοῦ Ἀρταξέρξου τοῦ Β'. καὶ Κύρου τοῦ νεωτέρου, (ὁ Στράβων λέγει ὅτι τὸ καθαυτὸ ὄνομά της ἦτο Φάρζιρις). [4]) Ἱστορικὸς ἐνεστὼς ἀντὶ ἀορίστου. [5]) Ἔστειλε καὶ προσεκάλεσεν. [6]) Καστωλός

ἀθροίζονται. Ἀναβαίνει οὖν ὁ Κῦρος λαβὼν Τισσαφέρ-
νην[1] ὡς φίλον, καὶ τῶν Ἑλλήνων ἔχων ὁπλίτας ἀνέβη
3 τριακοσίους, ἄρχοντα δὲ αὐτῶν Ξενίαν[2] Παρράσιον[3].
Ἐπεὶ δὲ ἐτελεύτησε Δαρεῖος καὶ κατέστη εἰς τὴν βασι-
λείαν Ἀρταξέρξης, Τισσαφέρνης διαβάλλει τὸν Κῦρον
πρὸς τὸν ἀδελφὸν ὡς ἐπιβουλεύοι αὐτῷ. Ὁ δὲ πείθεται καὶ
συλλαμβάνει Κῦρον ὡς ἀποκτενῶν· ἡ δὲ μήτηρ ἐξαιτησα-
4 μένη αὐτὸν ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν. Ὁ δ' ὡς ἀπ-
ῆλθε κινδυνεύσας καὶ ἀτιμασθείς, βουλεύεται ὅπως μήποτε
ἔτι ἔσται ἐπὶ[4] τῷ ἀδελφῷ, ἀλλά, ἢν δύνηται, βασιλεύσει
ἀντ' ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε[5] τῷ Κύ-
5 ρῳ, φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρ-
ξην. Ὅστις δ' ἀφικνοῖτο τῶν[6] παρὰ βασιλέως πρὸς αὐτὸν
πάντας[7] οὕτω διατιθεὶς ἀπεπέμπετο ὥστε αὐτῷ μᾶλλον
φίλους εἶναι ἢ βασιλεῖ. Καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβά-
ρων ἐπεμελεῖτο ὡς[8] πολεμεῖν τε ἱκανοὶ εἴησαν[9] καὶ εὐ-

πόλις τῆς Λυδίας, περὶ τὴν εὐρύχωρον πεδιάδα τῆς ὁποίας συνήρχοντο τὰ στρατεύματα τῶν ἐπαρχιῶν ἐκείνων. 1) Τισσαφέρνης, ους, Πέρσης, σατράπης τῆς Μικρᾶς Ἀσίας, ἐπὶ Δαρείου τοῦ Ὤχου καὶ Ἀρταξέρξου τοῦ Μνήμονος, πολεμήσας κατὰ τοῦ νεωτέρου Κύρου καὶ τῶν μετ' αὐτοῦ Ἑλλήνων, ὕστερον δὲ καταπολεμηθεὶς ὑπὸ τοῦ Ἀγησιλάου, συνελήφθη καὶ ἀπεκεφαλίσθη, κατ' ἐπιταγὴν τοῦ Ἀρταξέρξου, ὑπὸ τοῦ Τιθραύστου. 2) Ξενίας, ου, Ἀρκάς, εἷς τῶν στρατηγῶν τῶν μετὰ Κύρου μυρίων Ἑλλήνων. 3) Παρρασία πολ. τῆς Ἀρκαδίας· ἐθν. Παρράσιος. 4) Εἰς τὴν ἐξουσίαν τοῦ ἀδελφοῦ του. 5) Ἦτο μὲ τὸ μέρος τοῦ Κύρου, ηὐνόει τὸν Κῦρον καὶ ἐβοήθει τὰ σχέδιά του. 6) Βραχυλογ. ἀντί· ὅστις τῶν ὄντων παρὰ τῷ βασιλεῖ ἀφικνοῖτο πεμπόμενος πρὸς αὐτὸν παρὰ τοῦ βασιλέως. 7) Τὸ πάντας ἔχει ἐντθ. περιληπτ. ἔννοιαν, ἀναφερόμενον εἰς τὸ ὅστις (=οἵτινες) ἀφικνοῖτο. 8) Ὡς=πῶς· πῶς νὰ εἶνε ἱκανοὶ νὰ πολεμῶσι. 9) Εἴησαν καὶ παρὰ τοῖς Ἀττ. πεζογράφοις συνηθέστερον εἶεν.

νοϊκῶς ἔχοιεν αὐτῷ. Τὴν δὲ Ἑλληνικὴν δύναμιν ἤθροιζεν 6
ὡς μάλιστα ἐδύνατο ἐπικρυπτόμενος, ὅπως ὅτι[1] ἀπα-
ρασκευότατον λάβοι βασιλέα. Ὧδε[2] οὖν ἐποιεῖτο τὴν
συλλογήν. Ὁπόσας[3] εἶχε φυλακὰς ἐν ταῖς πόλεσι πα-
ρήγγειλε τοῖς φρουράρχοις ἑκάστοις λαμβάνειν ἄνδρας
Πελοποννησίους ὅτι[4] πλείστους καὶ βελτίστους, ὡς[5] ἐπι-
βουλεύοντος Τισσαφέρνους ταῖς πόλεσι. Καὶ γὰρ ἦσαν
αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους[6] τὸ ἀρχαῖον[7] ἐκ[8] βα-
σιλέως δεδομέναι, τότε δὲ ἀφειστήκεσαν[9] πρὸς Κῦρον
πᾶσαι πλὴν Μιλήτου· ἐν Μιλήτῳ δὲ Τισσαφέρνης προαι- 7
σθόμενος τὰ αὐτὰ ταῦτα βουλευομένους[10], [ἀποστῆναι
πρὸς Κῦρον,] τοὺς μὲν ἀπέκτεινε τοὺς δ' ἐξέβαλεν. Ὁ
δὲ Κῦρος ὑπολαβὼν[11] τοὺς φεύγοντας[12] συλλέξας στρά-
τευμα ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θά-
λατταν καὶ ἐπειρᾶτο κατάγειν[13] τοὺς ἐκπεπτωκότας[14].
Καὶ αὕτη αὖ ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν
στράτευμα. Πρὸς δὲ βασιλέα πέμπων[15] ἠξίου ἀδελφὸς 8
ὢν[16] αὐτοῦ δοθῆναι οἱ[17] ταύτας τὰς πόλεις μᾶλλον ἢ

---

1) Τὸ ὅτι ἐντθ. ἐπιτατικῶς· ὅσον τὸ δυνατὸν περισσότερον ἀπροπαράσκευον=ἀπροετοίμαστον. 2) Οὕτω. 3) = Ἑκάστῳ τῶν φρουράρχων τῶν φυλακῶν ὁπόσας εἶχεν ἐν ταῖς πόλεσι, παρήγγειλε λαμβάνειν = ἀθροίζειν, στρατολογεῖν. Οἱ Πελοποννήσιοι καὶ ἰδίως οἱ Ἀρκάδες ἐξ αὐτῶν μετέβαινον ὡς μισθοφόροι τὸ πάλαι ἐν Ἀσίᾳ. 4) Ὅσον τὸ δυνατόν. 5) Λέγων ὡς = ὅτι. 6) Σημ. τὸν κτήτορα· ἤτοι ἦσαν κτῆμα τοῦ Τισσαφ. 7) Τὸ πάλαι. 8) Ποιητ. αἴτιον=ὑπό, σπάνιον παρ' Ἀττικοῖς. 9) Ὑπερσυντ. τοῦ ἀφίστημι. Εἶχον ἀποστατήσει. 10) Ἐνν. τὸ Μιλησίους ὡς ὑποκ. τοῦ βουλευομένους. 11) Παραλαβών. 12) Τοὺς φυγάδας, τοὺς ἐξορίστους. 13) Τελ. ἀπαρ. νά τους ἐπαναγάγῃ εἰς τὰς πατρίδας των. 14) Τοὺς ἐκπτώτους = ἐξορίστους. 15) Ἐξυπον. ὡς ἀντικ. τὸ ἀγγέλους. 16) Αἰτιολ. μετοχή. 17) Ἑαυτῷ.

Τισσαφέρνην ἄρχειν αὐτῶν, καὶ ἡ μήτηρ συνέπραττεν αὐτῷ ταῦτα· ὥστε βασιλεὺς τὴν μὲν πρὸς ἑαυτὸν[1] ἐπιβουλὴν οὐκ ᾐσθάνετο, Τισσαφέρνει δὲ ἐνόμιζε πολεμοῦντα αὐτὸν ἀμφὶ τὰ στρατεύματα δαπανᾶν· ὥστε οὐδὲν ἤχθετο[2] αὐτῶν πολεμούντων. Καὶ γὰρ ὁ Κῦρος ἀπέπεμπε τοὺς γιγνομένους δασμοὺς[3] βασιλεῖ ἐκ τῶν
9 πόλεων ὧν[4] Τισσαφέρνους ἐτύγχανεν ἔχων. Ἄλλο δὲ στράτευμα αὐτῷ[5] συνελέγετο ἐν Χερρονήσῳ[6] τῇ κατ' ἀντιπέρας Ἀβύδου τόνδε τὸν τρόπον. Κλέαρχος Λακεδαιμόνιος φυγὰς ἦν· τούτῳ[7] συγγενόμενος[8] ὁ Κῦρος ἠγάσθη[9] τε αὐτὸν καὶ δίδωσιν αὐτῷ μυρίους δαρεικούς[10]. Ὁ δὲ λαβὼν τὸ χρυσίον στράτευμα συνέλεξεν ἀπὸ[11] τούτων τῶν χρημάτων καὶ ἐπολέμει ἐκ Χερρονήσου ὁρμώμενος[12] τοῖς Θρᾳξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι καὶ ὠφέλει τοὺς Ἕλληνας· ὥστε καὶ χρήματα συνεβάλλοντο αὐτῷ εἰς τὴν τροφὴν τῶν στρατιωτῶν αἱ Ἑλλησποντιακαὶ πόλεις ἑκοῦσαι. Τοῦτο δ' αὖ οὕτω τρε-
10 φόμενον ἐλάνθανεν αὐτῷ[13] τὸ στράτευμα. Ἀρίστιππος



ΔΑΡΕΙΚΟΣ

---

[1]) Ἐναντίον ἑαυτοῦ. [2]) Ἄχθομαι (ἐκ τοῦ ἄχθος=βάρος), μέλ. ἀχθήσομαι καὶ ἀχθεσθήσομαι, ἀόρ. ἠχθέσθην=λυποῦμαι, στενοχωροῦμαι. [3]) Φόρους. [4]) Σχ. καθ' ἕλξιν· ἀντὶ ἃς, πόλεις. [5]) Αὐτῷ =ὑπ' αὐτοῦ, δαπάνῃ αὐτοῦ. [6]) Τῇ Θρᾳκικῇ, τῇ πρὸς μεσημβρ. τῆς Θρᾴκης μεταξὺ τοῦ Ἑλλησπόντου καὶ τοῦ Μέλανος κόλπου, ἀντικρὺ (=ἀντιπέρας) τῆς Ἀβύδου. [7]) Σχῆμα ἀσύνδ. συχνάκις ἀπαντῶν παρὰ Ξενοφ. = Τούτῳ δέ. [8]) Συνάψας μετ' αὐτοῦ σχεσιν, γνωριμίαν. [9]) Ἠγάσθην καὶ ἠγησάμην, ἀόρ. τοῦ ἄγαμαι = τιμῶ, σέβομαι. [10]) Δαρεικός· νόμισμα χρυσοῦν ἐν Περσίᾳ ἰσοδυναμοῦν μὲ 20 δραχ. Ἀττικάς. Κατὰ τὸν Gosselin ἀντιστοιχεῖ πρὸς μίαν ἀγγλ. λίραν. [11]) Σημ. τὸ μέσον, διὰ τούτων τῶν χρ. [12]) Ἔχων ὁρμητήριον, ξεκινῶν ἐκ Χερρον. [13]) Ἐτρέφετο κρυφίως ὑπ' αὐτοῦ.

δὲ ὁ Θετταλὸς ξένος ὢν ἐτύγχανεν αὐτῷ, καὶ πιεζόμενος
ὑπὸ τῶν οἴκοι[1] ἀντιστασιωτῶν[2] ἔρχεται πρὸς τὸν Κῦρον
καὶ αἰτεῖ αὐτὸν εἰς[3] δισχιλίους ξένους καὶ τριῶν μηνῶν
μισθὸν, ὡς[4] οὕτως περιγενόμενος ἂν τῶν ἀντιστασιω-
τῶν. Ὁ δὲ Κῦρος δίδωσιν αὐτῷ εἰς[5] τετρακισχιλίους[6]
καὶ ἓξ μηνῶν μισθὸν, καὶ δεῖται αὐτοῦ μὴ πρόσθεν κατα-
λῦσαι πρὸς τοὺς ἀντιστασιώτας πρὶν ἂν αὐτῷ συμβου-
λεύσηται. Οὕτω δὲ αὖ τὸ ἐν Θετταλίᾳ ἐλάνθανεν αὐτῷ
τρεφόμενον στράτευμα. Πρόξενον δὲ τὸν Βοιώτιον ξένον
ὄντα ἐκέλευσε λαβόντα ἄνδρας ὅτι[7] πλείστους παρα- 11
γενέσθαι, ὡς εἰς[8] Πισίδας βουλόμενος στρατεύεσθαι,
ὡς πράγματα παρεχόντων[9] τῶν Πισιδῶν τῇ ἑαυτοῦ
χώρᾳ. Σοφαίνετον δὲ τὸν Στυμφάλιον καὶ Σωκράτην τὸν
Ἀχαιὸν, ξένους ὄντας καὶ τούτους, ἐκέλευσεν ἄνδρας
λαβόντας ἐλθεῖν ὅτι πλείστους, ὡς πολεμήσων[10] Τισσα-
φέρνει σὺν τοῖς φυγάσι τοῖς Μιλησίων. Καὶ ἐποίουν
οὕτως οὗτοι.

---

[1]) Ἐν τῇ πατρίδι του. [2]) Τῶν ἀνηκόντων εἰς τὸ ἐναντίον κόμμα. [3]) Εἰς τὴν. ἐνν. τοῦ ὡς ἔγγιστα, περὶ τοὺς κτλ. [4]) Λέγων, ὡς οὕτως ἂν περιγένοιτο = ὅτι οὕτως ἤθελεν ὑπερισχύσει τῶν τοῦ ἐναντίου κόμματος. [5]) Περίπου. [6]) Ἐνν. ξένους. [7]) Ὅσον τὸ δυνατόν. [8]) Κατά, ἐναντίον. [9]) Παρέχω πράγματα, φρ. = παρέχω ἐμπόδια, ἐνοχλήσεις, περισπασμούς. [10]) Τὸ ὡς σημ. σκοπόν, τέλος = διότι σκοπεύει νὰ πολεμήσῃ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὁρμὴ ἀπὸ τῶν Σάρδεων, στρατιωτικὴ κίνησις.

Ἐπεὶ δ' ἐδόκει αὐτῷ ἤδη πορεύεσθαι ἄνω,[1] τὴν μὲν πρόφασιν ἐποιεῖτο ὡς Πισίδας βουλόμενος ἐκβαλεῖν παντάπασιν ἐκ τῆς χώρας· καὶ ἀθροίζει ὡς[2] ἐπὶ τούτους τό τε βαρβαρικὸν καὶ τὸ Ἑλληνικὸν ἐνταῦθα[3] καὶ παραγγέλλει τῷ τε Κλεάρχῳ λαβόντι ἥκειν ὅσον ἦν αὐτῷ[4] στράτευμα, καὶ τῷ Ἀριστίππῳ συναλλαγέντι πρὸς τοὺς οἴκοι[5] ἀποπέμψαι πρὸς ἑαυτὸν ὃ[6] εἶχε στράτευμα· καὶ Ξενίᾳ τῷ Ἀρκάδι, ὃς αὐτῷ προειστήκει[7] τοῦ ἐν ταῖς πόλεσι ξενικοῦ, ἥκειν παραγγέλλει λαβόντα[8] τοὺς ἄλλους

2 πλὴν[9] ὁπόσοι ἱκανοὶ ἦσαν τὰς ἀκροπόλεις φυλάττειν. Ἐκάλεσε δὲ καὶ τοὺς Μίλητον πολιορκοῦντας, καὶ τοὺς φυγάδας ἐκέλευσε σὺν αὐτῷ στρατεύεσθαι, ὑποσχόμενος αὐτοῖς, εἰ καλῶς καταπράξειεν ἐφ' ἃ[10] ἐστρατεύετο, μὴ πρόσθεν παύσεσθαι πρὶν αὐτοὺς καταγάγοι οἴκαδε[11]. Οἱ δὲ ἡδέως ἐπείθοντο· ἐπίστευον γὰρ αὐτῷ· καὶ λαβόντες

3 τὰ ὅπλα παρῆσαν[12] εἰς Σάρδεις. Ξενίας μὲν δὴ τοὺς ἐκ

---

1) Εἰς τὰ ἐνδότερα, εἰς τὸ ἐσωτερικὸν τῆς Ἀσίας, ὅπου εἶχε τὴν ἕδραν του ὁ βασιλεύς. 2) Προφασιζόμενος δηλ. ὅτι ἐναντίον τούτων δῆθεν πορεύεται. 3) Ἐν τῇ ἡγεμονίᾳ του. 4) Ὅσον εἶχε στράτευμα. 5) Ἀφοῦ συμφιλιωθῇ πρὸς τοὺς ἐν τῇ πατρίδι του ἀντιπάλους. 6) Ὡρισμ. ἐκεῖνο, ὃ εἶχε = τὸ ἑαυτοῦ στράτευμα. 7) Ὅστις εἶχε διορισθῆ ὑπ' αὐτοῦ ἀρχηγὸς τοῦ ξενικοῦ (μισθοφορικοῦ) στρατεύματος. 8) Μετχ. χρον.=ἀφοῦ πρότερον λάβῃ. 9) Καθ' ἕλξιν· πλὴν ἐκείνων, ὅσοι ἦσαν κτλ. 10) Ἕλξ. ἐκεῖνα, ἐφ' ἃ = διὰ τὰ ὁποῖα. 11) Πρὶν τοὺς ἐπαναφέρῃ εἰς τὰς πατρίδας. 12) Ἐλθόντες εἰς Σάρδεις παρῆσαν· = ἐπέρασαν, ὑπῆγον εἰς Σάρδεις.

τῶν πόλεων λαβὼν παρεγένετο εἰς Σάρδεις ὁπλίτας[1] εἰς τετρακισχιλίους[2], Πρόξενος δὲ παρῆν ἔχων ὁπλίτας μὲν εἰς πεντακοσίους καὶ χιλίους, γυμνῆτας[3] δὲ πεντακοσίους, Σοφαίνετος δὲ ὁ Στυμφάλιος ὁπλίτας ἔχων χιλίους, Σωκράτης δὲ ὁ Ἀχαιὸς ὁπλίτας ἔχων ὡς πεντακοσίους, Πασίων δὲ



ὁ Μεγαρεὺς τριακοσίους μὲν ὁπλίτας, τριακοσίους δὲ
πελταστὰς ἔχων παρεγένετο· ἦν δὲ καὶ οὗτος καὶ ὁ Σω-
κράτης τῶν[4] ἀμφὶ Μίλητον στρατευομένων. Οὗτοι μὲν 4
εἰς Σάρδεις αὐτῷ ἀφίκοντο. Τισσαφέρνης δὲ κατανοήσας
ταῦτα, καὶ μείζονα ἡγησάμενος εἶναι ἢ ὡς[5] ἐπὶ Πισίδας
τὴν παρασκευήν, πορεύεται ὡς[6] βασιλέα ᾗ[7] ἐδύνατο
τάχιστα ἱππέας ἔχων ὡς πεντακοσίους. Καὶ βασιλεὺς 5
μὲν δὴ ἐπεὶ ἤκουσε Τισσαφέρνους[8] τὸν Κύρου στόλον,
ἀντιπαρεσκευάζετο[9].

---

[1]) Ὁπλίτης· στρατιώτης πεζὸς βαρέως ἁρματωμένος, φέρων ἀσπίδα, κράνος, θώρακα, μίτραν, καὶ δόρυ. [2]) Ἡ συντακτ. θέσις τῶν μερῶν τῆς προτάσεως ἔχει οὕτως· = λαβὼν ἐκ τῶν πόλεων τοὺς ὁπλίτας (ὄντας) εἰς (περὶ τοὺς) τετρακ. παρεγέν. εἰς Σάρδεις. [3]) Γυμνής, γεν. γυμνῆτος = ἐλαφρὰ ἁρματωμένος στρατιώτης, ὡς οἱ τοξόται καὶ οἱ σφενδονῆται. [4]) Ἐκ τῶν = ἐξ ἐκείνων, οἳ ἐστρατεύοντο ἀμφὶ Μίλητον. [5]) Ἢ ὡς· μεγαλειτέρα παρ' ὅτι ἔπρεπε νὰ εἶνε κατὰ τῶν Πισιδῶν. [6]) Πρός. [7]) Ἐπιρρηματικῶς = ὅπως. [8]) Παρὰ τοῦ Τισσαφέρνους. [9]) Ἀντιπαρασκευάζομαι = ἑτοιμάζομαι καὶ ἐγὼ κατ' ἐκείνου ὅστις ἑτοιμάζεται ἐναντίον μου.

Κῦρος δὲ ἔχων οὓς[1] εἴρηκα ὡρμᾶτο ἀπὸ Σάρδεων· καὶ
ἐξελαύνει[2] διὰ τῆς Λυδίας σταθμοὺς[3] τρεῖς παρασάγγας[4]
εἴκοσι καὶ δύο ἐπὶ τὸν Μαίανδρον ποταμόν. Τούτου τὸ
εὖρος[5] δύο πλέθρα[6]· γέφυρα δὲ ἐπῆν ἑπτὰ ἐζευγμένη
6 πλοίοις. Τοῦτον διαβὰς ἐξελαύνει διὰ Φρυγίας σταθμὸν
ἕνα παρασάγγας ὀκτὼ εἰς Κολοσσάς, πόλιν οἰκουμένην,
εὐδαίμονα καὶ μεγάλην. Ἐνταῦθα ἔμεινεν ἡμέρας ἑπτά·
καὶ ἧκε Μένων ὁ Θετταλὸς ὁπλίτας ἔχων χιλίους καὶ
πελταστὰς[7] πεντακοσίους, Δόλοπας καὶ Αἰνιᾶνας καὶ
Ὀλυνθίους. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρα-
7 σάγγας εἴκοσιν εἰς Κελαινάς, τῆς Φρυγίας πόλιν οἰκου-
μένην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα Κύρῳ βασί-
λεια[8] ἦν καὶ παράδεισος[9] μέγας ἀγρίων θηρίων πλήρης,
ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου[10], ὁπότε γυμνάσαι βού-
λοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. Διὰ μέσου δὲ τοῦ πα-
ραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ
εἰσιν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ τῆς Κελαινῶν
πόλεως. Ἔστι δὲ καὶ μεγάλου βασιλέως βασίλεια ἐν Κε-
8 λαιναῖς ἐρυμνὰ[11] ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ
ὑπὸ τῇ ἀκροπόλει· ῥεῖ δὲ καὶ οὗτος διὰ τῆς πόλεως καὶ

---

1) Ἑλξ. ἐκείνους, οὓς (περὶ ὧν) εἴρηκα. 2) Ἐξελαύνω, μ. ἐξελάσω καὶ ἀττ. ἐξελῶ, πρκ. ἐξελήλακα. Ἐντθ. ἀμετβτ. = ξεκινῶ, ἐκστρατεύω. 3) Μέτρον ἐκτάσεως εἰς τὴν Περσίαν, δι' οὗ ἐκανονίζοντο τὰ ὁδοιπορικὰ διαστήματα, ἴσον μὲ 125 βήματα. 4) Ἐπίσης μέτρον ἐκτάσεως περιέχον 30 σταδίους, ἤτοι 3750 βήματα, δηλ. 4 μίλια. 5) Εὖρος (ἐκ τοῦ εὐρὺς) = πλάτος. 6) Πλέθρον· μέτρον ἐκτάσεως 100 ποδῶν (ἑλλην.). Ἓξ πλέθρα ἐξισοῦντο πρὸς ἓν στάδιον. 7) Στρατιώτης ἁρματωμένος μὲ πέλτην (ἐλαφρὰν ἀσπίδα), ἀκροβολιστής. 8) Τὰ ἀνάκτορα. 9) Παράδεισος (περσικὴ λέξις *φαρδαιθί*·) = κῆπος περιπεφραγμένος, μὲ δένδρα καὶ ζῷα πρὸς θήραν. 10) Ἔφιππος. 11) Ὀχυρά.

ἐμβάλλει εἰς τὸν Μαίανδρον· τοῦ δὲ Μαρσύου τὸ εὖρός
ἐστιν εἴκοσι καὶ πέντε ποδῶν. Ἐνταῦθα λέγεται Ἀπόλ-
λων[1] ἐκδεῖραι Μαρσύαν[2] νικήσας ἐρίζοντά οἱ[3] περὶ
σοφίας, καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ ὅθεν αἱ
πηγαί· διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται Μαρσύας.
Ἐνταῦθα Ξέρξης, ὅτε ἐκ τῆς Ἑλλάδος ἡττηθεὶς τῇ μάχῃ
ἀπεχώρει, λέγεται οἰκοδομῆσαι ταῦτά τε τὰ βασίλεια
καὶ τὴν Κελαινῶν ἀκρόπολιν. Ἐνταῦθα ἔμεινε Κῦρος 9
ἡμέρας τριάκοντα· καὶ ἧκε Κλέαρχος [ὁ Λακεδαιμόνιος
φυγὰς] ἔχων ὁπλίτας χιλίους καὶ πελταστὰς Θρᾷκας
ὀκτακοσίους καὶ τοξότας Κρῆτας[4] διακοσίους. Ἅμα δὲ
καὶ Σῶσις[5] παρῆν ὁ Συρακούσιος ἔχων ὁπλίτας τριακο-
σίους, καὶ Σοφαίνετος ὁ Ἀρκὰς ἔχων ὁπλίτας χιλίους.
Καὶ ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν[6] τῶν Ἑλλή-
νων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγένοντο[7] οἱ σύμ-
παντες ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελτασταὶ δὲ
ἀμφὶ[8] τοὺς δισχιλίους. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς 10
δύο παρασάγγας δέκα εἰς Πέλτας, πόλιν οἰκουμένην.
Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς· ἐν αἷς[9] Ξενίας ὁ Ἀρκὰς
τὰ Λύκαια[10] ἔθυσε καὶ ἀγῶνα ἔθηκε· τὰ δὲ ἆθλα[11] ἦσαν

---

1) Υἱὸς τοῦ Διὸς καὶ τῆς Λητοῦς. 2) Υἱὸς τοῦ Ὀλύμπου ἢ τοῦ Οἰάγρου, ἐκ τοῦ γένους τῶν Σατύρων, ὅστις εὑρὼν τοὺς ὑπὸ τῆς Ἀθηνᾶς ῥιφθέντας αὐλοὺς καὶ γυμνασθεὶς εἰς τὴν μουσικήν, ἐτόλμησε νὰ φιλονεικήσῃ μετὰ τοῦ Ἀπόλλωνος, ἀλλά, νικηθεὶς ἐξεδάρη, καὶ ἀπὸ τοῦ αἵματός του ἐσχηματίσθη ὁ Μαρσύας ποταμός, περὶ τοῦ ὁποίου ἐνταῦθα πρόκειται. 3) Μετ' αὐτοῦ, τοῦ Ἀπόλλωνος 4) Οἱ Θρᾷκες ἐπολέμουν μὲ ἀκόντια καὶ πέλτας, οἱ δὲ Κρῆτες μὲ τόξα. 5) Δωρ. ἀντὶ Σωσίας. 6) Τοὺς ἐπεθεώρησε καὶ τοὺς ἠρίθμησε. 7) Εὑρέθησαν ὅτι ἦσαν. 8) Περὶ τούς. 9) Ἐνν. ἡμέραις· = κατὰ τὸ διάστημα τῶν ὁποίων. 10) Τὰ Λύκαια ἦσαν ἀγῶνες γυμνικοί. 11) Τὰ βραβεῖα.

στλεγγίδες[1] χρυσαῖ· ἐθεώρει δὲ τὸν ἀγῶνα καὶ Κῦρος. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δώδεκα εἰς Κεράμων ἀγοράν, πόλιν οἰκουμένην, ἐσχάτην πρὸς
11 τῇ Μυσίᾳ χώρᾳ. Ἐντεῦθεν ἐξελαύνει σταθμοῦς τρεῖς παρασάγγας τριάκοντα εἰς Καΰστρου πεδίον, πόλιν οἰκουμένην. Ἐνταῦθ' ἔμεινεν ἡμέρας πέντε· καὶ τοῖς στρατιώταις ὠφείλετο μισθὸς πλέον ἢ τριῶν μηνῶν, καὶ πολλάκις ἰόντες ἐπὶ τὰς θύρας[2] ἀπῄτουν. Ὁ δὲ ἐλπίδας λέγων διῆγε καὶ δῆλος ἦν ἀνιώμενος· οὐ γὰρ ἦν
12 πρὸς τοῦ Κύρου τρόπου[3] ἔχοντα μὴ ἀποδιδόναι. Ἐνταῦθα ἀφικνεῖται Ἐπύαξα ἡ Συεννέσιος γυνὴ τοῦ Κιλίκων βασιλέως παρὰ Κῦρον· καὶ ἐλέγετο Κύρῳ δοῦναι χρήματα πολλά. Τῇ δ' οὖν στρατιᾷ τότε ἀπέδωκε Κῦρος



ΚΡΗΝΗ.

μισθὸν τεττάρων μηνῶν. Εἶχε δὲ ἡ Κίλισσα [καὶ] φυλακὴν περὶ αὐτὴν Κίλικας καὶ Ἀσπενδίους· ἐλέγετο δὲ καὶ συγγενέσθαι Κῦρον τῇ Κιλίσσῃ.
13 Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Θύμβριον, πόλιν οἰκουμένην. Ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη ἡ Μίδου καλουμένη τοῦ Φρυ-


[1]) Ξύστραι, ἃς μετεχειρίζοντο εἰς τὸ λουτρόν, καὶ δι' ὧν ἀπεξέοντο τὸν ἱδρῶτα. [2]) Θύραι· ἡ αὐλὴ τῶν ἀνακτόρων (κυρ. τῶν βασιλ. τῆς Περσίας) ὅπως σήμερον λέγεται: ἡ Πόρτα καὶ ἡ Ὑψηλὴ Πύλη (τῆς Τουρκίας), ὅθεν «Φοιτᾶν ἐπὶ θύρας, Ξεν., == παρουσιάζεσθαι εἰς τὴν αὐλήν. [3]) Δὲν ἦτο ἴδιον τοῦ τρόπου, δὲν ἥρμοζε πρὸς τὸν τρόπον, τὰ ἤθη, τοῦ Κύρου.

γῶν βασιλέως, ἐφ' ᾗ λέγεται Μίδας τὸν Σάτυρον θηρεῦ-
σαι οἴνῳ κεράσας αὐτήν. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς 14
δύο παρασάγγας δέκα εἰς Τυριάειον, πόλιν οἰκουμένην.
Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς. Καὶ λέγεται[1] δεηθῆναι[2] ἡ
Κίλισσα Κύρου ἐπιδεῖξαι τὸ στράτευμα αὐτῇ· βουλόμενος
οὖν ἐπιδεῖξαι ἐξέτασιν ποιεῖται ἐν τῷ πεδίῳ τῶν Ἑλλήνων
καὶ τῶν βαρβάρων[3]. Ἐκέλευσε δὲ τοὺς Ἕλληνας ὡς[4] νόμος 15
αὐτοῖς εἰς μάχην οὕτω ταχθῆναι καὶ στῆναι[5], συντάξαι δ'
ἕκαστον τοὺς ἑαυτοῦ[6]. Ἐτάχθησαν οὖν ἐπὶ[7] τεττάρων·
εἶχε δὲ τὸ μὲν δεξιὸν Μένων καὶ οἱ σὺν αὐτῷ, τὸ δὲ εὐώ-
νυμον[8] Κλέαρχος καὶ οἱ ἐκείνου, τὸ δὲ μέσον οἱ ἄλλοι
στρατηγοί. Ἐθεώρει οὖν ὁ Κῦρος πρῶτον μὲν τοὺς βαρ- 16
βάρους· οἱ δὲ παρήλαυνον τεταγμένοι κατὰ ἴλας[9] καὶ
κατὰ τάξεις[10]· εἶτα δὲ τοὺς Ἕλληνας, παρελαύνων ἐφ'
ἅρματος[11] καὶ ἡ Κίλισσα ἐφ' ἁρμαμάξης[12]. Εἶχον δὲ
πάντες κράνη[13] χαλκᾶ καὶ χιτῶνας[14] φοινικοῦς[15] καὶ

---

[1]) Ἀπρόσ. τριτοπρ. Λέγουσιν οἱ ἄνθρωποι. [2]) Ἐντθ. εἰς τὴν ἔνν. τοῦ παρακαλῶ. [3]) Γενικ. ἀντικειμ. τοῦ ἐξέτασιν ποιεῖται· ἐπιθεωρεῖ τὸ ἑλληνικὸν καὶ βαρβαρικὸν στράτευμα [4]) Ἐξ-υπον. τὸ ἔστιν, ὥς ἐστιν αὐτοῖς νόμος = ἔθος, συνήθεια. [5]) Τελ. ἀπαρέμφατα ἐξαρτώμενα ἐκ τοῦ ἐκέλευσε. [6]) Νὰ παρατάξῃ ἕκαστος στρατηγὸς τοὺς ἑαυτοῦ στρατιώτας. [7]) Ἀνὰ τέσσαρας. [8]) Εὐώνυμος (εὖ — ὄνομα) = ὁ ἔχων καλὸν ὄνομα, ἐντθ. δὲ κατ' εὐφημισμὸν ὁ ἀριστερός. [9]) Ἴλη = τάγμα στρατιωτῶν (κυρ. ἱππέων). [10]) Σῶμα στρατιωτ., λόχος, ἑκατονταρχία. Ἰδιαιτ. εἰς τὰς Ἀθήνας ἐκαλεῖτο τὸ σῶμα τῶν πεζῶν [128] στρατ., τοὺς ὁποίους ἔδιδεν ἑκάστη φυλή. [11]) Ἅρμα = πολεμικὸν ἁμάξι δίτροχον συρόμενον ὑπὸ ἵππων. [12]) Ἁρμάμαξα = μεγάλη τετράκυκλος καὶ τετράζυγος ὁδοιπορικὴ ἅμαξα σκεπασμένη, ἐφ' ἧς ἐπέβαινον αἱ γυναῖκες καὶ οἱ παῖδες. [13]) Περικεφαλαίας. [14]) Χιτών, ῶνος· ἔνδυμα (κυρ. μάλλινον) ὅπερ ἐφόρουν κατάσαρκα, ὡς παρ' ἡμῖν τὸ ὑποκάμισον. Ἐν γένει σκέπασμα, κάλυμμα. [15]) Φοινί-

17 κνημῖδας [1] καὶ τὰς ἀσπίδας ἐκκεκαλυμμένας. Ἐπειδὴ δὲ πάντας παρήλασε, στήσας τὸ ἅρμα πρὸ τῆς φάλαγγος μέσης [2], πέμψας Πίγρητα τὸν ἑρμηνέα παρὰ τοὺς στρατηγοὺς τῶν Ἑλλήνων ἐκέλευσε προβαλέσθαι τὰ ὅπλα καὶ ἐπιχωρῆσαι [3] ὅλην τὴν φάλαγγα. Οἱ δὲ ταῦτα προεῖ-



ΑΡΜΑ

πον τοῖς στρατιώταις· καὶ ἐπεὶ ἐσάλπιγξε [4], προβαλόμενοι τὰ ὅπλα ἐπῆσαν. Ἐκ δὲ τούτου θᾶττον προϊόντων σὺν κραυγῇ [5] ἀπὸ τοῦ αὐτομάτου [6] δρόμος ἐγένετο τοῖς στρατιώταις ἐπὶ τὰς σκηνάς, τῶν δὲ βαρβάρων φόβος

κεος-οῦς = κόκκινος. [1]) Κνημίς, -ῖδος· κάλυμμα τῆς κνήμης, καλτσοῦνι ἢ τουζλοῦκι. [2]) Πρὸ τοῦ μέσου τῆς φάλαγγος. [3]) Ἐπιχωρῶ = ἐπέρχομαι μεθ' ὁρμῆς. [4]) Ἀφοῦ διέταξε τὸν σαλπιγκτὴν νὰ σαλπίσῃ. [5]) Ἐν ἀλαλαγμῷ. [6]) Ἀντὶ ἐπιρ. αὐτομάτως = αὐθορμήτως, χωρὶς νὰ τὸ ἐννοήσωσι.

πολύς, καὶ ἥ τε Κίλισσα ἔφυγεν ἐπὶ τῆς ἁρμαμάξης καὶ 18
οἱ ἐκ τῆς ἀγορᾶς[1] καταλιπόντες τὰ ὤνια[2] ἔφυγον. Οἱ
δὲ Ἕλληνες σὺν γέλωτι ἐπὶ τὰς σκηνὰς ἦλθον. Ἡ δὲ
Κίλισσα ἰδοῦσα τὴν λαμπρότητα καὶ τὴν τάξιν τοῦ
στρατεύματος ἐθαύμασε. Κῦρος δὲ ἥσθη[3] τὸν ἐκ τῶν
Ἑλλήνων εἰς τοὺς βαρβάρους φόβον ἰδών[4]. Ἐντεῦθεν 19
ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας εἴκοσιν εἰς Ἰκό-
νιον, τῆς Φρυγίας πόλιν ἐσχάτην. Ἐνταῦθα ἔμεινε τρεῖς
ἡμέρας. Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Λυκαονίας σταθμοὺς
πέντε παρασάγγας τριάκοντα. Ταύτην τὴν χώραν ἐπέτρε-
ψε[5] διαρπάσαι τοῖς Ἕλλησιν ὡς πολεμίαν οὖσαν. Ἐντεῦ- 20
θεν Κῦρος τὴν Κίλισσαν εἰς τὴν Κιλικίαν ἀποπέμπει τὴν
ταχίστην[6] ὁδόν· καὶ συνέπεμψεν αὐτῇ [τοὺς] στρατιώ-
τας οὓς Μένων εἶχε καὶ αὐτόν[7]. Κῦρος δὲ μετὰ τῶν
ἄλλων ἐξελαύνει διὰ Καππαδοκίας σταθμοὺς τέτταρας
παρασάγγας εἴκοσι καὶ πέντε εἰς Θόανα, πόλιν οἰκουμέ-
νην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα ἔμειναν ἡμέρας
τρεῖς· ἐν ᾧ[8] Κῦρος ἀπέκτεινεν ἄνδρα Πέρσην Μεγα-
φέρνην, φοινικιστὴν βασίλειον[9], καὶ ἕτερόν τινα τῶν
ὑπάρχων[10] δυνάστην, αἰτιασάμενος ἐπιβουλεύειν αὐτῷ.
Ἐντεῦθεν[11] ἐπειρῶντο εἰσβάλλειν εἰς τὴν Κιλικίαν· ἡ δὲ 21

1) Οἱ ἐν τῇ ἀγορᾷ ὄντες ἔφυγον ἐκεῖθεν. 2) Τὰ τρόφιμα. 3) Ηὐχαριστήθη. 4) Μετχ. δηλοῦσα τὸ αἴτιον τοῦ ψυχικοῦ παθήματος. 5) Ἔδωκε τὴν ἄδειαν. 6) Διὰ τῆς ταχίστης, συντομωτάτης ὁδοῦ. 7) Τὸν Μένωνα δηλ. 8) Ἐν ᾧ χρόνῳ (τῶν τριῶν ἡμερῶν δηλ.). 9) Ἄνδρα δηλ. ἐκ τῶν τοῦ βασιλέως, ἐνδεδυμένον φοινικικῇ ἐσθῆτι. 10) Ὁ ὑφ' ἑτέρου ἀρχόμενος, ὁ μὴ ὢν αὐτοκράτωρ. Οἱ ὕπαρχοι ἦσαν σατράπαι, διοικοῦντες μέρος τι, ὑπὸ τὰς διαταγὰς ὅμως τοῦ βασιλέως. 11) Τὸ μέρος δι' οὗ ἔμελλον νὰ εἰσβάλωσι, τὸ πέρασμα.

εἰσβολὴ ἦν ὁδὸς ἁμαξιτὸς ὀρθία[1] ἰσχυρῶς καὶ ἀμήχανο
εἰσελθεῖν[2] στρατεύματι, εἴ τις ἐκώλυεν. Ἐλέγετο δὲ κα
Συέννεσις εἶναι ἐπὶ τῶν ἄκρων φυλάττων τὴν εἰσβολήν· δι
ἔμειναν ἡμέραν ἐν τῷ πεδίῳ. Τῇ δ' ὑστεραίᾳ ἧκεν ἄγγε
λος λέγων ὅτι λελοιπὼς εἴη Συέννεσις τὰ ἄκρα, ἐπε
ᾔσθετο ὅτι τὸ Μένωνος στράτευμα ἤδη ἐν Κιλικίᾳ ἦ
εἴσω τῶν ὀρέων, καὶ ὅτι τριήρεις ἤκουε περιπλεούσα
ἀπ' Ἰωνίας εἰς Κιλικίαν Ταμῶν ἔχοντα τὰς Λακεδαιμο
22 νίων καὶ αὐτοῦ Κύρου. Κῦρος δ' οὖν ἀνέβη ἐπὶ τὰ ὄρ
οὐδενὸς κωλύοντος, καὶ εἶδε τὰς σκηνὰς οὗ οἱ Κίλικε
ἐφύλαττον. Ἐντεῦθεν δὲ κατέβαινεν εἰς πεδίον μέγα κα
καλόν, ἐπίρρυτον[3], καὶ δένδρων παντοδαπῶν[4] σύμ
πλεων[5] καὶ ἀμπέλων· πολὺ δὲ καὶ σήσαμον καὶ μελίνην
καὶ κέγχρον[7] καὶ πυροὺς[8] καὶ κριθὰς φέρει. Ὄρος[9] δ
αὐτὸ περιέχει ὀχυρὸν καὶ ὑψηλὸν πάντῃ ἐκ θαλάττη
23 εἰς θάλατταν. Καταβὰς δὲ διὰ τούτου τοῦ πεδίου ἤλας
σταθμοὺς τέτταρας παρασάγγας πέντε καὶ εἴκοσιν εἰ
Ταρσούς, τῆς Κιλικίας πόλιν μεγάλην καὶ εὐδαίμονα
ἔνθα ἦν τὰ Συεννέσιος βασίλεια [τοῦ Κιλίκων βασιλέως]
διὰ μέσου δὲ τῆς πόλεως ῥεῖ ποταμὸς Κύδνος ὄνομα
εὖρος δύο πλέθρων. Ταύτην τὴν πόλιν ἐξέλιπον οἱ ἐνοι
24 κοῦντες μετὰ Συεννέσιος εἰς χωρίον ὀχυρὸν ἐπὶ τὰ ὄρ
πλὴν οἱ τὰ καπηλεῖα[10] ἔχοντες· ἔμειναν δὲ καὶ οἱ παρ

---

1) Ἀνωφερής. 2) Δύσκολος εἰς τὸ νὰ εἰσέλθῃ τὸ στράτευμ
3) Μὲ ἄφθονα νερά. 4) Παντὸς εἴδους. 5) Σύμπλεως, γεμάτος ἕω
τὰ χείλη, ἔμπλεως. 6) Εἶδος γεννήματος κεχροειδοῦς. 7) Κεχρὶ
8) Πυρὸς (συγγ. τῷ σπόρος)=σῖτος. 9) Καλούμενον Ταῦρος
10) Καπηλεῖον. Τὸ ἐργαστήριον τοῦ καπήλου = μεταπράτου· κρα
σοπωλεῖον.

τὴν θάλατταν οἰκοῦντες ἐν Σόλοις καὶ ἐν Ἰσσοῖς. Ἐπύ-
αξα δὲ ἡ Συεννέσιος γυνὴ προτέρα Κύρου πέντε ἡμέ- 25
ραις εἰς Ταρσοὺς ἀφίκετο· ἐν δὲ τῇ ὑπερβολῇ τῶν ὀρέων
τῇ εἰς τὸ πεδίον δύο λόχοι τοῦ Μένωνος στρατεύματος
ἀπώλοντο· οἱ μὲν ἔφασαν ἁρπάζοντάς τι κατακοπῆναι ὑπὸ
τῶν Κιλίκων, οἱ δὲ ὑπολειφθέντας καὶ οὐ δυναμένους
εὑρεῖν τὸ ἄλλο στράτευμα οὐδὲ τὰς ὁδοὺς εἶτα πλανω-
μένους ἀπολέσθαι· ἦσαν δ' οὖν οὗτοι ἑκατὸν ὁπλῖται. Οἱ
δ' ἄλλοι ἐπεὶ ἧκον, τήν τε πόλιν [τοὺς Ταρσοὺς] διήρ- 26
πασαν, διὰ τὸν ὄλεθρον τῶν συστρατιωτῶν
ὀργιζόμενοι, καὶ τὰ βασίλεια τὰ ἐν αὐτῇ.
Κῦρος δὲ ἐπεὶ εἰσήλασεν εἰς τὴν πόλιν, με-
τεπέμπετο[1] τὸν Συέννεσιν πρὸς ἑαυτόν· ὁ
δ' οὔτε πρότερον οὐδενί πω κρείττονι ἑαυ-
τοῦ εἰς χεῖρας ἐλθεῖν ἔφη οὔτε τότε Κύρῳ
ἰέναι ἤθελε, πρὶν ἡ γυνὴ αὐτὸν ἔπεισε


ΑΚΙΝΑΚΗΣ

καὶ πίστεις ἔλαβε. Μετὰ δὲ ταῦτα ἐπεὶ συνεγένοντο ἀλ- 27
λήλοις, Συέννεσις μὲν ἔδωκε Κύρῳ χρήματα πολλὰ εἰς
τὴν στρατιάν, Κῦρος δὲ ἐκείνῳ[2] δῶρα ἃ νομίζεται παρὰ
βασιλεῖ τίμια[3], ἵππον χρυσοχάλινον[4] καὶ στρεπτὸν[5]
χρυσοῦν καὶ ψέλια[6] καὶ ἀκινάκην[7] χρυσοῦν καὶ στολὴν

---

1) Ἔστελλε καὶ ἐκάλει. 2) Ἐνν. ἔδωκε. 3) Πολλῆς τιμῆς ἄξια, πολύτιμα. 4) Μὲ χρυσοῦς χαλινούς, χάμουρα. 5) Στρεπτὸν (στρέφω) ἐπθ. ἀναφερόμενον εἰς τὸ οὐσ. κόσμημα ἢ περιδέραιον, ὅπερ συνηθέστατα παραλείπεται. Περιτραχήλιον χρυσοῦν ἐκ τριῶν πεπλεγμένον, ὡς τὸ σχοινίον. 6) Ψέλιον, Π. ἀντὶ ψέλλιον καὶ ψάλιον (ἢ ψαλίον) = κρίκος μετάλλινος, (κυρ. εἰς τὸν πληθ.) βραχιόλιον. 7) Ὁ ἀκινάκης, γεν. ου καὶ Ἰων. εος. Μάχαιρα περσική, (χαντζάρι ἢ γιαταγάνι), προσαρτωμένη ἀπὸ τῆς ὀσφύος τῷ μηρῷ.

Περσικὴν, καὶ τὴν χώραν μηκέτι διαρπάζεσθαι· τὰ δὲ ἡρπασμένα ἀνδράποδα[1] ἤν που ἐντυγχάνωσιν, ἀπολαμβάνειν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περιπέτειαι.

Ἐνταῦθα ἔμεινε Κῦρος καὶ ἡ στρατιὰ ἡμέρας εἴκοσιν· οἱ γὰρ στρατιῶται οὐκ ἔφασαν[2] ἰέναι τοῦ πρόσω· ὑπώπτευον γὰρ ἤδη[3] ἐπὶ βασιλέα ἰέναι· μισθωθῆναι δὲ οὐκ ἐπὶ τούτῳ[4] ἔφασαν. Πρῶτος δὲ Κλέαρχος τοὺς αὐτοῦ στρατιώτας ἐβιάζετο ἰέναι· οἱ δὲ αὐτόν τε ἔβαλλον[5] καὶ
2 τὰ ὑποζύγια[6] τὰ ἐκείνου, ἐπεὶ ἄρξαιντο προϊέναι. Κλέαρχος δὲ τότε μὲν μικρὸν ἐξέφυγε μὴ καταπετρωθῆναι, ὕστερον δ' ἐπεὶ ἔγνω ὅτι οὐ δυνήσεται βιάσασθαι, συνήγαγεν ἐκκλησίαν[7] τῶν αὐτοῦ στρατιωτῶν. Καὶ πρῶτον μὲν ἐδάκρυε πολὺν χρόνον ἑστώς· οἱ δὲ ὁρῶντες ἐθαύ-
3 μαζον καὶ ἐσιώπων· εἶτα δὲ ἔλεξε τοιάδε· Ἄνδρες στρατιῶται, μὴ θαυμάζετε ὅτι χαλεπῶς[8] φέρω τοῖς παροῦσι πράγμασιν. Ἐμοὶ γὰρ ξένος[9] Κῦρος ἐγένετο καί με φεύγοντα[10] ἐκ τῆς πατρίδος τά τε[11] ἄλλα ἐτίμησε καὶ

---

[1]) Τοὺς αἰχμαλώτους, τοὺς δούλους. [2]) Ἀπεποιήθησαν. ἠρνήθησαν νὰ βαδίσωσιν ἐμπρὸς (= τοῦ πρόσω [illegible] συνέβησαν. [4]) Τῷ σκοπῷ. [5]) Ἔβαλλον [illegible] πετρῶν, ὡς συνάγεται ἐκ τοῦ κατωτέρω καταπετρωθῆναι = νὰ λιθοβοληθῇ. [6]) Εἰς πληθ. ἀρθ. ὑποζύγια = ζῷα σύροντα (ἐζευγμένα εἰς) ἄμαξαν, ἡμίονοι, βόες, ἵπποι κλπ. [7]) Παραλ. τῆς προθ. εἰς. Συνήγαγεν εἰς ἐκκλησίαν = συνέλευσιν. [8]) Δυσκόλως, δυσαρέστως. [9]) Οὐσιαστ. ἐντθ. Ξένος Κῦρος ἐγένετό μοι = Κῦρος ἐφιλοξένησέ με. [10]) Φυγάδα, ἐξόριστον. [11]) Σύστοιχ. οὐσιαστ. Καὶ ἄλλας τιμάς.

μυρίους ἔδωκε δαρεικούς· οὓς ἐγὼ λαβὼν οὐκ εἰς τὸ ἴδιον κατεθέμην ἐμοὶ οὐδὲ καθηδυπάθησα[1], ἀλλ' εἰς ὑμᾶς ἐδαπάνων. Καὶ πρῶτον μὲν πρὸς τοὺς Θρᾷκας ἐπολέ- 4
μησα, καὶ ὑπὲρ τῆς Ἑλλάδος ἐτιμωρούμην[2] μεθ' ὑμῶν, ἐκ τῆς Χερρονήσου αὐτοὺς ἐξελαύνων βουλομένους ἀφαιρεῖσθαι τοὺς ἐνοικοῦντας Ἕλληνας τὴν γῆν. Ἐπειδὴ δὲ Κῦρος ἐκάλει, λαβὼν ὑμᾶς ἐπορευόμην, ἵνα εἴ τι δέοιτο ὠφελοίην αὐτὸν ἀνθ' ὧν εὖ ἔπαθον[3] ὑπ' ἐκείνου. Ἐπεὶ δὲ 5
ὑμεῖς οὐ βούλεσθε συμπορεύεσθαι, ἀνάγκη δή μοι ἢ ὑμᾶς προδόντα[4] τῇ Κύρου φιλίᾳ χρῆσθαι ἢ πρὸς ἐκεῖνον ψευσάμενον μεθ' ὑμῶν εἶναι. Εἰ μὲν δὴ δίκαια ποιήσω οὐκ οἶδα, αἱρήσομαι δ' οὖν ὑμᾶς καὶ σὺν ὑμῖν ὅ,τι ἂν δέῃ πείσομαι[5]. Καὶ οὔποτε ἐρεῖ οὐδεὶς ὡς ἐγὼ Ἕλληνας ἀγαγὼν εἰς τοὺς βαρβάρους, προδοὺς τοὺς Ἕλληνας τὴν τῶν βαρβάρων φιλίαν εἱλόμην, ἀλλ' ἐπεὶ ὑμεῖς ἐμοὶ 6
οὐκ ἐθέλετε πείθεσθαι, ἐγὼ σὺν ὑμῖν ἕψομαι[6] καὶ ὅ,τι ἂν δέῃ πείσομαι. Νομίζω γὰρ ὑμᾶς ἐμοὶ εἶναι καὶ πατρίδα καὶ φίλους καὶ συμμάχους, καὶ σὺν ὑμῖν μὲν ἂν οἶμαι εἶναι τίμιος ὅπου ἂν ὦ, ὑμῶν δὲ ἔρημος ὢν οὐκ ἂν ἱκανὸς [οἶμαι] εἶναι οὔτ' ἂν φίλον ὠφελῆσαι οὔτ' ἂν ἐχθρὸν

---

1) Καθηδυπαθέω—ῶ, κατεξοδεύω τὴν ζωήν μου (ἢ τὸ χρῆμα) εἰς ἡδυπαθείας=τρυφάς, ξεφαντώματα. 2) Ἐνν. τὸ ἀντκμ. αὐτούς τοὺς=Θρᾷκας. 3) Εὖ πάσχω, εὐεργετοῦμαι, καὶ εὖ ποιῶ (ἐνεργ. τοῦ εὖ πάσχω)=εὐεργετῶ. Ἀνθ' ὧν· σχ. ἕλξ·=ἀντὶ ἐκείνων, ἃ εὖ ἔπαθον. 4) Ἔπρεπε νὰ ᾖ εἰς δοτ. προδόντι, καθὸ ἀναγ. εἰς τὸ μοι, ἀλλ' ἐτέθη εἰς αἰτιατ. ὡς προσδιοριστικὸν τοῦ ὑπονοουμένου ὑποκειμ. τοῦ ἀπαρεμφ. χρῆσθαι=ἐμὲ χρῆσθαι. 5) Μέσ. μέλλ. τοῦ Πάσχω (Πθ. αὐτπθ.), πρκ. πέπονθα, ἀόρ. .. αθον· θέλω πάθει ὅ,τι ἂν δέῃ (πάσχειν ἐνν.). 6) Μέσ. μέλ. τοῦ οθετ. ῥήμ. ἕπομαι (=ἀκολουθῶ), πρτ. εἱπόμην (κατ' ἐξαίρ. με , μέσ. ἀόρ. β'. ἑσπόμην.

ἀλέξασθαι[1]. Ὡς ἐμοῦ οὖν ἰόντος ὅπῃ[2] ἂν καὶ ὑμεῖς[3]
7 οὕτω τὴν γνώμην ἔχετε. Ταῦτα εἶπεν· οἱ δὲ στρατιῶτα
οἵ τε αὐτοῦ ἐκείνου καὶ οἱ ἄλλοι[4] ταῦτα ἀκούσαντες [ὅτ
οὐ φαίη[5] παρὰ βασιλέα πορεύεσθαι] ἐπήνεσαν· παρὰ δὲ
Ξενίου καὶ Πασίωνος πλείους ἢ δισχίλιοι λαβόντες τὰ
ὅπλα καὶ τὰ σκευοφόρα[6] ἐστρατοπεδεύσαντο παρὰ
8 Κλέαρχον. Κῦρος δὲ τούτοις ἀπορῶν τε καὶ λυπούμενος
μετεπέμπετο τὸν Κλέαρχον· ὁ δὲ ἰέναι μὲν οὐκ ἤθελε
λάθρᾳ δὲ τῶν στρατιωτῶν πέμπων αὐτῷ ἄγγελον ἔλεγε
θαρρεῖν ὡς[7] καταστησομένων[8] τούτων εἰς τὸ δέον. [Με-
ταπέμπεσθαι δ' ἐκέλευεν αὐτόν· αὐτὸς δ' οὐκ ἔφη ἰέναι.]
9 Μετὰ δὲ ταῦτα συναγαγὼν[9] τούς θ' ἑαυτοῦ στρατιώτας
καὶ τοὺς προσελθόντας αὐτῷ καὶ τῶν ἄλλων τὸν βουλό-
μενον, ἔλεξε τοιάδε· Ἄνδρες στρατιῶται, τὰ μὲν[10] δὴ
Κύρου δῆλον[11] ὅτι οὕτως ἔχει[12] πρὸς ἡμᾶς ὥσπερ τὰ
ἡμέτερα[13] πρὸς ἐκεῖνον· οὔτε γὰρ ἡμεῖς[14] ἐκείνου ἔτ
στρατιῶται, ἐπεί γε οὐ συνεπόμεθα[15] αὐτῷ, οὔτε ἐκεῖ-
10 νος[16] ἔτι ἡμῖν μισθοδότης. Ὅτι μέντοι ἀδικεῖσθαι νο-

---

1) Ἀλέξω (τὸ ἐνεργ. σπάν. παρὰ πεζοῖς) καὶ ἀλέξομαι = ἀπο κρούω, ἀπομακρύνω. 2) Εἰς ὅποιον μέρος. 3) Ἐνν. τὸ ἴητε. Ἔ χετε τοιαύτην γνώμην περὶ (ὡς = περὶ) ἐμοῦ, ὅτι ἔρχομαι ὅπο καὶ ἂν θέλητε ὑμεῖς νὰ πορευθῆτε. 4) Καὶ οἱ τῶν ἄλλων δηλ στρατηγῶν στρατιῶται. 5) Οὔ φημι = ἀρνοῦμαι. 6) Ἐνν. τ ὀχήματα ἢ ἅρματα = φορτηγὰ ἁμάξια. 7) λέγων ὡς = ὅτ 8) Ἀντὶ κατασταθησομένων. Ὅτι τὰ πράγματα θέλουσιν ἀπο κατασταθῆ (διορθωθῆ) εἰς τὸ δέον (= ὅπως πρέπει). 9) Μετχ. χρο ἀφοῦ συνήγαγε, συνήθροισε κτλ. 10) Τὰ μὲν Κύρου = ὅσον μὲ ἀφορᾷ τὸν Κῦρον = ὁ μὲν Κῦρος (προσωπ.). 11) Ἐνν. τὸ ἐστίν 12) Τὰ μὲν..ἔχει. Ἀττ. σύνταξις, ἤτοι πληθ. ὑποκείμ. μετ ἑνικ. ῥήματος. 13) Ἐνν. τὸ ῥῆμα ἔχουσιν, παραλαμβανόμενο κατ' ἀναλογίαν ἐκ τῆς προηγουμ. προτάσεως. 14) Ἐνν. ἐσμέν 15) Διότι δὲν συνακολουθοῦμεν μετ' αὐτοῦ. 16) Ἐνν. τὸ ἐστίν.

ίζει ὑφ' ἡμῶν οἶδα· ὥστε καὶ μεταπεμπομένου αὐτοῦ
ὐκ ἐθέλω ἐλθεῖν, τὸ μὲν μέγιστον αἰσχυνόμενος[1] ὅτι
ύνοιδα ἐμαυτῷ[2] πάντα ἐψευσμένος αὐτόν, ἔπειτα καὶ
εδιὼς[3] μὴ λαβών με δίκην ἐπιθῇ[4] ὧν[5] νομίζει ὑπ' 11
μοῦ ἠδικῆσθαι. Ἐμοὶ οὖν δοκεῖ οὐχ ὥρα εἶναι ἡμῖν κα-
εύδειν[6] οὐδ' ἀμελεῖν ἡμῶν αὐτῶν, ἀλλὰ βουλεύεσθαι
,τι χρὴ ποιεῖν ἐκ τούτων. Καὶ ἕως τε μένομεν αὐτοῦ
κεπτέον μοι δοκεῖ[7] εἶναι ὅπως[8] ἀσφαλέστατα μενοῦμεν,
ί τε ἤδη δοκεῖ ἀπιέναι, ὅπως ἀσφαλέστατα ἄπιμεν, καὶ
πως τὰ ἐπιτήδεια ἕξομεν· ἄνευ γὰρ τούτων οὔτε στρα- 12
ηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐδέν. Ὁ δ' ἀνὴρ[9] πολλοῦ
ὲν ἄξιος φίλος ᾧ[10] ἂν φίλος ᾖ, χαλεπώτατος δ' ἐχθρὸς
ἂν[11] πολέμιος ᾖ, ἔχει δὲ δύναμιν καὶ πεζὴν καὶ ἱπ-
ικὴν καὶ ναυτικὴν ἣν πάντες ὁμοίως ὁρῶμέν τε καὶ ἐπι-
τάμεθα[12]· καὶ γὰρ οὐδὲ πόρρω[13] δοκοῦμέν μοι αὐτοῦ
αθῆσθαι. Ὥστε ὥρα[14] λέγειν ὅ,τι τις γιγνώσκει ἄρι- 13
τον εἶναι. Ταῦτα εἰπὼν ἐπαύσατο. Ἐκ δὲ τούτου ἀνί-
ταντο οἱ μὲν ἐκ τοῦ αὐτομάτου[15], λέξοντες ἃ ἐγίγνω-
κον, οἱ δὲ καὶ ὑπ' ἐκείνου ἐγκέλευστοι[16], ἐπιδεικνύντες οἷα

---

[1]) Αἰτιολ. μετχ. διότι αἰσχύνομαι. [2]) Διότι μὲ ἐλέγχει τὸ συνειδὸς τι ἐψεύσθην πρὸς αὐτόν. [3]) Δεδιὼς καὶ δεδοικώς, πρκ. ἀντὶ τοῦ ἐνεστ. εἴδω = φοβοῦμαι. [4]) Ἐπιτίθημι (= ἐπιβάλλω) δίκην, πρόστιμον, μωρίαν, κτλ. [5]) Σχ. ἕλξ. ἀντὶ ἐκείνων ἅ κτλ. [6]) Καθεύδω = οιμῶμαι. Ἐνταῦθα ἔχει τὴν μεταφορικὴν σημασίαν τοῦ ἡσυχάζω, πρακτῶ. 7) Δοκεῖ μοι δεῖν σκοπεῖν (= σκεπτέον). [8]) Τροπ. ῶς, τίνι τρόπῳ. [9]) Ἀναφ. εἰς τὸ Κῦρος. [10]) Καθ' ἕλξιν, φίλος κείνου μὲ τὸν ὁποῖον εἶνε φίλος. [11]) Ἐπίσης καθ' ἕλξιν. [21] Γνωίζομεν. [13]) Οὐ πόρρω (μακράν). σχ. λιτότητος = ἐγγύς, πλησίον. [14]) Ἐνν. τὸ ἐστίν. [15]) Αὐθορμήτως, μόνοι των. [16]) Ἐγκέλευστος, πράττων τι δι' ἐγκελεύσματος (= προστάγματος), προσταγμένοι. ὁ ὑπ' ἐκείνου (τοῦ Κλεάρχου) εἶνε ποιητ. αἴτιον τοῦ ἐγκέλευστοι.

εἴη ἡ ἀπορία[1] ἄνευ τῆς Κύρου γνώμης[2] καὶ μένειν καὶ
14 ἀπιέναι. Εἷς δὲ δὴ εἶπε[3] προσποιούμενος σπεύδειν ὡς τάχιστα πορεύεσθαι εἰς τὴν Ἑλλάδα στρατηγοὺς μὲν ἑλέσθαι[4] ἄλλους ὡς τάχιστα, εἰ μὴ βούλεται Κλέαρχος ἀπάγειν[5]· τὰ δ' ἐπιτήδει' ἀγοράζεσθαι—ἡ δ' ἀγορὰ ἦν ἐν τῷ βαρβαρικῷ στρατεύματι—καὶ συσκευάζεσθαι[6]· ἐλθόντας δὲ Κῦρον αἰτεῖν πλοῖα, ὡς ἀποπλέοιεν· ἐὰν δὲ μὴ διδῷ ταῦτα, ἡγεμόνα αἰτεῖν Κῦρον ὅστις διὰ φιλίας[7] τῆς χώρας ἀπάξει. Ἐὰν δὲ μηδὲ ἡγεμόνα διδῷ, συντάττεσθαι[8] τὴν ταχίστην, πέμψαι[9] δὲ καὶ προκαταληψομένους[10] τὰ ἄκρα, ὅπως μὴ φθάσωσι μήτε Κῦρος μήτε οἱ Κίλικες καταλαβόντες, ὧν πολλοὺς καὶ πολλὰ χρήματα ἔχομεν ἀνηρπακότες. Οὗτος μὲν τοιαῦτα εἶπε· μετὰ δὲ τοῦτον Κλέαρχος
15 εἶπε τοσοῦτον· Ὡς μὲν στρατηγήσοντα ἐμὲ ταύτην τὴν στρατηγίαν μηδεὶς ὑμῶν λεγέτω· πολλὰ γὰρ ἐνορῶ[11] δι' ἃ ἐμοὶ τοῦτο οὐ ποιητέον[12]· ὡς δὲ τῷ ἀνδρὶ ὃν ἂν ἕλησθε[13]


ΠΛΟΙΟΝ

---

1) Ἡ δυσχέρεια, ἡ στενοχωρία. 2) Τῆς συναινέσεως τοῦ Κύρου. 3) Συνεβούλευσε. Πάντα τὰ ἑφεξῆς ἀπαρέμφατα σπεύδειν, πορεύεσθαι κλπ. εἰσὶν ἐξηρτημένα ἐκ τοῦ εἶπεν (εἰδικὰ ἀπαρέμφ.). 4) Ἀόρ. τοῦ αἱρέω—ῶ = ἐκλέγω, διορίζω. 5) Νὰ τοὺ ὁδηγήσῃ ὀπίσω. 6) Συσκευάζομαι (μέσον) = συνάζω τὰ σκεύη μου ἑτοιμάζομαι πρὸς ἀναχώρησιν. 7) Ὡς φίλους νὰ τοὺς ὁδηγήσῃ διὰ τῆς χώρας των. 8) Νὰ ἑτοιμασθῶσιν ὡς εἰς μάχην 9) Ἐνν. ἀνθρώπους. 10) Τελ. μετχ. διὰ νὰ προκαταλάβωσ τὰς κορυφὰς τῶν ὀρέων. 11) Ἐνοράω-ῶ (συνεκδοχ.) = ἐννοῶ συμπεραίνω. 12) Οὐ χρὴ ποιεῖν τοῦτο (τὸ στρατηγῆσαι δηλ. 13) Τὸν ὁποῖον ἠθέλετε ἐκλέξει.

πείσομαι[1] ᾗ[2] δυνατὸν μάλιστα, ἵνα εἰδῆτε ὅτι καὶ[3] ἄρ-
χεσθαι ἐπίσταμαι ὥς τις καὶ ἄλλος μάλιστα ἀνθρώπων.
Μετὰ τοῦτον ἄλλος ἀνέστη, ἐπιδεικνὺς μὲν τὴν εὐή- 16
θειαν[4] τοῦ τὰ πλοῖα αἰτεῖν κελεύοντος, ὥσπερ[5] πάλιν
τὸν στόλον Κύρου ποιουμένου, ἐπιδεικνὺς δὲ ὡς εὔηθες
εἴη ἡγεμόνα αἰτεῖν παρὰ τούτου ᾧ[6] λυμαινόμεθα[7] τὴν
πρᾶξιν. Εἰ δὲ καὶ τῷ ἡγεμόνι πιστεύσομεν ὃν ἂν Κῦρος
δῷ, τί κωλύει[8] καὶ τὰ ἄκρα ἡμῖν κελεύειν Κῦρον προ-
καταλαβεῖν; ἐγὼ γὰρ ὀκνοίην[9] μὲν ἂν εἰς τὰ πλοῖα ἐμ- 17
βαίνειν ἃ ἡμῖν δοίη, μὴ ἡμᾶς ταῖς τριήρεσι καταδύσῃ[10],
φοβοίμην δ' ἂν τῷ ἡγεμόνι ᾧ δοίη ἕπεσθαι[11], μὴ ἡμᾶς
ἀγάγῃ ὅθεν[12] οὐκ ἔσται[13] ἐξελθεῖν· βουλοίμην δ' ἂν ἄκον-
τος ἀπιὼν Κύρου λαθεῖν αὐτὸν ἀπελθών· ὃ οὐ δυνατόν
ἐστιν. Ἀλλ' ἐγώ φημι ταῦτα μὲν φλυαρίας εἶναι· δοκεῖ 18
δέ μοι ἄνδρας ἐλθόντας πρὸς Κῦρον οἵτινες ἐπιτήδειοι[14]
σὺν Κλεάρχῳ ἐρωτᾶν ἐκεῖνον τί βούλεται ἡμῖν χρῆσθαι·
καὶ ἐὰν μὲν ἡ πρᾶξις ᾖ παραπλησία[15] οἵαπερ καὶ πρόσ-
θεν[16] ἐχρῆτο τοῖς ξένοις, ἕπεσθαι καὶ ἡμᾶς καὶ μὴ κα-

---

1) Θέλω ὑπακούσει, μέλ. τοῦ πείθομαι. 2) Ἐπίρ. ὅσον τὸ δυνατὸν μάλιστα. 3) Ἔξυπον. ἐντθ. τὸ οὐ μόνον *ἄρχειν τῶν ἄλλων, ἀλλὰ καὶ* ἄρχεσθαι (ὑπακούειν, ὑποτάσσεσθαι) ὑπὸ τῶν ἄλλων. 4) Εὐήθεια, ἐκ τοῦ εὐήθης (εὖ — ἦθος) = ἔχων ἁπλοῦν (ἐπμ. ἀπονήρευτον) τὸ ἦθος. Ἀκακία, ἁπλότης, (Ἐντθ.) ἀνοησία. 5) Ὡσὰν. 6) Δοτ. τῆς ἠθικ. σχέσεως. 7) Λυμαίνομαι (λύμη = βλάβη, φθορὰ), μέλ. λυμανοῦμαι, πρκ. λελύμασμαι. Συντάσσεται μὲ δοτ. ἢ αἰτ. Βλάπτω, καταστρέφω. 8) Ἐνν. αὐτόν, τὸν Κῦρον. 9) Ἤθελον διστάσει. 10) Μὴ μᾶς καταβυθίσῃ μετὸ τῶν πλοίων. 11) Ἕπεσθαι τῷ ἡγεμόνι ἐκείνῳ, ὃν δοίη. Σχ. ἕλξ. 12) Παραλ. τὸ δεικτ. Ἀγάγῃ ἐκεῖ, ὅθεν (ὁπόθεν). 13) Οὐκ ἔσται ἡμῖν οἷον, (= δυνατὸν) ἐξελθεῖν. 14) Ἐπιτήδειοι = κατάλληλοι πρὸς τὸ νὰ ἔλθωσι καὶ ἐρωτήσωσι τὸν Κῦρον. 15) Παρομοία. 16) Ἐπίρ. χρον. Πρότερον.

19 κίους[1] εἶναι τῶν πρόσθεν τούτῳ[2] συναναβάντων[3]· ἐὰν δὲ
μείζων ἡ πρᾶξις τῆς πρόσθεν φαίνηται καὶ ἐπιπονωτέρα
καὶ ἐπικινδυνοτέρα, ἀξιοῦν ἢ πείσαντα ἡμᾶς ἄγειν ἢ πει-
σθέντα πρὸς φιλίαν[4] ἀφιέναι· οὕτω γὰρ καὶ ἑπόμενοι ἂν
φίλοι αὐτῷ καὶ πρόθυμοι ἑποίμεθα καὶ ἀπιόντες ἀσφαλῶς
ἂν ἀπίοιμεν· ὅ,τι δ' ἂν πρὸς ταῦτα λέγῃ ἀπαγγεῖλαι
δεῦρο[5]· ἡμᾶς δ' ἀκούσαντας πρὸς ταῦτα βουλεύεσθαι[6].
20 Ἔδοξε ταῦτα[7], καὶ ἄνδρας ἑλόμενοι σὺν Κλεάρχῳ πέμ-
πουσιν οἳ ἠρώτων Κῦρον τὰ δόξαντα[8] τῇ στρατιᾷ. Ὁ
δ' ἀπεκρίνατο ὅτι ἀκούοι Ἀβροκόμαν ἐχθρὸν ἄνδρα ἐπὶ
τῷ Εὐφράτῃ ποταμῷ εἶναι, ἀπέχοντα δώδεκα σταθμούς·
πρὸς τοῦτον[9] οὖν ἔφη βούλεσθαι ἐλθεῖν· κἂν μὲν ᾖ
ἐκεῖ, τὴν δίκην[10] ἔφη χρῄζειν ἐπιθεῖναι αὐτῷ, ἢν δὲ
21 φύγῃ, ἡμεῖς ἐκεῖ πρὸς ταῦτα βουλευσόμεθα. Ἀκούσαν-
τες δὲ ταῦτα οἱ αἱρετοὶ[11] ἀπαγγέλλουσι τοῖς στρα-
τιώταις· τοῖς δὲ ὑποψία μὲν ἦν ὅτι ἄγοι[12] πρὸς[13] βασι-
λέα, ὅμως δὲ ἐδόκει ἕπεσθαι. Προσαιτοῦσι[14] δὲ μισθόν·
ὁ δὲ Κῦρος ὑπισχνεῖται ἡμιόλιον[15] πᾶσι δώσειν οὗ πρό-
τερον ἔφερον, ἀντὶ δαρεικοῦ τρία ἡμιδαρεικὰ τοῦ μηνὸς[16].

---

1) Συγκρ. ὁ β'. ὅρος τῆς συγκρ. εἶνε τὸ ξένων. Κακίους (χειροτέρους) ἢ οἱ ξένοι. 2) Τῷ Κύρῳ. 3) Ἐκ τῶν συνεκστρατευσάντων δηλ. εἰς τὸ ἐσωτερικόν. 4) Χάριν φιλίας, φιλικῶς. 5) Ἐπίρρ. τοπ. = ἐδῶ. 6) Νὰ σκεφθῶμεν καὶ νὰ ἀποφασίσωμεν. 7) Τοῖς στρατιώταις. 8) Τὰ ἀποφασισθέντα. 9) Ἐναντίον τούτου, τοῦ Ἀβροκόμα. 10) Τιμωρίαν, ποινήν. 11) Οἱ ἐκλεχθέντες. 12) Ὁδηγεῖ. 13) Κατά. 14) Προσαιτῶ = ζητῶ ἀκόμη, ἐπὶ πλέον. Ζητοῦσιν αὔξησιν τοῦ μισθοῦ. 15) Ὁ ἡμιόλιος (ἐπθ.), ὁ περιέχων τὸ ὅλον καὶ τὸ ἥμισυ τοῦ ὅλου· δηλ. ὁ περισσότερος (ἀριθμὸς) κατὰ τὸ ἥμισυ τοῦ ὅλου. Ὁ Κῦρος ὑπεσχέθη νὰ δώσῃ εἰς ὅλους μισθὸν κατὰ τὸ ἥμισυ περισσότερον τοῦ ὅσου ἐλάμβανον πρότερον. 16) Δι' ἕκαστον μῆνα.


τῷ στρατιώτῃ· ὅτι δὲ ἐπὶ βασιλέα ἄγοι οὐδὲ ἐνταῦθα
ἤκουσεν οὐδεὶς ἔν γε τῷ φανερῷ.

Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα
ἐπὶ τὸν Ψάρον ποταμόν, οὗ ἦν τὸ εὖρος τρία πλέθρα.
Ἐντεῦθεν ἐξελαύνει σταθμὸν ἕνα παρασάγγας πέντε
ἐπὶ τὸν Πύραμον ποταμόν, οὗ ἦν τὸ εὖρος στάδιον.
Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας πεντε-
καίδεκα εἰς Ἰσσούς, τῆς Κιλικίας ἐσχάτην πόλιν ἐπὶ τῇ
θαλάττῃ οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα 2
ἔμειναν ἡμέρας τρεῖς· καὶ Κύρῳ παρῆσαν αἱ ἐκ Πελο-
ποννήσου νῆες τριάκοντα καὶ πέντε καὶ ἐπ' αὐταῖς
ναύαρχος Πυθαγόρας Λακεδαιμόνιος. Ἡγεῖτο δ' αὐταῖς
Ταμῶς Αἰγύπτιος ἐξ Ἐφέσου ἔχων ναῦς ἑτέρας Κύρου
πέντε καὶ εἴκοσιν, αἷς ἐπολιόρκει Μίλητον [ὅτε Τισσα-
φέρνει φίλη ἦν, καὶ συνεπολέμει Κύρῳ πρὸς αὐτόν].
Παρῆν δὲ καὶ Χειρίσοφος Λακεδαιμόνιος ἐπὶ τῶν νεῶν, 3
μετάπεμπτος[1] ὑπὸ Κύρου, ἑπτακοσίους ἔχων ὁπλίτας,
ὧν ἐστρατήγει παρὰ Κύρῳ. Αἱ δὲ νῆες ὥρμουν[2] παρὰ
τὴν Κύρου σκηνήν. Ἐνταῦθα καὶ οἱ παρὰ Ἀβροκόμα
μισθοφόροι Ἕλληνες ἀποστάντες ἦλθον παρὰ Κῦρον τε-
τρακόσιοι ὁπλῖται καὶ συνεστρατεύοντο ἐπὶ βασιλέα.
Ἐντεῦθεν ἐξελαύνει σταθμὸν ἕνα παρασάγγας πέντε ἐπὶ 4
πύλας τῆς Κιλικίας καὶ τῆς Συρίας. Ἦσαν δὲ ταῦτα
δύο τείχη, καὶ τὸ μὲν ἔσωθεν τὸ πρὸ τῆς Κιλικίας Συέν-
νεσις εἶχε καὶ Κιλίκων φυλακή, τὸ δὲ ἔξω τὸ πρὸ τῆς

---

[1]) Προσκληθεὶς δι' ἀπεσταλμένου ὑπὸ τοῦ Κύρου. [2]) Ὁρμέω-
-ῶ = εἶμαι ἐν ὅρμῳ (= λιμένι). Εἶμαι ἀραγμένος.

Συρίας βασιλέως ἐλέγετο φυλακὴ φυλάττειν. Διὰ μέσου δὲ ῥεῖ τούτων ποταμὸς Κάρσος ὄνομα, εὖρος πλέθρου. Ἅπαν δὲ τὸ μέσον τῶν τειχῶν ἦσαν στάδιοι τρεῖς· καὶ παρελθεῖν οὐκ ἦν[1] βίᾳ[2]· ἦν γὰρ ἡ πάροδος στενὴ καὶ τὰ τείχη εἰς τὴν θάλατταν καθήκοντα[3], ὕπερθεν δ' ἦσαν πέτραι ἠλίβατοι[4]· ἐπὶ δὲ τοῖς τείχεσιν ἀμφοτέροις ἐφει-
5 στήκεσαν πύλαι. Ταύτης ἕνεκα τῆς παρόδου Κῦρος τὰς ναῦς μετεπέμψατο, ὅπως ὁπλίτας ἀποβιβάσειεν εἴσω καὶ ἔξω τῶν πυλῶν βιασομένους[5] τοὺς πολεμίους εἰ φυλάττοιεν ἐπὶ ταῖς Συρίαις πύλαις, ὅπερ ᾤετο ποιήσειν ὁ Κῦρος τὸν Ἀβροκόμαν, ἔχοντα πολὺ στράτευμα. Ἀβροκόμας δὲ οὐ τοῦτ' ἐποίησεν, ἀλλ' ἐπεὶ ἤκουσε Κῦρον ἐν Κιλικίᾳ ὄντα, ἀναστρέψας ἐκ Φοινίκης παρὰ βασιλέα ἀπήλαυνεν, ἔχων, ὡς ἐλέγετο, τριάκοντα μυριάδας στρατιᾶς. Ἐντεῦθεν ἐξε-
6 λαύνει διὰ Συρίας σταθμὸν ἕνα παρασάγγας πέντε εἰς Μυρίανδον, πόλιν οἰκουμένην ὑπὸ Φοινίκων ἐπὶ τῇ θαλάττῃ· ἐμπόριον[6] δ' ἦν τὸ χωρίον καὶ ὥρμουν αὐτόθι
7 ὁλκάδες[7] πολλαί. Ἐνταῦθ' ἔμειναν ἡμέρας ἑπτά· καὶ Ξενίας ὁ Ἀρκὰς [στρατηγὸς] καὶ Πασίων ὁ Μεγαρεὺς ἐμβάντες εἰς πλοῖον καὶ τὰ πλείστου ἄξια ἐνθέμενοι ἀπέπλευσαν, ὡς μὲν τοῖς πλείστοις ἐδόκουν φιλοτιμηθέντες[8]


ΠΥΛΗ

---

1) Ἐνν. οἷον, δυνατόν. 2) Διὰ τῆς βίας. 3) Ἐκτεινόμενα. 4) Ὑψηλαί, ἀπόκρημνοι, δύσβατοι. 5) Διὰ νὰ ἐκβιάσωσι. 6) Ἐμπορικὸς τόπος. 7) Ὁλκάς, άδος· πλοῖον φορτηγὸν (μαοῦνα) ῥυμουλκούμενον. 8) Διότι ἐπειράχθη ἡ φιλοτιμία των.

ὅτι τοὺς στρατιώτας αὐτῶν τοὺς παρὰ Κλέαρχον ἀπελθόντας ὡς ἀπιόντας εἰς τὴν Ἑλλάδα πάλιν καὶ οὐ πρὸς βασιλέα εἴα[1] Κῦρος τὸν Κλέαρχον ἔχειν. Ἐπεὶ δ' ἦσαν ἀφανεῖς, διῆλθε λόγος[2] ὅτι διώκοι αὐτοὺς Κῦρος τριήρεσι· καὶ οἱ μὲν[3] ηὔχοντο ὡς δειλοὺς ὄντας αὐτοὺς ληφθῆναι[4], οἱ δ' ᾤκτειρον[5] εἰ ἁλώσοιντο. Κῦρος δὲ συγκα- 8
λέσας τοὺς στρατηγοὺς εἶπεν· Ἀπολελοίπασιν[6] ἡμᾶς Ξενίας καὶ Πασίων. Ἀλλ' εὖ γε μέντοι ἐπιστάσθων[7] ὅτι οὔτε ἀποδεδράκασιν[8]· οἶδα γὰρ ὅπῃ οἴχονται· οὔτε ἀποπεφεύγασιν· ἔχω γὰρ τριήρεις ὥστε ἑλεῖν τὸ ἐκείνων πλοῖον· ἀλλὰ μὰ τοὺς θεοὺς οὐκ ἔγωγε αὐτοὺς διώξω, οὐδ' ἐρεῖ οὐδεὶς ὡς ἐγὼ ἕως μὲν ἂν παρῇ τις χρῶμαι, ἐπειδὰν δὲ ἀπιέναι βούληται, συλλαβὼν καὶ αὐτοὺς κακῶς ποιῶ καὶ τὰ χρήματα ἀποσυλῶ[9]. Ἀλλὰ ἰόντων, εἰδότες ὅτι κακίους εἰσὶ περὶ ἡμᾶς ἢ ἡμεῖς περὶ ἐκείνους. Καίτοι ἔχω γε αὐτῶν καὶ τέκνα καὶ γυναῖκας ἐν Τράλλεσι φρουρούμενα· ἀλλ' οὐδὲ τούτων στερήσονται, ἀλλ' ἀπολήψονται 9
τῆς πρόσθεν ἕνεκα περὶ ἐμὲ ἀρετῆς[10]. Καὶ ὁ μὲν ταῦτα εἶπεν· οἱ δὲ Ἕλληνες, εἴ τις καὶ ἀθυμότερος ἦν πρὸς τὴν ἀνάβασιν, ἀκούοντες τὴν Κύρου ἀρετὴν ἥδιον[11] καὶ προθυμότερον συνεπορεύοντο.

Μετὰ ταῦτα Κῦρος ἐξελαύνει σταθμοὺς τέτταρας

---

1) Ἐάω-ῶ· ἐπιτρέπω, ἀφήνω. 2) Διεδόθη λόγος, φήμη. 3) Ἄλλοι μέν, ἄλλοι δέ. 4) Νὰ συλληφθῶσι. 5) Τοὺς ἐλυποῦντο ἐὰν ἤθελον αἰχμαλωτισθῇ (εἰ ἁλώσοιντο). 6) Ἔχουσιν ἐγκαταλίπει ἡμᾶς. 7) Προστακτ. ἐπιστάσθωσαν καὶ ἐπιστάσθων = ἂς ἠξεύρωσιν ὅμως καλῶς (εὖ μέντοι). 8) Δὲν μοῦ ἔχουσι διαφύγει. Ἀποδιδράσκω, ἀόρ. ἀπέδρασα καὶ β'. ἀπέδρων. 9) Ἁρπάζω, ξεγυμνόνω, ληστεύω. 10) Ἀνδρείας. 11) Ἐπίρ. μετὰ μεγαλειτέρας εὐχαριστήσεως.

παρασάγγας εἴκοσιν ἐπὶ τὸν Χάλον ποταμὸν, ὄντα τὸ
εὖρος πλέθρου, πλήρη δ' ἰχθύων μεγάλων καὶ πραέων[1],
οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον καὶ ἀδικεῖν οὐκ εἴων, οὐδὲ
τὰς περιστεράς[2]. Αἱ δὲ κῶμαι ἐν αἷς ἐσκήνουν Παρυσά-
10 τιδος ἦσαν εἰς ζώνην[3] δεδομέναι[4]. Ἐντεῦθεν ἐξελαύνει
σταθμοὺς πέντε παρασάγγας τριάκοντα ἐπὶ τὰς πηγὰς
τοῦ Δάρδατος ποταμοῦ, οὗ τὸ εὖρος πλέθρου. Ἐνταῦθα
ἦν τὰ Βελέσυος βασίλεια τοῦ Συρίας ἄρξαντος, καὶ πα-
ράδεισος πάνυ μέγας καὶ καλὸς, ἔχων πάντα ὅσα ὧραι[5]
φύουσι. Κῦρος δ' αὐτὸν ἐξέκοψε[6] καὶ τὰ βασίλεια[7] κα-
11 τέκαυσεν. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγ-
γας πεντεκαίδεκα ἐπὶ τὸν Εὐφράτην ποταμὸν, ὄντα τὸ
εὖρος τεττάρων σταδίων· καὶ πόλις αὐτόθι ᾠκεῖτο[8] με-
γάλη καὶ εὐδαίμων[9] Θάψακος ὄνομα. Ἐνταῦθα ἔμεινεν
ἡμέρας πέντε. Καὶ Κῦρος μεταπεμψάμενος τοὺς στρα-
τηγοὺς τῶν Ἑλλήνων ἔλεγεν ὅτι ἡ ὁδὸς ἔσοιτο πρὸς
βασιλέα μέγαν[10] εἰς Βαβυλῶνα· καὶ κελεύει αὐτοὺς λέ-
12 γειν ταῦτα τοῖς στρατιώταις καὶ ἀναπείθειν ἕπεσθαι. Οἱ
δὲ ποιήσαντες ἐκκλησίαν ἀπήγγελλον ταῦτα· οἱ δὲ στρα-
τιῶται ἐχαλέπαινον[11] τοῖς στρατηγοῖς, καὶ ἔφασαν αὐ-

---

[1]) Ἡμέρων. [2]) Οἱ Σύροι ἐθεώρουν ἱερὰς τὰς περιστεράς. [3]) Ζώνη. πᾶν ὅ,τι ζώνεταί τις, ζωνάρι. Ἐντθ. κατ' ἔκτασιν πᾶν ὅ,τι ἀνήκει εἰς τὴν ζώνην τῆς γυναικός, ἱματισμός, καλλωπισμὸς κλπ. [4]) Ἐνν. αὐτῇ, τῇ Παρυσάτιδι. Ἦσαν δεδομέναι εἰς αὐτὴν δι' ἔξοδα τοῦ καλλωπισμοῦ της. [5]) Ἐντθ. σημ. τὰς 4 ὥρας τοῦ ἔτους, ἔαρ, θέρος, φθινόπωρον καὶ χειμῶνα. [6]) Ἐκκόπτω = κόπτω τι ἐκ τῆς ῥίζης, σύρριζα· ἐξολοθρεύω, ἀφανίζω. [7]) Ἀνάκτορα. [8]) Ὠκεῖτο δηλ. τότε, καθ' ὃν χρόνον συνέβαινον ταῦτα. [9]) Εὐτυχησμένη, πλουσία. [10]) Μέγας βασιλεὺς ἐκαλεῖτο ὁ βασιλεὺς τῆς Περσίας. [11]) Δυσηρεστοῦντο.

τοὺς πάλαι ταῦτ' εἰδότας κρύπτειν[1], καὶ οὐκ ἔφασαν
ἰέναι, ἐὰν μή τις[2] αὐτοῖς χρήματα διδῷ, ὥσπερ[3] τοῖς
προτέροις μετὰ Κύρου ἀναβᾶσι [παρὰ τὸν πατέρα τοῦ
Κύρου], καὶ ταῦτα οὐκ ἐπὶ μάχην ἰόντων, ἀλλὰ καλοῦν-
τος τοῦ πατρὸς Κῦρον. Ταῦτα οἱ στρατηγοὶ Κύρῳ 13
ἀπήγγελλον· ὁ δ' ὑπέσχετο ἀνδρὶ ἑκάστῳ δώσειν πέντε
ἀργυρίου μνᾶς,[4] ἐπὴν εἰς Βαβυλῶνα ἥκωσι, καὶ τὸν μι-
σθὸν ἐντελῆ μέχρι ἂν καταστήσῃ τοὺς Ἕλληνας εἰς
Ἰωνίαν πάλιν. Τὸ μὲν δὴ πολὺ τοῦ Ἑλληνικοῦ[5] οὕτως
ἐπείσθη. Μένων δὲ πρὶν δῆλον εἶναι τί ποιήσουσιν οἱ
ἄλλοι στρατιῶται, πότερον ἕψονται Κύρῳ ἢ οὔ, συνέλεξε
τὸ αὑτοῦ στράτευμα χωρὶς τῶν ἄλλων καὶ ἔλεξε τάδε·
Ἄνδρες, ἐάν μοι πεισθῆτε, οὔτε κινδυνεύσαντες οὔτε 14
πονήσαντες τῶν ἄλλων πλέον προτιμήσεσθε στρατιωτῶν
ὑπὸ Κύρου. Τί οὖν κελεύω ποιῆσαι; Νῦν δεῖται Κῦρος
ἕπεσθαι τοὺς Ἕλληνας ἐπὶ βασιλέα· ἐγὼ οὖν φημι ὑμᾶς
χρῆναι διαβῆναι τὸν Εὐφράτην ποταμὸν πρὶν δῆλον
εἶναι ὅ,τι οἱ ἄλλοι Ἕλληνες ἀποκρινοῦνται Κύρῳ[6]. Ἢν 15
μὲν γὰρ ψηφίσωνται[7] ἕπεσθαι, ὑμεῖς δόξετε αἴτιοι εἶναι
ἄρξαντες τοῦ διαβαίνειν, καὶ ὡς προθυμοτάτοις οὖσιν
ὑμῖν χάριν εἴσεται[8] Κῦρος καὶ ἀποδώσει[9]· ἐπίσταται

---

[1]) Ὅτι τοῖς ἔκρυπτον αὐτά, μολονότι πρὸ πολλοῦ τὰ ἐγνώριζον. [2]) Ὁ Κῦρος. [3]) Ἔδωκεν εἰς τοὺς πρότερον ἀναβάντας. [4]) Ἡ μνᾶ. γεν. τῆς μνᾶς. Νόμισμα ἰσοδυναμοῦν 100 δρχ. Ἀττικὰς καὶ ἀναλογοῦν πρὸς τὸ ἑξηκοστημόριον τοῦ ταλάντου. [5]) Στρατεύματος. [6]) Πρὶν ἢ γίνῃ γνωστὸν τί θ' ἀπαντήσωσιν οἱ ἄλλοι Ἕλληνες εἰς τὸν Κῦρον. [7]) Ἐὰν μὲν ἀποφασίσωσι. [8]) Εἴσομαι καὶ εἰδήσω, μέλ. τοῦ Οἶδα. Θὰ γνωρίζῃ χάριν εἰς ὑμᾶς ὁ Κῦρος. [9]) Ἐνν. αὐτήν· θέλει σᾶς τὴν ἀνταποδώσει.

δ' εἴ τις καὶ ἄλλος[1]· ἢν δὲ ἀποψηφίσωνται[2] οἱ ἄλλοι, ἄπιμεν μὲν ἅπαντες τοὔμπαλιν[3], ὑμῖν δὲ ὡς [μόνοις πειθομένοις] πιστοτάτοις χρήσεται καὶ εἰς φρούρια καὶ εἰς λοχαγίας[4], καὶ ἄλλου οὗτινος ἂν δέησθε οἶδα ὅτι ὡς φίλοι
16 τεύξεσθε[5] Κύρου. Ἀκούσαντες ταῦτα ἐπείθοντο καὶ διέβησαν πρὶν τοὺς ἄλλους ἀποκρίνασθαι. Κῦρος δ' ἐπεὶ ᾔσθετο διαβεβηκότας, ἥσθη τε καὶ τῷ στρατεύματι πέμψας Γλοῦν[6] εἶπεν· Ἐγὼ μέν, ὦ ἄνδρες, ἤδη[7] ὑμᾶς ἐπαινῶ· ὅπως δὲ καὶ ὑμεῖς ἐμὲ ἐπαινέσετε ἐμοὶ μελήσει[8],
17 ἢ μηκέτι[9] με Κῦρον νομίζετε. Οἱ μὲν δὴ στρατιῶται ἐν ἐλπίσι μεγάλαις ὄντες[10] ηὔχοντο αὐτὸν εὐτυχῆσαι, Μένωνι δὲ καὶ δῶρα ἐλέγετο πέμψαι μεγαλοπρεπῶς. Ταῦτα δὲ ποιήσας διέβαινε· συνείπετο δὲ καὶ τὸ ἄλλο στράτευμα αὐτῷ ἅπαν. Καὶ τῶν διαβαινόντων τὸν ποταμὸν οὐδεὶς
18 ἐβρέχθη ἀνωτέρω τῶν μαστῶν [ὑπὸ τοῦ ποταμοῦ]. Οἱ δὲ Θαψακηνοὶ ἔλεγον ὅτι οὐπώποθ' οὗτος ὁ ποταμὸς διαβατὸς γένοιτο πεζῇ εἰ μὴ τότε, ἀλλὰ πλοίοις[11], ἃ τότε Ἀβροκόμας προϊὼν κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ. Ἐδόκει δὴ θεῖον[12] εἶναι καὶ σαφῶς ὑποχωρῆσαι τὸν ποτα-

---

[1]) Ἡ πρότασις συμπληροῦται ἐκ τῆς προηγουμ. Ἐπίσταται δὲ κάλλιον παντὸς ἄλλου (= εἴ τις καὶ ἄλλος) ἀποδιδόναι τὴν χάριν. [2]) Ἐὰν οἱ ἄλλοι δὲν ἀποφασίσωσι νὰ τὸν ἀκολουθήσωσι. [3]) Τοὔμπαλιν, ἀντὶ τὸ ἔμπαλιν = ὀπίσω. Ἐπιστρέφομεν πάντες ὀπίσω. [4]) Λοχαγία· τὸ ἀξίωμα τοῦ λοχαγοῦ, ἀρχηγία σώματος στρατ. [5]) Μέλ. τοῦ τυγχάνω. Θὰ τὸ ἐπιτύχητε παρὰ τοῦ Κύρου. [6]) Υἱὸς τοῦ Αἰγυπτίου Ταμῶ. [7]) Τώρα, πρὸς τὸ παρόν. [8]) Ἐγὼ θέλω φροντίσει. Μελήσει μ. τοῦ μέλει (ἀπροσπ. τριτοπρ. μετὰ δοτ. συντασσόμενον). [9]) Ἢ νὰ μή με λέγουν πλέον Κῦρον. [10]) Εἰμὶ ἐν ἐλπίσι = ἐλπίζω. [11]) Διὰ τῶν πλοίων. [12]) Ἐνν. σημεῖον, θεῖον φαινόμενον.

μὸν Κύρῳ ὡς βασιλεύσοντι[1]. Ἐντεῦθεν ἐξελαύνει διὰ 15
τῆς Συρίας σταθμοὺς ἐννέα παρασάγγας πεντήκοντα· καὶ ἀφικνοῦνται πρὸς τὸν Ἀράξην ποταμόν. Ἐνταῦθα ἦσαν κῶμαι πολλαὶ μεσταὶ σίτου καὶ οἴνου. Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο[2].

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἐξέλασις Κύρου δι' Ἀραβίας.

Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Ἀραβίας[3] τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων σταθμοὺς ἐρήμους[4] πέντε παρασάγγας τριάκοντα καὶ πέντε. Ἐν τούτῳ δὲ τῷ τόπῳ ἦν μὲν ἡ γῆ πεδίον ἅπαν ὁμαλὲς ὥσπερ θάλαττα, ἀψινθίου[5] δὲ πλῆρες· εἰ δέ τι καὶ ἄλλο ἐνῆν ὕλης[6] ἢ καλάμου, ἅπαντα ἦσαν εὐώδη ὥσπερ ἀρώματα· δένδρον
δ' οὐδὲν ἐνῆν, θηρία δὲ παντοῖα, πλεῖστοι ὄνοι ἄγριοι, 2
πολλαὶ δὲ στρουθοὶ αἱ μεγάλαι[7]· ἐνῆσαν δὲ καὶ ὠτίδες[8] καὶ δορκάδες[9]· ταῦτα δὲ τὰ θηρία[10] οἱ ἱππεῖς ἐνίοτε ἐδίωκον. Καὶ οἱ μὲν ὄνοι, ἐπεί τις διώκοι[11], προδραμόντες ἕστασαν[12]· πολὺ γὰρ τῶν ἵππων ἔτρεχον θᾶττον[13]

---


[1]) Ὡς μέλλοντι δῆθεν νὰ βασιλεύσῃ. [2]) Ἐπισιτίζομαι = προμηθεύομαι τὰ πρὸς ζωοτροφίαν. [3]) Πρὸς τὸ βόρ. μέρος τῆς Ἀραβίας, τὸ πρὸς τὴν Μεσοποταμίαν. [4]) Ἐντὸς τῆς ἐρημίας. [5]) Κατάφυτον δὲ ἀπὸ ἀψίνθιον = τὸ γνωστὸν πικρὸν φυτόν, ἡ ἀψιθιά. [6]) Χόρτου. [7]) Στρουθοκάμηλοι. Εἶδος πτηνῶν μὲ λαιμὸν καὶ πόδας ὡσὰν τῆς καμήλου. [8]) Εἶδος ἀγριοχηνῶν. [9]) Ζαρκάδια. [10]) Ταῦτα τὰ πρὸς θήραν ζῷα. [11]) Ὁσάκις τις ἤθελε καταδιώκει αὐτούς. [12]) Ἀντὶ τοῦ παρατ. ἵσταντο. [13]) Πολὺ θᾶττον = ταχύ-

καὶ πάλιν, ἐπεὶ πλησιάζοιεν οἱ ἵπποι, ταὐτὸν ἐποίουν
καὶ οὐκ ἦν[1] λαβεῖν, εἰ μὴ διαστάντες[2] οἱ ἱππεῖς θη-
ρῷεν διαδεχόμενοι. Τὰ δὲ κρέα τῶν ἁλισκομένων ἦν
3 παραπλήσια τοῖς ἐλαφείοις[3], ἁπαλώτερα δέ. Στρουθὸν
δὲ οὐδεὶς ἔλαβεν· οἱ δὲ διώξαντες τῶν ἱππέων ταχὺ
ἐπαύοντο· πολὺ γὰρ ἀπέσπα[4] φεύγουσα, τοῖς μὲν ποσ
δρόμῳ, ταῖς δὲ πτέρυξιν αἴρουσα, ὥσπερ ἱστίῳ χρωμένη[5]
Τὰς δὲ ὠτίδας ἄν τις ταχὺ ἀνιστῇ[6] ἔστι λαμβάνειν
πέτονται γὰρ βραχὺ ὥσπερ πέρδικες καὶ ταχὺ ἀπαγο-
4 ρεύουσι[7]. Τὰ δὲ κρέα αὐτῶν ἥδιστα ἦν. Πορευόμενο
δὲ διὰ ταύτης τῆς χώρας ἀφικνοῦνται ἐπὶ τὸν Μάσκα
ποταμὸν, τὸ εὖρος πλεθριαῖον. Ἐνταῦθα ἦν πόλις ἐρήμη
μεγάλη, ὄνομα δ' αὐτῇ[8] Κορσωτή· περιερρεῖτο[9] δ' αὐ-
τη ὑπὸ τοῦ Μάσκα κύκλῳ. Ἐνταῦθ' ἔμειναν ἡμέρας τρεῖς
5 καὶ ἐπεσιτίσαντο. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς ἐρήμους
τρισκαίδεκα παρασάγγας ἐνενήκοντα τὸν Εὐφράτην πο-
ταμὸν ἐν δεξιᾷ ἔχων, καὶ ἀφικνεῖται ἐπὶ Πύλας. Ἐν
τούτοις τοῖς σταθμοῖς πολλὰ τῶν ὑποζυγίων ἀπώλετο
ὑπὸ λιμοῦ[10]· οὐ γὰρ ἦν χόρτος οὐδὲ ἄλλο οὐδὲν δέν-
δρον, ἀλλὰ ψιλὴ[11] ἦν ἅπασα ἡ χώρα· οἱ δὲ ἐνοικοῦντες
ὄνους[12] ἀλέτας παρὰ τὸν ποταμὸν ὀρύττοντες[13] κα

τερον τῶν ἵππων. 1) Οὐκ ἦν δυνατὸν λαβεῖν (συλλαβεῖν). 2) Ἀπέ-
χοντες κατὰ διάφορα διαστήματα. 3) Ἐνν. τὸ οὐσ. κρέα-
σιν. 4) Ἀπέσπα ἑαυτήν, ἀπεμακρύνετο. 5) Ἀνοίγουσα τὰ
πτέρυγας μεταχειριζομένη αὐτὰς ὡς ἱστίον = ὡς πανὶ τοῦ πλοίου
6) Ἂν τις ταχέως καὶ ἔξαφνα σηκώσῃ. 7) Ἀπαγορεύω εἰς τὴ
ἔνν. ἐντθ. τοῦ ἀποκάμνω, κουράζομαι. 8) Ἐστίν. 9) Περιεβρέχετο
10) Λιμός· πεῖνα (δι' ἔλλειψιν τροφῆς) μεγάλη. 11) Γυμνή, ξηρά
ἄδενδρος. 12) Ὄνος· ἐντθ. κατ' ἐπέκτασιν ἔχει τὴν σημασίαν τῆ
πέτρας τοῦ μύλου (μυλόπετρα = ὄνος ἀλέτης), ἣν ἐκίνει ὄνος, ἐ
οὗ ὠνομάσθη καὶ αὕτη οὕτω. 13) Ἐξορύττοντες, σκάπτοντες τὴ

ποιοῦντες[1] εἰς Βαβυλῶνα ἦγον καὶ ἐπώλουν καὶ ἀνταγοράζοντες[2] σῖτον ἔζων. Τὸ δὲ στράτευμα ὁ σῖτος ἐπέλιπε, καὶ πρίασθαι οὐκ ἦν εἰ μὴ ἐν τῇ Λυδίᾳ ἀγορᾷ[3] ἐν τῷ Κύρου βαρβαρικῷ[4], τὴν καπίθην[5] ἀλεύρων· ἢ ἀλφίτων[6] τεττάρων σίγλων[7]. Ὁ δὲ σίγλος δύναται[8] ἑπτὰ ὀβολοὺς καὶ ἡμιωβόλιον Ἀττικούς· ἡ δὲ καπίθη δύο χοίνικας[9] Ἀττικὰς ἐχώρει. Κρέα οὖν ἐσθίοντες οἱ στρατιῶται διεγίγνοντο[10]. 6

7 Ἦν δὲ τούτων τῶν σταθμῶν οὓς πάνυ μακροὺς ἤλαυνεν[11], ὁπότε ἢ πρὸς ὕδωρ βούλοιτο διατελέσαι ἢ πρὸς χιλόν[12]. Καὶ δή ποτε στενοχωρίας καὶ πηλοῦ[13] φανέντος ταῖς ἁμάξαις δυσπορεύτου ἐπέστη ὁ Κῦρος σὺν τοῖς περὶ αὐτὸν ἀρίστοις καὶ εὐδαιμονεστάτοις καὶ ἔταξε[14] Γλοῦν




ΑΜΑΞΑ

γῆν καὶ ἐκβάλλοντες πέτρας. [1]) Κατασκευάζοντες αὐτὰς μυλοπέτρας. [2]) Ἀγοράζοντες ἀντὶ (εἰς ἀντάλλαγμα) τῶν μυλοπετρῶν. [3]) Δηλ. τῇ ὑπὸ Λυδῶν καπήλων συνισταμένῃ ἀγορᾷ. [4]) Τῇ εὑρισκομένῃ ἐν τῷ βαρβαρικῷ στρατεύματι τοῦ Κύρου. [5]) Εἶδος μέτρου χωρητικότητος. [6]) Ἄλφιτον· ἀλεῦρι κρίθινον, κριθάρι ξεφλουδισμένον. Πληθυντ. Ἄλφιτα = ζωοτροφίαι. [7]) Ἀξίας δηλ τεσσάρων σίγλων. Σίγλος ἢ σίκλος=εἶδος Ἀσιατ. νομίσματος ἀξίζοντος παρὰ τοῖς Πέρσαις $7^1/_2$ ὀβολούς, ἢ δύω δραχ. Ἀττικάς. [8]) = Ἰσοδυναμεῖ. [9]) Χοῖνιξ, ικος, εἶδ. μέτρου διὰ τὰ γεννήματα, χωρητ. 4 κοτυλῶν ἢ δύω περίπου λιτρῶν, ὅσον δηλαδὴ ἀρκεῖ συνήθως διὰ τὴν ἡμερησίαν τροφὴν ἑνὸς ἀνθρώπου. [10]) Διήρχοντο τὸν χρόνον τοῦτον. [11]) Ἡ κανονικὴ θέσις τῶν λέξεων ἔχει οὑτωσεί· ἦν (ἦσαν) δέ τινες τούτων τῶν σταθμῶν, οὓς ἤλαυνε, πάνυ μακροί. [12]) Χόρτον, κυρίως πρὸς τροφὴν τῶν ἵππων. [13]) Λάσπης δυσδιαβάτου (= δυσπορεύτου). [14]) Διέταξε.

καὶ Πίγρητα λαβόντας τοῦ βαρβαρικοῦ στρατοῦ συνεκ-
8 βιβάζειν τὰς ἁμάξας. Ἐπεὶ δ' ἐδόκουν αὐτῷ σχο-
λαίως[1] ποιεῖν, ὥσπερ ὀργῇ ἐκέλευσε τοὺς περὶ αὐτὸν
Πέρσας τοὺς κρατίστους συνεπισπεῦσαι[2] τὰς ἁμάξας.
Ἔνθα δὴ μέρος τι τῆς εὐταξίας[3] ἦν θεάσασθαι. Ῥί-
ψαντες γὰρ τοὺς πορφυροῦς κάνδυς[4] ὅπου ἔτυχεν ἕκα-
στος ἑστηκώς, ἵεντο ὥσπερ ἂν δράμοι τις περὶ νίκης[5]
καὶ μάλα[6] κατὰ πρανοῦς γηλόφου, ἔχοντες τούς τε
πολυτελεῖς χιτῶνας καὶ τὰς ποικίλας ἀναξυρίδας[7], ἔνιοι
δὲ καὶ στρεπτοὺς περὶ τοῖς τραχήλοις καὶ ψέλια περὶ
ταῖς χερσίν· εὐθὺς δὲ σὺν τούτοις εἰσπηδήσαντες εἰς τὸν
πηλὸν θᾶττον ἢ ὥς τις ἂν ᾤετο[8] μετεώρους[9] ἐξεκόμισαν
9 τὰς ἁμάξας. Τὸ δὲ σύμπαν δῆλος ἦν Κῦρος ὡς σπεύδων
πᾶσαν τὴν ὁδὸν καὶ οὐ διατρίβων ὅπου μὴ[10] ἐπισιτισμοῦ
ἕνεκα ἤ τινος ἄλλου ἀναγκαίου ἐκαθέζετο, νομίζων, ὅσῳ
μὲν θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρασκευοτέρῳ βασιλεῖ
μαχεῖσθαι, ὅσῳ δὲ σχολαίτερον[11], τοσούτῳ πλέον συνα-
γείρεσθαι βασιλεῖ στράτευμα. Καὶ συνιδεῖν δ' ἦν[12] τῷ
προσέχοντι τὸν νοῦν ἡ βασιλέως ἀρχὴ πλήθει μὲν χώρας

1) Βραδέως, νωθρῶς. 2) Κατὰ βραχυλογίαν ἀντὶ συνεπισπεύδοντας ἐκβιβάσαι τὰς ἁμάξας. 3) Τῆς πειθαρχίας. 4) Κάνδυς, υος· εἶδος Περσ. ἐπανωφορίου μὲ μανίκια, ὅμοιον πρὸς τὸ Τουρκ. καφτάνι. 5) Ἔτρεχον ὡς νὰ ἐπρόκειτο περὶ στεφάνου νίκης. 6) Μάλα πρανοῦς = πολὺ κατηφορικοῦ. 7) Περισκελὶς (= πανταλόνι) παρὰ Πέρσαις μακρὰ καὶ πλατεῖα, τουρκ. σαλβάρι. 8) Ταχύτερον ἢ ὅσον ἤθελε φαντασθῇ τις. 9) Μετεώρους = σηκωμένας ἐπάνω, ὑψηλὰ (εἰς τὸν ἀέρα). Δηλ. ἐξέχωναν τὰς ἁμάξας ἀπὸ τὴν λάσπην σηκωτά. 10) Εἰ μὴ ὅπου. 11) Ἀργότερον. 12) Συνιδεῖν ἦν... ἡ βασιλέως ἀρχὴ οὖσα, ἀντὶ συνιδεῖν ἦν τὴν βασιλέως ἀρχὴν οὖσαν (κατ' αἰτιατκ.).

καὶ ἀνθρώπων ἰσχυρὰ οὖσα, τοῖς δὲ μήκεσι τῶν ὁδῶν καὶ τῷ διεσπάσθαι[1] τὰς δυνάμεις ἀσθενής, εἴ τις διὰ ταχέων[2] τὸν πόλεμον ποιοῖτο. Πέραν δὲ τοῦ Εὐφράτου 10
ποταμοῦ κατὰ τοὺς ἐρήμους σταθμοὺς ἦν πόλις εὐδαίμων καὶ μεγάλη, ὄνομα δὲ[3] Χαρμάνδη· ἐκ ταύτης οἱ στρατιῶται ἠγόραζον τὰ ἐπιτήδεια, σχεδίαις[4] διαβαίνοντες ὧδε[5]. Διφθέρας[6] ἃς εἶχον στεγάσματα ἐπίμπλασαν[7] χόρτου κούφου[8], εἶτα συνῆγον καὶ συνέσπων[9], ὡς μὴ ἅπτεσθαι τῆς κάρφης[10] τὸ ὕδωρ· ἐπὶ τούτων διέβαινον καὶ ἐλάμβανον τὰ ἐπιτήδεια, οἶνόν τε ἐκ τῆς βαλάνου πεποιημένον τῆς ἀπὸ τοῦ φοίνικος καὶ σῖτον μελίνης· τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον. Ἀμφιλεξάντων δέ τι[11] ἐνταῦθα τῶν τε 11
τοῦ Μένωνος στρατιωτῶν καὶ τῶν Κλεάρχου ὁ Κλέαρχος κρίνας ἀδικεῖν τὸν[12] τοῦ Μένωνος πληγὰς ἐνέβαλεν[13]· ὁ δὲ ἐλθὼν πρὸς τὸ ἑαυτοῦ στράτευμα ἔλεγεν[14]· ἀκούσαντες δὲ οἱ στρατιῶται ἐχαλέπαινον καὶ ὠργίζοντο ἰσχυρῶς τῷ Κλεάρχῳ. Τῇ δὲ αὐτῇ ἡμέρᾳ Κλέαρχος ἐλ- 12



ΣΧΕΔΙΑ

---

1) Καὶ διὰ τὸ ὅτι ἦσαν διεσπασμέναι (= διεσκορπισμέναι) αἱ δυνάμεις = τὰ στρατεύματά του. 2) Διὰ ταχέων = ταχέως. 3) Παραλ. τὸ ἐννοούμ. ἦν αὐτῇ = ὠνομάζετο. 4) Διὰ μικρῶν πλοιαρίων, (βαρκίτσα). 5) Κατὰ τὸν ἑξῆς τρόπον. 6) Δέρματα, τομάρια. 7) Ἐμπίπλημι = γεμίζω. 8) Ἐλαφροῦ. 9) Τὰ συνήνωναν καὶ τὰ συνέρραπτον. 10) Κάρφη = ξηρὸν χόρτον, φρύγανον. 11) Φιλονεικησάντων δὲ περί τινος. 12) Ἐνν. στρατιώτην. 13) Ἐνν. αὐτῷ = τὸν ἔδειρε 14) Τὸ γεγονός, ὅτι δηλ. ἐδάρη.

θὼν ἐπὶ τὴν διάβασιν τοῦ ποταμοῦ καὶ ἐκεῖ κατασκεψάμενος[1] τὴν ἀγορὰν ἀφιππεύει[2] ἐπὶ τὴν ἑαυτοῦ σκηνὴν διὰ τοῦ Μένωνος στρατεύματος σὺν ὀλίγοις τοῖς περὶ αὐτόν· Κῦρος δὲ οὔπω ἧκεν, ἀλλ' ἔτι προσήλαυνε· τῶν δὲ Μένωνος στρατιωτῶν ξύλα σχίζων τις ὡς εἶδε Κλέαρχον διελαύνοντα[3], ἵησι[4] τῇ ἀξίνῃ· καὶ οὗτος μὲν αὐτοῦ ἥμαρτεν[5]· ἄλλος δὲ[6] λίθῳ καὶ ἄλλος, εἶτα πολλοί[7],
13 κραυγῆς γενομένης. Ὁ δὲ καταφεύγει εἰς τὸ ἑαυτοῦ στράτευμα, καὶ εὐθὺς παραγγέλλει[8] εἰς τὰ ὅπλα· καὶ τοὺς μὲν ὁπλίτας αὐτοῦ ἐκέλευσαι μεῖναι τὰς ἀσπίδας πρὸς[9] τὰ γόνατα θέντας, αὐτὸς δὲ λαβὼν τοὺς Θρᾷκας καὶ τοὺς ἱππέας οἳ ἦσαν αὐτῷ ἐν τῷ στρατεύματι πλείους ἢ τετταράκοντα, τούτων δὲ οἱ πλεῖστοι Θρᾷκες, ἤλαυνεν ἐπὶ τοὺς[10] Μένωνος, ὥστ' ἐκείνους ἐκπεπλῆχθαι καὶ αὐτὸν Μένωνα, καὶ τρέχειν ἐπὶ τὰ ὅπλα· οἱ δὲ καὶ ἕστα-
14 σαν[11] ἀποροῦντες τῷ πράγματι. Ὁ δὲ Πρόξενος—ἔτυχε γὰρ ὕστερος προσιὼν καὶ τάξις[12] αὐτῷ ἑπομένη τῶν ὁπλιτῶν — εὐθὺς οὖν[13] εἰς τὸ μέσον ἀμφοτέρων ἄγων ἔθετο τὰ ὅπλα[14] καὶ ἐδεῖτο τοῦ Κλεάρχου μὴ ποιεῖν

---

1) Ἐξετάσας μετὰ προσοχῆς. 2) Ἐπιστρέφει ἔφιππος. 3) Διερχόμενον ἔφιππον. 4) Ἵημι, μέλ. Ἥσω· παρτ. Ἵην, ἢ Ἵουν, ἵεις ἵει κτλ. Ἀόρ. Ἧκα· πρκμ. Εἷκα καὶ πθ. Εἷμαι, ἀόρ. πθ. Ἕθην ἢ Εἵθην καὶ μ. πθ. Ἑθήσομαι. Κινῶ τι μὲ ὁρμήν. Ἔρριψε κατ' αὐτοῦ μεθ' ὁρμῆς τὴν ἀξίνην. 5) Δὲν τὸν ἐπέτυχε νὰ τὸν κτυπήσῃ. 6) Ἐνν. τὸ ἵησι. 7) Παραλ. τὸ ἐνν. ἵεσαν. 8) Βραχυλογ. = Παραγγέλλει (= δίδει διαταγὴν) ἰέναι εἰς τὰ ὅπλα. 9) Ἔμπροσθεν τῶν γονάτων των. 10) Τοὺς ἱππεῖς. 11) Ἀμετβτ. ἐσταμάτησαν. 12) Σῶμα, τάγμα ὁπλιτῶν. 13) Τὸ οὖν μετὰ τὸ εὐθὺς παρέλκει ἐνταῦθα, τεθὲν διότι, ἕνεκεν τῆς παρεμπιπτούσης προτάσεως ἀπεμακρύνθη τοῦ ὁ δὲ Πρόξενος. 14) Διέταξε τὸ σῶμα τῶν ὁπλιτῶν του νὰ σταματήσῃ.

αῦτα. Ὁ δ' ἐχαλέπαινεν ὅτι αὐτοῦ ὀλίγου δεήσαντος[1]
αταλευσθῆναι[2] πράως λέγοι τὸ αὑτοῦ πάθος, ἐκέλευσέ
ε αὐτὸν ἐκ τοῦ μέσου ἐξίστασθαι[3]. Ἐν τούτῳ[4] δὲ ἐπῄει 15
αὶ Κῦρος καὶ ἐπύθετο τὸ πρᾶγμα· εὐθὺς δ' ἔλαβε τὰ
ιαλτὰ εἰς τὰς χεῖρας καὶ σὺν τοῖς παροῦσι τῶν πιστῶν 16
ἧκεν ἐλαύνων εἰς τὸ μέσον, καὶ λέγει τάδε· Κλέαρχε
αὶ Πρόξενε καὶ οἱ ἄλλοι οἱ παρόντες Ἕλληνες, οὐκ
στε[5] ὅ,τι ποιεῖτε. Εἰ γάρ τινα ἀλλήλοις μάχην συνά-
ψετε, νομίζετε ἐν τῇδε τῇ ἡμέρᾳ[6] ἐμέ τε κατακεκόψεσθαι
καὶ ὑμᾶς οὐ πολὺ ἐμοῦ ὕστερον· κακῶς γὰρ τῶν ἡμετέ-
ρων ἐχόντων πάντες οὗτοι οὓς ὁρᾶτε βάρβαροι πολεμιώ-
τεροι ἡμῖν ἔσονται τῶν παρὰ βασιλεῖ ὄντων. Ἀκούσας 17
ταῦτα ὁ Κλέαρχος ἐν ἑαυτῷ ἐγένετο[7]· καὶ παυσάμενοι
ἀμφότεροι κατὰ χώραν[8] ἔθεντο τὰ ὅπλα.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Ἀπιστία καὶ δίκη Ὀρόντα.

Ἐντεῦθεν προϊόντων[9] ἐφαίνετο ἴχνη ἵππων καὶ κόπρος· εἰκάζετο δ' εἶναι ὁ στίβος[10] ὡς δισχιλίων ἵππων. Οὗτοι[11] προϊόντες ἔκαον καὶ χιλὸν καὶ εἴ τι ἄλλο χρή-

---

1) Ὀλίγου δεῖν = ὀλίγον ἔλειψε. 2) Καταλεύω = λιθοβολῶ (ἀπαντ. παρὰ Ξενοφ.). 3) Νὰ ἀποσυρθῇ ἀπὸ τὸ μέσον. 4) Τῷ χρόνῳ, δηλ. Ἐν τῷ μεταξύ. 5) Πληθ. β'. τοῦ οἶδα. Δὲν ἠξεύρετε τί κάμνετε. 6) Ὅτι ἐντὸς τῆς ἡμέρας ταύτης θέλετε ἔχει κατακεκομμένον καὶ ἐμὲ καὶ ὑμᾶς αὐτούς. 7) Συνῆλθεν εἰς ἑαυτόν. 8) Ἀφῆκαν τὰ ὅπλα εἰς τὰς θέσεις των. 9) Ἐνῷ οὗτοι ἐβάδιζον ἐμπρός. 10) Τὸ ἴχνος τοῦ ποδός, ἡ πατημασιά. = Ἐκ δὲ τῶν ἰχνῶν ὑπελογίζετο ὅτι ὁ ἀριθμὸς τῶν ἱππέων ἦτο περίπου δύο χιλιάδων. 11) Δηλ. οἱ ἐπὶ τῶν ἵππων ἱππεῖς.

σιμον ἦν. Ὀρόντας δὲ Πέρσης ἀνὴρ γένει τε προσήκων βασιλεῖ καὶ τὰ πολέμια[1] λεγόμενος ἐν τοῖς ἀρίστοις Περσῶν ἐπιβουλεύει Κύρῳ καὶ πρόσθεν πολεμήσας,
2 καταλλαγεὶς[2] δέ. Οὗτος Κύρῳ εἶπεν, εἰ αὐτῷ δοίη ἱππέας χιλίους, ὅτι τοὺς προκατακάοντας ἱππέας ἢ κατακάνοι ἂν ἐνεδρεύσας ἢ ζῶντας πολλοὺς αὐτῶν ἂν ἕλοι καὶ κωλύσειε τοῦ κάειν ἐπιόντας, καὶ ποιήσειεν ὥστε μήποτε δύνασθαι αὐτοὺς ἰδόντας τὸ Κύρου στράτευμα βασιλεῖ διαγγεῖλαι[3]. Τῷ δὲ Κύρῳ ἀκούσαντι ταῦτα ἐδόκει ὠφέλιμα εἶναι, καὶ ἐκέλευσεν αὐτὸν λαμβάνειν μέρος παρ'
3 ἑκάστου τῶν ἡγεμόνων. Ὁ δ' Ὀρόντας νομίσας ἑτοίμους εἶναι αὐτῷ τοὺς ἱππέας γράφει ἐπιστολὴν παρὰ βασιλέα ὅτι ἥξοι ἔχων ἱππέας ὡς ἂν δύνηται πλείστους· ἀλλὰ φράσαι τοῖς ἑαυτοῦ ἱππεῦσιν ἐκέλευεν[4] ὡς φίλιον αὐτὸν ὑποδέχεσθαι. Ἐνῆν δὲ ἐν τῇ ἐπιστολῇ καὶ τῆς πρόσθεν φιλίας ὑπομνήματα[5] καὶ πίστεως. Ταύτην τὴν ἐπιστολὴν δίδωσι πιστῷ ἀνδρὶ, ὡς ᾤετο· ὁ δὲ λαβὼν
4 Κύρῳ δίδωσιν. Ἀναγνοὺς δὲ αὐτὴν ὁ Κῦρος συλλαμβάνει Ὀρόνταν, καὶ συγκαλεῖ εἰς τὴν ἑαυτοῦ σκηνὴν Πέρσας τοὺς ἀρίστους τῶν περὶ αὐτὸν ἑπτὰ, καὶ τοὺς τῶν Ἑλλήνων στρατηγοὺς ἐκέλευσεν ὁπλίτας ἀγαγεῖν, τούτους δὲ θέσθαι τὰ ὅπλα περὶ τὴν αὐτοῦ σκηνήν. Οἱ δὲ ταῦτα
5 ἐποίησαν ἀγαγόντες ὡς τρισχιλίους ὁπλίτας. Κλέαρχον δὲ καὶ εἴσω παρεκάλεσε σύμβουλον, ὅς γε καὶ αὐτῷ καὶ

---

[1]) Εἰς τὰ πολεμικά· νομιζόμενος ἄριστος εἰς τὴν πολεμικὴν τέχνην. [2]) Συμφιλιωθείς. [3]) Νὰ τὸ ἀναγγείλῃ διά τινος, νὰ τὸ μηνύσῃ δι' ἀγγέλου. [4]) Τὸν παρώτρυνε, τὸν παρεκίνει. [5]) Ὑπενθυμίσεις.

τοῖς ἄλλοις ἐδόκει προτιμηθῆναι μάλιστα τῶν Ἑλλήνων.
Ἐπεὶ δ' ἐξῆλθεν, ἐξήγγειλε[1] τοῖς φίλοις τὴν κρίσιν τοῦ
Ὀρόντα ὡς ἐγένετο[2]· οὐ γὰρ ἀπόρρητον[3] ἦν. Ἔφη
δὲ Κῦρον ἄρχειν τοῦ λόγου ὧδε· Παρεκάλεσα ὑμᾶς, 6
ἄνδρες φίλοι, ὅπως σὺν ὑμῖν βουλευόμενος ὅ,τι δίκαιόν
ἐστι καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων, τοῦτο πράξω[4]
περὶ Ὀρόντα τουτουί. Τοῦτον γὰρ πρῶτον μὲν ὁ ἐμὸς
πατὴρ ἔδωκεν ὑπήκοον εἶναι ἐμοί· ἐπεὶ δὲ ταχθείς, ὡς
ἔφη αὐτός, ὑπὸ τοῦ ἐμοῦ ἀδελφοῦ οὗτος ἐπολέμησεν
ἐμοὶ ἔχων τὴν ἐν Σάρδεσιν ἀκρόπολιν καὶ ἐγὼ αὐτὸν
προσπολεμῶν[5] ἐποίησα[6] ὥστε δόξαι τούτῳ τοῦ πρὸς ἐμὲ
πολέμου παύσασθαι, καὶ δεξιὰν ἔλαβον καὶ ἔδωκα, μετὰ
ταῦτα, ἔφη, ὦ Ὀρόντα, ἔστιν ὅ,τι[7] σε ἠδίκησα; Ἀπε-
κρίνατο ὅτι οὔ[8]. Πάλιν δὲ ὁ Κῦρος ἠρώτα· Οὐκοῦν 7
ὕστερον, ὡς αὐτὸς σὺ ὁμολογεῖς, οὐδὲν ὑπ' ἐμοῦ ἀδι-
κούμενος ἀποστὰς[9] εἰς Μυσοὺς κακῶς ἐποίεις τὴν ἐμὴν
χώραν ὅ,τι ἐδύνω[10]; Ἔφη ὁ Ὀρόντας[11]. Οὐκοῦν, ἔφη ὁ
Κῦρος, ὁπότ' αὖ ἔγνως τὴν σαυτοῦ δύναμιν, ἐλθὼν ἐπὶ
τὸν τῆς Ἀρτέμιδος[12] βωμὸν μεταμέλειν[13] τέ σοι ἔφησθα
καὶ πείσας ἐμὲ πιστὰ[14] πάλιν ἔδωκάς μοι καὶ ἔλαβες παρ'

---

1) Ἐγνωστοποίησεν ἔξω. 2) Ἀντί· ὡς (= πῶς) ἡ κρίσις ἐγένετο. 3) Δὲν ἦτο ἀπηγορευμένον νὰ γνωστοποιηθῇ, δὲν ἦτο μυστικόν, κρυπτόν. 4) Ὅπως πράξω τοῦτο, ὅ,τι δίκαιον κτλ. 5) Πολεμῶν κατ' αὐτοῦ. 6) Τὸν ἠνάγκασα ὥστε νὰ θεωρήσῃ καλὸν τοῦ νὰ παύσῃ τὸν κατ' ἐμοῦ πόλεμον. 7) Ἔστι τι, ὅ σε ἠδίκησα; Ἔστιν ὅ,τι = τι· ἔστιν ἃ = τινα. Καὶ ἐπίρ. χρόν. ἔστιν ὅτε = ἐνίοτε. 8) Ἐνν. τὸ ἐστίν. 9) Βραχλ. ἀντὶ· ἀποστὰς (= ἀποστατήσας) ἀπ' ἐμοῦ καὶ ἀπελθὼν εἰς Μυσούς. 10) Ὅσον ἠδύνασο. 11) Ἔφη κατένευσεν, εἶπε «Ναὶ» ὁ Ὀρόντας. 12) Δηλ. τῆς ἐν Ἐφέσῳ, διότι ἡ Ἄρτεμις ἐλατρεύετο καὶ ὑπὸ τῶν βαρβάρων. 13) Ἔλεγες ὅτι μετανοεῖς. 14) Μαρτύρια πίστεως.

8 ἐμοῦ; Καὶ ταῦθ' ὡμολόγει ὁ Ὀρόντας. Τί οὖν, ἔφη ὁ
Κῦρος, ἀδικηθεὶς[1] ὑπ' ἐμοῦ νῦν τὸ τρίτον ἐπιβου-
λεύων μοι φανερὸς γέγονας; Εἰπόντος δὲ τοῦ Ὀρόντα
ὅτι οὐδὲν ἀδικηθείς, ἠρώτησεν ὁ Κῦρος αὐτόν· Ὁμο-
λογεῖς οὖν περὶ ἐμὲ ἄδι-
κος γεγενῆσθαι; Ἦ γὰρ
ἀνάγκη[2], ἔφη ὁ Ὀρόντας.
Ἐκ τούτου[3] πάλιν ἠρώ-
τησεν ὁ Κῦρος· Ἔτι οὖν
ἂν γένοιο τῷ ἐμῷ ἀδελφῷ
πολέμιος, ἐμοὶ δὲ φίλος
καὶ πιστός; Ὁ δὲ ἀπεκρί-
νατο ὅτι οὐδ' εἰ γενοίμην,
ὦ Κῦρε, σοί γ' ἄν ποτε
9 δόξαιμι[4]. Πρὸς ταῦτα
Κῦρος εἶπε τοῖς παροῦ-
σιν· Ὁ μὲν ἀνὴρ τοιαῦ-
τα μὲν πεποίηκε, τοι-
αῦτα δὲ λέγει· ὑμῶν δὲ σὺ πρῶτος, ὦ Κλέαρχε, ἀπό-
φηναι γνώμην ὅ,τι σοι δοκεῖ. Κλέαρχος δὲ εἶπε τάδε.
Συμβουλεύω ἐγὼ τὸν ἄνδρα τοῦτον ἐκποδὼν ποιεῖσθαι[5]



ΒΩΜΟΣ

[1]) Εἰς τί λοιπόν σε ἠδίκησα καὶ τρίτην τώρα φορὰν συλλαμβάνεσαι ἐπ' αὐτοφώρῳ ἐπιβουλεύων με; [2]) Παραλείπεται ἡ κατάφασις μάλιστα, ναί, ἧς αἰτιολογικὸν εἶνε τὸ ἦ γὰρ ἀνάγκη (ἐστίν). [3]) Μετὰ τοῦτο, ἔπειτα. [4]) Δόξαιμι γενέσθαι. Οὐδέποτε ἤθελον θεωρηθῇ βεβαίως ὑπὸ σοῦ ὅτι ἔγινα τοιοῦτος, φίλος δηλ. καὶ πιστός. [5]) Ἐκποδὼν (ἐκ-ποδῶν) ἐπίρ. τὸ ἐναντίον τοῦ ἐμποδών. Νὰ τὸν βγάλωμεν ἀπ' ἔμπροσθέν μας (ἀπὸ τὰ πόδια μας), ἀπὸ τὸ μέσον.

ως τάχιστα, ὡς μηκέτι δέῃ[1] τοῦτον φυλάττεσθαι, ἀλλὰ
σχολὴ ᾖ ἡμῖν[2] τὸ κατὰ τοῦτον εἶναι τοὺς ἐθελοντὰς
φίλους εὖ ποιεῖν. Ταύτῃ δὲ τῇ γνώμῃ ἔφη καὶ τοὺς 10
ἄλλους προσθέσθαι. Μετὰ ταῦτα, ἔφη, κελεύοντος Κύρου
ἔλαβον τῆς ζώνης τὸν Ὀρόνταν ἐπὶ θανάτῳ[3] ἅπαντες
ἀναστάντες καὶ οἱ συγγενεῖς· εἶτα δ' ἐξῆγον αὐτὸν οἷς[4]
προσετάχθη. Ἐπεὶ δὲ εἶδον αὐτὸν οἵπερ πρόσθεν[5] προσ-
εκύνουν, καὶ τότε προσεκύνησαν, καίπερ εἰδότες ὅτι ἐπὶ
θάνατον ἄγοιτο. Ἐπεὶ δὲ εἰς τὴν Ἀρταπάτου σκηνὴν 11
εἰσήχθη τοῦ πιστοτάτου τῶν Κύρου σκηπτούχων[6] μετὰ
ταῦτα οὔτε ζῶντα Ὀρόνταν οὔτε τεθνηκότα οὐδεὶς εἶδε
πώποτε οὐδὲ ὅπως[7] ἀπέθανεν οὐδεὶς εἰδὼς ἔλεγεν· εἴκα-
ζον δὲ ἄλλοι ἄλλως[8]· τάφος δὲ οὐδεὶς πώποτε αὐτοῦ
ἐφάνη.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Προδιαθέσεις καὶ παρασκευαὶ πρὸς μάχην.

Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Βαβυλωνίας σταθμοὺς τρεῖς παρασάγγας δώδεκα. Ἐν δὲ τῷ τρίτῳ σταθμῷ Κύ-

---

1) Διὰ νὰ μὴ ὑπάρχῃ ἀνάγκη (δέῃ) νὰ προφυλαττώμεθα ἀπὸ τοῦτον (τὸν Ὀρόνταν). 2) Ἀλλὰ νὰ ἔχωμεν τὸν καιρὸν τοῦτον (τὸν ὁποῖον δηλ. θὰ ἐχάνομεν προφυλαττόμενοι ἀπὸ τὸν Ὀρόνταν), ἵνα εὖ ποιῶμεν (= εὐεργετῶμεν) τοὺς ἐθελοντὰς (= ἐθέλοντας εἶνε) φίλους μας. 3) Ἔπιασαν ἀπὸ τὴν ζώνην τὸν Ὀρόνταν, τὸ ὁποῖον σημαίνει τὴν εἰς θάνατον καταδίκην = ἐπὶ θανάτῳ, ὁσάκις ἤθελον νὰ καταδικάσωσί τινα εἰς θάνατον. 4) Ἐκεῖνοι, οἷς προσετάχθη (= εἰς οὓς ἐδόθη ἡ διαταγὴ νὰ τὸν ἐξαγάγωσι). 5) Πρότερον. 6) Ὁ ἔχων, ὁ κρατῶν σκῆπτρον (= σύμβολον βασιλ. ἐξουσίας), ῥαβδοῦχος. Εἰς τὴν Περσίαν τὸ ἀξίωμα τοῦ ῥαβδούχου ἐδίδετο πρὸς τιμὴν εἰς τοὺς μεγιστᾶνας. 7) Ὅπως = πῶς 8) Ἔκα-

ρος ἐξέτασιν ποιεῖται τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐν τῷ πεδίῳ περὶ μέσας νύκτας· ἐδόκει γὰρ εἰς τὴν ἐπιοῦσαν ἕω[1] ἥξειν βασιλέα σὺν τῷ στρατεύματι μαχούμενον· καὶ ἐκέλευε Κλέαρχον μὲν τοῦ δεξιοῦ κέρως[2] ἡγεῖσθαι, Μένωνα δὲ [τὸν Θετταλὸν] τοῦ εὐωνύμου, αὐ-
2 τὸς δὲ τοὺς ἑαυτοῦ διέταξε.[3] Μετὰ δὲ τὴν ἐξέτασιν ἅμα τῇ ἐπιούσῃ ἡμέρᾳ ἥκοντες αὐτόμολοι[4] παρὰ μεγάλου βασιλέως ἀπήγγελλον[5] Κύρῳ περὶ τῆς βασιλέως στρατιᾶς. Κῦρος δὲ συγκαλέσας τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τῶν Ἑλλήνων συνεβουλεύετό τε πῶς ἂν τὴν μάχην
3 ποιοῖτο καὶ αὐτὸς παρῄνει θαρρύνων τοιάδε· Ὦ ἄνδρες Ἕλληνες, οὐκ ἀνθρώπων ἀπορῶν βαρβάρων συμμάχους ὑμᾶς ἄγω, ἀλλὰ νομίζων ἀμείνους καὶ κρείττους πολλῶν βαρβάρων ὑμᾶς εἶναι, διὰ τοῦτο προσέλαβον. Ὅπως οὖν ἔσεσθε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας ἧς κέκτησθε καὶ ἧς[6] ὑμᾶς ἐγὼ εὐδαιμονίζω. Εὖ γὰρ ἴστε ὅτι τὴν ἐλευθερίαν ἑλοίμην ἂν ἀντὶ ὧν ἔχω πάντων καὶ ἄλλων πολλαπλασίων.
4 Ὅπως δὲ καὶ εἰδῆτε εἰς οἷον ἔρχεσθε ἀγῶνα, ὑμᾶς εἰδὼς διδάξω. Τὸ μὲν γὰρ πλῆθος πολὺ καὶ κραυγῇ πολλῇ ἐπίασιν[7]· ἂν δὲ ταῦτα[8] ἀνάσχησθε[9], τὰ ἄλλα καὶ αἰσχυ-

---

μνον διάφορα συμπεράσματα περὶ τοῦ τρόπου τοῦ θανάτου του. Ὑποτίθεται ὅτι ἐτάφη ζῶν, ὅπως συνειθίζετο παρὰ τοῖς Πέρσαις.
[1]) Ἐντὸς (= εἰς) τῆς ἑπομένης αὐγῆς. [2]) Τῆς δεξιᾶς πτέρυγος τοῦ στρατεύματος. [3]) Τοὺς ἔβαλεν εἰς τάξιν, τοὺς παρέταξε. [4]) Λιποτάκται ἐκ τοῦ στρατεύματος τοῦ μεγ. βασιλέως. [5]) Ἐπληροφόρουν τὸν Κῦρον περὶ τοῦ στρατοῦ τοῦ βασιλέως. [6]) Ἐκείνης, ἣν κέκτησθε καὶ δι' ἣν εὐδαιμονίζω (= θεωρῶ εὐδαίμονας) ὑμᾶς. [7]) Τὸ πλῆθος ἐπίασιν, περιληπτ. σύνταξις, καθ' ἣν ἑν. ὑποκ. συντάσ. μετὰ πληθυντ. ῥήματος. Τὸ πλῆθος (τῶν Περσῶν δηλ.) εἶνε πολὺ καὶ ἐφορμῶσι μετὰ κραυγῆς. [8]) Ἀναφέρ. εἰς τὸ πολὺ πλῆθος καὶ κραυγῇ πολλῇ. [9]) Ὑπομένητε, δὲν πτοηθῆτε ἀπὸ ταῦτα.

νεῖσθαί μοι δοκῶ οἵους ἡμῖν γνώσεσθε τοὺς ἐν τῇ χώρᾳ
ὄντας ἀνθρώπους[1]. [Ὑμῶν δὲ ἀνδρῶν[2] ὄντων], καὶ εὖ
τῶν ἐμῶν γενομένων, ἐγὼ ὑμῶν τὸν μὲν οἴκαδε βουλόμε-
νον ἀπιέναι τοῖς οἴκοι ζηλωτὸν ποιήσω ἀπελθεῖν, πολλοὺς
δὲ οἶμαι ποιήσειν τὰ παρ' ἐμοὶ ἑλέσθαι[3] ἀντὶ τῶν οἴκοι.
Ἐνταῦθα Γαυλίτης παρὼν φυγὰς Σάμιος, πιστὸς δὲ 5
Κύρῳ, εἶπε· Καὶ μήν, ὦ Κῦρε, λέγουσί τινες ὅτι πολλὰ
ὑπισχνεῖ[4] νῦν διὰ τὸ ἐν τοιούτῳ εἶναι τοῦ κινδύνου
προσιόντος, ἂν δὲ εὖ γένηταί τι[5], οὐ μεμνήσεσθαί σέ
φασιν· ἔνιοι δὲ[6] οὐδ' εἰ μεμνῇό[7] τε καὶ βούλοιο δύνα-
σθαι ἂν ἀποδοῦναι ὅσα ὑπισχνεῖ. Ἀκούσας ταῦτα ἔλεξεν 6
ὁ Κῦρος, Ἀλλ' ἔστι μὲν[8] ἡμῖν, ὦ ἄνδρες, ἡ ἀρχὴ ἡ πα-
τρῴα[9] πρὸς μὲν μεσημβρίαν μέχρι οὗ διὰ καῦμα οὐ
δύνανται οἰκεῖν ἄνθρωποι, πρὸς δὲ ἄρκτον μέχρι οὗ διὰ
χειμῶνα· τὰ δ' ἐν μέσῳ τούτων πάντα σατραπεύουσιν οἱ
τοῦ ἐμοῦ ἀδελφοῦ φίλοι. Ἢν δ' ἡμεῖς νικήσωμεν, ἡμᾶς 7
δεῖ τοὺς ἡμετέρους φίλους τούτων ἐγκρατεῖς[10] ποιῆσαι.
Ὥστε οὐ τοῦτο δέδοικα μὴ οὐκ ἔχω ὅ,τι δῶ ἑκάστῳ τῶν
φίλων, ἂν εὖ γένηται, ἀλλὰ μὴ οὐκ ἔχω ἱκανοὺς οἷς δῶ[11].
Ὑμῶν δὲ τῶν Ἑλλήνων καὶ στέφανον ἑκάστῳ χρυσοῦν
δώσω. Οἱ δὲ ταῦτα ἀκούσαντες αὐτοί τε ἦσαν πολὺ προ- 8

---


[1]) Κατὰ τὰ ἄλλα φρονῶ ὅτι καὶ εἶνε αἶσχος νὰ σᾶς εἴπω ὁποῖοι εἶνε οἱ ἄνθρωποι τῆς χώρας, τοὺς ὁποίους θέλετε γνωρίσει. [2]) Κατ' ἀντίθεσιν πρὸς τὸ ἀνθρώποις. Ἀνδρῶν ὄντων = ἐνῷ εἶσθε γενναῖοι. [3]) Νὰ προτιμήσωσι τὰ παρ' ἐμοί, νὰ μείνωσι δηλονότι παρ' ἐμοί, εἰς τὴν Περσίαν, ἀντὶ νὰ ἐπανέλθωσιν οἴκοι=εἰς τὰς πατρίδας των. [4]) Ὑπισχνεῖ (=ὑπισχνεῖσαι) ἀττ. β'. ἑν. προσ. τῆς ὁριστ. [5]) Ἂν δὲ γίνῃ τις εὐτυχία εἰς σέ. [6]) Φασὶν ὅτι οὐδ' εἰ... [7]) Παρακ. εὐκτ., οὐδ' ἐὰν ἤθελες ἐνθυμηθῇ. [8]) Μὲν = μὴν = βεβαίως. [9]) Ἡ ἐπικράτεια τοῦ πατρός μου. [10]) Ἡμᾶς γενέσθαι κυρίους (ἄρχοντας) τούτων τῶν σατραπειῶν. [11]) Εἰς οὓς νὰ δώσω.

θυμότεροι καὶ τοῖς ἄλλοις ἐξήγγελλον. Εἰσῆσαν δὲ παρ
αὐτὸν οἵ τε στρατηγοὶ καὶ τῶν ἄλλων Ἑλλήνων τινὲ
ἀξιοῦντες[1] εἰδέναι τί σφίσιν ἔσται, ἐὰν κρατήσωσιν. Ὁ
9 δὲ ἐμπιπλὰς ἁπάντων τὴν γνώμην ἀπέπεμπε[2]. Παρεκε-
λεύοντο[3] δὲ αὐτῷ πάντες ὅσοιπερ διελέγοντο[4] μὴ μά-
χεσθαι, ἀλλ' ὄπισθεν ἑαυτῶν τάττεσθαι. Ἐν δὲ τῷ καιρῷ
τούτῳ Κλέαρχος ὧδέ πως ἤρετο[5] τὸν Κῦρον
Οἴει γάρ σοι[6] μαχεῖσθαι, ὦ Κῦρε, τὸν ἀδελ-
φόν; Νὴ Δί', ἔφη ὁ Κῦρος, εἴπερ γε Δα-
ρείου καὶ Παρυσάτιδός ἐστι παῖς, ἐμὸς δὲ
ἀδελφὸς, οὐκ ἀμαχεὶ[7] ταῦτ' ἐγὼ λήψομαι



ΠΕΛΤΗ

10 Ἐνταῦθα δὴ ἐν τῇ ἐξοπλισίᾳ[8] ἀριθμὸς ἐγένετο τῶν μὲν
Ἑλλήνων ἀσπὶς[9] μυρία καὶ τετρακοσία, πελτασταὶ δὲ δι-
σχίλιοι καὶ πεν-
τακόσιοι, τῶν δὲ
μετὰ Κύρου βαρ-
βάρων δέκα μυ-
ριάδες καὶ ἅρμα-
τα δρεπανηφόρα
ἀμφὶ τὰ εἴκοσι.



ΑΡΜΑ ΔΡΕΠΑΝΗΦΟΡΟΝ

11 Τῶν δὲ πολεμίων ἐλέγοντο εἶναι ἑκατὸν καὶ εἴκοσι μυ-
ριάδες[10] καὶ ἅρματα δρεπανηφόρα[11] διακόσια. Ἄλλο

1) Ἐπιθυμοῦντες νὰ μάθωσιν ὁποίαν ἀνταμοιβὴν θὰ ἔχωσιν, ἂ νικήσωσι. 2) Ἐνν. ἅπαντας. 3) Προέτρεπον, συνεβούλευον. 4) Ἐν αὐτῷ. 5) Ἠρώτησε. 6) Στοχάζεσαι τῷ ὄντι ὅτι ὁ ἀδελφός σο θὰ πολεμήσῃ κατὰ σοῦ; 7) Ἄνευ μάχης. 8) Κατὰ τὴν ἐξόπλισι κατὰ τὴν εἰς μάχην προετοιμασίαν. 9) Μετωνυμ. ἀντὶ ἀσπιδο φόροι μύριοι καὶ τετρακόσιοι. 10) Κατὰ τὸν Πλούτ. (Ἀρταξ 13) καὶ Διόδ. (14, 22) ὁ στρατὸς τοῦ βασιλέως ἀνήρχετο εἰς τεσ σαράκοντα μόνον μυριάδας. 11) Ἅρματα δρεπανηφόρα ἐλέγοντο

ὲ ἦσαν ἑξακισχίλιοι ἱππεῖς, ὧν Ἀρταγέρσης ἦρχεν·
ὗτοι δ' αὖ πρὸ αὐτοῦ βασιλέως τεταγμένοι ἦσαν. Τοῦ 12
ὲ βασιλέως στρατεύματος ἦσαν ἄρχοντες [καὶ στρα-
ηγοὶ καὶ ἡγεμόνες] τέτταρες, τριάκοντα μυριάδων
καστος, Ἀβροκόμας, Τισσαφέρνης, Γωβρύας, Ἀρβάκης.
ούτων δὲ παρεγένοντο ἐν τῇ μάχῃ ἐνενήκοντα μυριά-
ες καὶ ἅρματα δρεπανηφόρα ἑκατὸν καὶ πεντήκοντα·
Ἀβροκόμας δὲ ὑστέρησε τῆς μάχης ἡμέραις πέντε[1],
κ Φοινίκης ἐλαύνων. Ταῦτα δὲ ἤγγελλον πρὸς Κῦρον 13
αὐτομολήσαντες [ἐκ τῶν πολεμίων] παρὰ μεγάλου
ασιλέως πρὸ τῆς μάχης, καὶ μετὰ τὴν μάχην οἳ ὕστε-
ον ἐλήφθησαν τῶν πολεμίων ταὐτὰ ἤγγελλον. Ἐντεῦ- 14
εν δὲ Κῦρος ἐξελαύνει σταθμὸν ἕνα παρασάγγας τρεῖς
υντεταγμένῳ τῷ στρατεύματι παντὶ καὶ τῷ Ἑλληνικῷ
αὶ τῷ βαρβαρικῷ· ᾤετο γὰρ ταύτῃ τῇ ἡμέρᾳ μαχεῖσθαι
ασιλέα· κατὰ γὰρ μέσον τὸν σταθμὸν τοῦτον τάφρος
ν ὀρυκτὴ[2] βαθεῖα, τὸ μὲν εὖρος ὀργυιαὶ[3] πέντε, τὸ δὲ
άθος ὀργυιαὶ τρεῖς. Παρετέτατο[4] δὲ ἡ τάφρος ἄνω 15
ιὰ τοῦ πεδίου ἐπὶ δώδεκα παρασάγγας μέχρι τοῦ Μηδίας
είχους.... Ἦν δὲ παρὰ τὸν Εὐφράτην πάροδος στενὴ
ιεταξὺ τοῦ ποταμοῦ καὶ τῆς τάφρου ὡς εἴκοσι ποδῶν τὸ
ὖρος· ταύτην δὲ τὴν τάφρον βασιλεὺς ποιεῖ[5] [μέγας] 16

ιότι πρὸς τοὺς ἄξονας τῶν τροχῶν ὑπῆρχον δρέπανα σιδηρᾶ, μή-
ους δύο περίπου πήχεων. Ὅρα εἰκ. [1]) Ἔφθασε δὲ ὕστερον ἀπὸ
τέντε ἡμέρας μετὰ τὴν μάχην. [2]) Σκαπτή, ἐσκαμμένη, ἐκ τοῦ
ρύσσω = σκάπτω. [3]) Ἀντὶ τῆς γεν. ὀργυιῶν. Ἡ ὀργυιὰ ἦτο
ιέτρον ἐκτάσεως 6—7 ποδῶν. [4]) Χρ. ὑπερσυντελ. τοῦ Παρατεί-
ω. Ἦτο δὲ παρατεταμένη, εἶχε παρεκταθῆ. [5]) Ἱστορ. ἐνεστὼς
ἀντί· ἐποίησεν ἀντὶ ἐρύματος = ὀχυρώματος.

ἀντὶ ἐρύματος, ἐπειδὴ πυνθάνεται Κῦρον προσελαύ-
νοντα. Ταύτην δὴ τὴν πάροδον Κῦρός τε καὶ ἡ στρατι
17 παρῆλθε[1] καὶ ἐγένοντο[2] εἴσω τῆς τάφρου. Ταύτῃ μὲν οὖ
τῇ ἡμέρᾳ οὐκ ἐμαχέσατο βασιλεύς, ἀλλ' ὑποχωρούντω
φανερὰ ἦσαν[3] καὶ ἵππων καὶ ἀνθρώπων ἴχνη πολλά
18 Ἐνταῦθα Κῦρος Σιλανὸν καλέσας τὸν Ἀμπρακιώτη
μάντιν ἔδωκεν αὐτῷ δαρεικοὺς τρισχιλίους, ὅτι τῇ ἑν-
δεκάτῃ ἀπ' ἐκείνης ἡμέρᾳ[4] προθυόμενος εἶπεν αὐτῷ
ὅτι βασιλεὺς οὐ μαχεῖται δέκα ἡμερῶν[5], Κῦρος δ' εἶπεν
Οὐκ ἄρα ἔτι μαχεῖται, εἰ ἐν ταύταις οὐ μαχεῖται ταῖ
ἡμέραις· ἐὰν δ' ἀληθεύσῃς ὑπισχνοῦμαί σοι δέκα τά-
λαντα. Τοῦτο τὸ χρυσίον τότε ἀπέδωκεν, ἐπεὶ παρῆλ-
19 θον αἱ δέκα ἡμέραι. Ἐπεὶ δ' ἐπὶ τῇ τάφρῳ οὐκ ἐκώλυε
βασιλεὺς τὸ Κύρου στράτευμα διαβαίνειν, ἔδοξε κα
Κύρῳ καὶ τοῖς ἄλλοις ἀπεγνωκέναι[6] τοῦ μάχεσθαι· ὥστε
20 τῇ ὑστεραίᾳ Κῦρος ἐπορεύετο ἠμελημένως μᾶλλον. Τῇ
δὲ τρίτῃ ἐπί τε τοῦ ἅρματος καθήμενος τὴν πορείαν
ἐποιεῖτο καὶ ὀλίγους ἐν τάξει ἔχων πρὸ αὐτοῦ, τὸ δὲ
πολὺ αὐτῷ ἀνατεταραγμένον ἐπορεύετο καὶ τῶν ὅπλων
τοῖς στρατιώταις πολλὰ ἐπὶ ἁμαξῶν ἤγετο καὶ ὑποζυγίων.

---

[1]) Διῆλθεν, ἐπέρασε. [2]) Εὑρέθησαν ἐντὸς τῆς τάφρου. [3]) Ἀλλ' ἐφαίνοντο. [4]) Ὅτι τὴν ἑνδεκάτην ἡμέραν ἀπ' ἐκείνης τῆς ἡμέρας. [5]) Ἐντὸς δέκα ἡμερῶν. [6]) Εἶχεν ἀπελπισθῆ τοῦ νὰ μάχηται.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Θάνατος Κύρου νικῶντος.

Καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν[1] καὶ πλη-
σίον ἦν ὁ σταθμὸς ἔνθα ἔμελλε καταλύειν, ἡνίκα[2] Πα-
τηγύας ἀνὴρ Πέρσης τῶν ἀμφὶ Κῦρον πιστῶν προφαί-
νεται[3] ἐλαύνων ἀνὰ κράτος[4] ἱδροῦντι τῷ ἵππῳ, καὶ εὐ-
θὺς πᾶσιν οἷς ἐνετύγχανεν ἐβόα καὶ βαρβαρικῶς καὶ ἑλ-
ληνικῶς[5] ὅτι βασιλεὺς σὺν στρατεύματι πολλῷ προσέρ-
χεται ὡς εἰς μάχην παρεσκευασμένος. Ἔνθα δὴ πολὺς
τάραχος[6] ἐγένετο· αὐτίκα γὰρ ἐδόκουν οἱ Ἕλληνες καὶ 2
πάντες δὲ ἀτάκτοις σφίσιν ἐπιπεσεῖσθαι[7]· Κῦρός τε κα- 3
ταπηδήσας ἀπὸ τοῦ ἅρματος τὸν θώρακα ἐνέδυ καὶ ἀνα-
βὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ εἰς τὰς χεῖρας ἔλαβε, τοῖς
τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι καὶ καθίστα-
σθαι[8] εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον. Ἔνθα δὴ σὺν πολλῇ 4
σπουδῇ καθίσταντο, Κλέαρχος μὲν τὰ δεξιὰ τοῦ κέρατος
ἔχων πρὸς τῷ Εὐφράτῃ ποταμῷ, Πρόξενος δὲ ἐχόμε-
νος[9], οἱ δ' ἄλλοι μετὰ τοῦτον, Μένων δὲ [καὶ τὸ στρά-
τευμα][10] τὸ εὐώνυμον κέρας ἔσχε τοῦ Ἑλληνικοῦ. Τοῦ 5
δὲ βαρβαρικοῦ ἱππεῖς μὲν Παφλαγόνες εἰς χιλίους παρὰ
Κλέαρχον ἔστησαν ἐν τῷ δεξιῷ καὶ τὸ Ἑλληνικὸν πελ-

---


1) Καθ' ἣν ὥραν ἡ ἀγορὰ ἦτο πλήθουσα (=πλήρης ἀνθρώπων). 2) Ὁπόταν. 3) Προβάλλει τρέχων. 4) Μὲ ὅλην τὴν δύναμιν. 5) Βαρβαριστὶ καὶ ἑλληνιστί. 6) Πολλὴ ταραχή. 7) Διότι ἐνόμιζον οἱ Ἑλλ. ὅτι ὁ βασιλεὺς θέλει ἐπιπέσει πάρευθυς (αὐτίκα ἐπιπεσεῖσθαι) κατ' αὐτῶν μὴ παρατεταγμένων εἰς μάχην (ἀτάκτους). 8) Νὰ τοποθετῶνται. 9) Ἐχόμενος τοῦ (ἐνν.) Κλεάρχου, ἑπόμενος αὐτῷ, ἐγγὺς αὐτοῦ. 10) Αὐτοῦ δηλ.

ταστικὸν [1], ἐν δὲ τῷ εὐωνύμῳ Ἀριαῖός τε ὁ Κύρου
6 ὕπαρχος καὶ τὸ ἄλλο βαρβαρικόν, Κῦρος δὲ καὶ οἱ ἱπ-
πεῖς τούτου ὅσον [2] ἑξακόσιοι [κατὰ τὸ μέσον], ὡπλι-
σμένοι θώραξι μέν [3] αὐτοὶ καὶ παραμηριδίοις [4] καὶ
κράνεσι πάντες πλὴν Κύρου· Κῦρος δὲ ψιλὴν [5] ἔχων
τὴν κεφαλὴν εἰς τὴν μάχην καθίστατο [λέγεται δὲ καὶ
τοὺς ἄλλους Πέρσας ψιλαῖς ταῖς κεφαλαῖς ἐν τῷ πο-
7 λέμῳ διακινδυνεύειν]. Οἱ δι' ἵπποι πάντες [οἱ μετὰ
Κύρου] εἶχον καὶ προμετωπίδια καὶ προστερνί-
8 δια [6] εἶχον δὲ καὶ μαχαίρας οἱ ἱππεῖς Ἑλληνικάς. Καὶ
ἤδη τε ἦν μέσον ἡμέρας καὶ οὔπω καταφανεῖς ἦσαν
οἱ πολέμιοι· ἡνίκα δὲ δείλη [7] ἐγίγνετο, ἐφάνη κο-
νιορτὸς ὥσπερ νεφέλη λευκή, χρόνῳ δὲ συχνῷ [8] ὕστε-
ρον ὥσπερ μελανία τις ἐν τῷ πεδίῳ ἐπὶ πολύ. Ὅτε δὲ
ἐγγύτερον ἐγίγνοντο [9] τάχα δή [10] καὶ χαλκός τις ἤστρα-
9 πτε καὶ αἱ λόγχαι καὶ τάξεις [11] καταφανεῖς ἐγίγνοντο. Καὶ
ἦσαν ἱππεῖς μὲν λευκοθώρακες ἐπὶ τοῦ εὐωνύμου τῶν
πολεμίων· Τισσαφέρνης ἐλέγετο τούτων ἄρχειν· ἐχόμε-

---

1) Οἱ Ἕλληνες πελτασταί. 2) Περὶ τοὺς ἑξακοσίους. 3) Ὁ μὲν ἀντιτίθεται πρὸς τὸ κατωτέρω. Οἱ δὲ ἵπποι κτλ. 4) Παραμηρίδιον οὐσιαστ. ἐντθ. καὶ εἰς τὸν πληθυντ. παραμηρίδια καὶ παραμήρια = τὰ θωρακοειδῆ περικαλύμματα τῶν μηρῶν. 5) Γυμνήν, ἀσκεπῆ, ἄνευ δηλ. περικεφαλαίας. Κατὰ τὸν Ἡρόδοτον οἱ βασιλεῖς τῶν Περσῶν δὲν ἔφερον κράνη, ὡς οἱ τῶν Ἑλλήνων, ἀλλὰ τιάρας (κυρβάσεις, Ἡρ. 5.49). 6) Προφύλαγμα, σκέπασμα τοῦ στήθους (= στέρνου). 7) Δείλη = ἡ περασμένη ὥρα ὁποιουδήποτε μέρους τῆς ἡμέρας, διαιρεῖται δὲ εἰς δύο, εἰς δείλην πρωίαν ἢ ἑῴαν καὶ δείλην ὀψίαν (= τὸ ἀπομεσήμερον). 8) Ἐπὶ πολὺν δὲ χρόνον ὕστερον ὡς μαυρίλα (μελανία) ἐκτεινομένη εἰς πολὺ διάστημα ἐπὶ τῆς πεδιάδος. 9) Ὅτε δὲ ἔφθασαν πλησιέστερον. 10) Ταχέως τότε. 11) Καὶ τὰ τάγματα ἐγένοντο καταφανῆ, διεκρίνοντο πλέον καλά.

νοι δὲ[1] γερροφόροι, ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδήρεσι
ξυλίναις ἀσπίσιν. Αἰγύπτιοι δ' οὗτοι ἐλέγοντο εἶναι· ἀλ-
λοι δ' ἱππεῖς, ἄλλοι τοξόται. Πάντες δ' οὗτοι κατὰ ἔθνη
ἐν πλαισίῳ[2] πλήρει ἀνθρώπων ἕκαστον τὸ ἔθνος ἐπο-
ρεύετο. Πρὸ δὲ αὐτῶν ἅρματα διαλείποντα συχνὸν[3] ἀπ' 10
ἀλλήλων τὰ δὴ δρεπανηφόρα καλούμενα· εἶχον δὲ τὰ
δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀποτεταμένα καὶ
ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν[4] ὅτῳ
ἐντυγχάνοιεν. Ἡ δὲ γνώμη ἦν ὡς εἰς τὰς τάξεις τῶν 11
Ἑλλήνων ἐλῶντα[5] καὶ διακόψοντα. Ὁ μέντοι Κῦρος εἶ-
πεν ὅτε καλέσας παρεκελεύετο τοῖς Ἕλλησι τὴν κραυγὴν τῶν βαρβάρων ἀνέχεσθαι, ἐψεύσθη τοῦτο[6]. οὐ γὰρ κραυγῇ 12


ΤΡΟΧΟΙ ΑΡΜΑΤΟΣ ΔΡΕΠΑΝΗΦΟΡΟΥ

ἀλλὰ σιγῇ ὡς ἀνυστὸν[7] καὶ ἡσυχῇ ἐν ἴσῳ[8] καὶ βρα-
δέως προσῇσαν. Καὶ ἐν τούτῳ[9] Κῦρος παρελαύνων αὐτὸς
σὺν Πίγρητι τῷ ἑρμηνεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι τῷ

---

1) Ἐχόμενοι δὲ ἦσαν = κατόπιν αὐτῶν ἠκολούθουν γερροφόροι, ἤτοι σώματα φέροντα μικρὰς ἀσπίδας (γέρρα) περσικάς, πλεγμένας μὲ λιγαριαῖς. 2) Ἡ τετράγωνος παράταξις τῶν στρατιωτῶν. 3) Ἀπέχοντα πολὺ ἀπ' ἀλλήλων. 4) Ὥστε νὰ κατακόπτωσιν ὅντινα ἤθελον ἀπαντήσει. 5) Μέλ. τῆς μετχ. τοῦ ἐλαύνω. Τὸ ἐλῶντα καὶ διακόψαντα ἐτέθησαν κατ' αἰτ. ἀπόλυτον. 6) Τὸ τοῦτο ἀναφέρεται εἰς τὴν διὰ τοῦ ὁ μέντοι κτλ. προηγουμένην πρότασιν. 7) Ὅσον τὸ δυνατόν. 8) Ἐνν. βήματι. Μὲ ἴσον, τακτικὸν βῆμα ἐπλησίασαν (= προσῇσαν). 9) Δηλ. τῷ χρόνῳ.

Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη[1]· κἂν τοῦτ', ἔφη, νικῶ-
§3 μεν, πάνθ' ἡμῖν[2] πεποίηται. Ὁρῶν δὲ ὁ Κλέαρχος τὸ μέσον στῖφος[3] καὶ ἀκούων[4] Κύρου ἔξω ὄντα τοῦ [Ἑλληνικοῦ] εὐωνύμου βασιλέα[5] — τοσοῦτον γὰρ πλήθει περιῆν[6] βασιλεὺς ὥστε μέσον τῶν ἑαυτοῦ ἔχων[7] τοῦ Κύρου εὐωνύμου ἔξω ἦν — ἀλλ' ὅμως ὁ Κλέαρχος οὐκ ἤθελεν ἀποσπάσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος μὴ κυκλωθείη ἑκατέρωθεν[8], τῷ δὲ Κύρῳ
§4 ἀπεκρίνατο ὅτι αὐτῷ μέλοι[9] ὅπως καλῶς ἔχοι[10]. Καὶ ἐν τούτῳ τῷ καιρῷ τὸ μὲν βαρβαρικὸν στράτευμα[11] ὁμαλῶς προῄει[12], τὸ δὲ Ἑλληνικὸν ἔτι ἐν τῷ αὐτῷ[13] μένον συνετάττετο ἐκ τῶν ἔτι προσιόντων[14]. Καὶ ὁ Κῦρος παρελαύνων οὐ πάνυ[15] πρὸς αὐτῷ τῷ στρατεύματι κατεθεᾶτο[16] ἑκατέρωσε ἀποβλέπων εἴς τε τοὺς πολεμίους καὶ
§5 τοὺς φίλους. Ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενοφῶν Ἀθηναῖος, ὑπελάσας[17] ὡς συναντῆσαι ἤρετο εἴ τι

---

1) Ἦτο. 2) Ὑφ' ἡμῶν. Ποιητ. αἴτιον κατὰ δοτ. ἐπὶ χρόνου παρκμ. 3) Το μέσον πλῆθος τῶν (ἑξακισχιλίων) ἱππέων. 4) Παρὰ τοῦ Κύρου. 5) Ὅτι ὁ βασιλεὺς ἦτο πέραν τῆς ἀριστερᾶς πτέρυγος τῶν Ἑλλήνων. 6) Πρτ. τοῦ περίειμι=εἶμαι ἀνώτερος, ὑπερτερῶ, ὑπερέχω. 7) Ἐπαναλαμβάνεται τὸ ὑποκ. Κλέαρχος διότι ἀπεμακρύνθη τοῦ ῥήματος ἕνεκεν τῆς παρενθετικῆς προτάσεως. 8) Μὴ περικυκλωθῇ καὶ ἐκ τῶν δύο μερῶν. 9) Ὅτι αὐτὸς ἔχει τὴν μέλησιν (=τὴν φροντίδα). 10) Καταλληλότερος θὰ ἦτο ὁ μέλ. χρ. ἕξει καθὸ σημαίνων μέλλουσαν ἐνέργειαν. = Πῶς θὰ γίνωσι καλῶς, ὅπως πρέπει. 11) Τοῦ Κύρου. 12) Ἐβάδιζε μὲ κανονικόν, ὁμαλὸν βῆμα. 13) Ἐνν. σημείῳ, τόπῳ. Εἰς τὴν αὐτὴν θέσιν. 14) Ἐκ τῶν προσερχομένων. 15) Ὄχι πολὺ πλησίον του στρατεύματος. 16) Παρετήρει, κατεσκόπει καὶ εἰς τὰ δύο μέρη. 17) Διευθύνας πλαγίως τὸν ἵππον του διὰ νὰ τὸν συναντήσῃ.

παραγγέλλοι ὁ δ' ἐπιστήσας[1] εἶπε καὶ λέγειν ἐκέλευε
πᾶσιν ὅτι καὶ τὰ ἱερὰ καλὰ καὶ τὰ σφάγια καλά[2]. Ταῦτα 16
δὲ λέγων θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος, καὶ
ἤρετο τίς ὁ θόρυβος εἴη. Ὁ δὲ [Κλέαρχος] εἶπεν ὅτι
σύνθημα παρέρχεται δεύτερον ἤδη. Καὶ ὃς[3] ἐθαύμασε τίς
παραγγέλλει καὶ ἤρετο ὅ,τι εἴη τὸ σύνθημα. Ὁ δ' ἀπε-
κρίνατο Ζεὺς σωτὴρ καὶ νίκη. Ὁ δὲ Κῦρος ἀκούσας·
Ἀλλὰ δέχομαί[4] τε, ἔφη, καὶ τοῦτο ἔστω[5]. Ταῦτα δ' 17
εἰπὼν εἰς τὴν αὑτοῦ χώραν[6] ἀπήλαυνε· καὶ οὐκέτι τρία
ἢ τέτταρα στάδια διειχέτην τὼ φάλαγγε ἀπ' ἀλλήλων
ἡνίκα ἐπαιάνιζόν τε οἱ Ἕλληνες καὶ ἤρχοντο ἀντίοι
ἰέναι τοῖς πολεμίοις[7]. Ὡς δὲ πορευομένων[8] ἐξεκύ- 18
μαινέ τι τῆς φάλαγγος[9], τὸ ὑπολειπόμενον ἤρξατο δρό-
μῳ θεῖν[10]· καὶ ἅμα ἐφθέγξαντο πάντες οἷον τῷ Ἐνυα-
λίῳ ἐλελίζουσι[11], καὶ πάντες δὲ ἔθεον. [Λέγουσι δέ τινες
ὡς καὶ ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν[12] φόβον
ποιοῦντες τοῖς ἵπποις.] Πρὶν δὲ τόξευμα[13] ἐξικνεῖσθαι 19
ἐκκλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσι. Καὶ ἐνταῦθα δὴ

---

1) Ἐνν. τὸν ἵππον. Σταματήσας τὸν ἵππον του. 2) Ἱερὰ ἐνταῦθα ἐννοεῖ τὰς ἐκ τῶν σπλάγχνων τῶν ζῴων εἰκασίας, σφάγια δὲ τοὺς διαφόρους οἰωνοὺς τοὺς ἐκ τῶν κινήσεων τοῦ σφαγέντος θύματος ἐξαγομένους. 3) Καὶ αὐτὸς δέ. 4) Τὸ σύνθημα δηλ. 5) Καὶ εἴθε νὰ πραγματοποιηθῇ δηλ. ἡ σωτηρία καὶ ἡ νίκη τοῦ συνθήματος. 6) Ἐπανῆλθεν εἰς τὴν θέσιν του. 7) Καὶ ἤρχιζαν νὰ ἐφορμῶσιν ἐναντίον τῶν πολεμίων. 8) Αὐτῶν, τῶν Ἑλλήνων. 9) Μέρος τι τῆς φάλαγγος ἐξῆλθε τῆς γραμμῆς του, ὡς κῦμα θαλάσσης. 10) Θέω, μέλ. θεύσομαι (καὶ σπαντ. Π.) θεύσω, παρτ. ἔθεον καὶ πλέον οὔ. Τρέχω. 11) Ἐλελίζω=φωνάζω ἐλελεῦ, ἀλαλάζω. Ἐνυάλιος, ἐπίθ. ἀποδιδ. εἰς τὸν Ἄρην, υἱὸν τοῦ Διὸς καὶ τῆς Ἥρας, θεὸν τοῦ πολέμου. Κατὰ τὸν Σουΐδαν οἱ εἰς πόλεμον προσερχόμενοι, ἐφώνουν ἐλελεῦ! 12) Ἔκαμαν κρότον, ἐβρόντησαν. Δουπῶ λεξ. ὀνοματοπ. καὶ ποιητική. 13) Πρὶν φθάσωσιν εἰς διάστημα (βολὴν) τοξεύματος.

ἐδίωκον μὲν κατὰ κράτος οἱ Ἕλληνες ἐβόων δὲ ἀλλή-
20 λοις μὴ θεῖν δρόμῳ, ἀλλ' ἐν τάξει ἕπεσθαι. Τὰ δ' ἅρματα
ἐφέροντο τὰ μὲν δι' αὐτῶν τῶν πολεμίων, τὰ δὲ καὶ διὰ
τῶν Ἑλλήνων κενὰ ἡνιόχων. Οἱ δ' ἐπεὶ προΐδοιεν, διί-
σταντο[1]· ἔστι δ' ὅστις[2] καὶ κατελήφθη ὥσπερ ἐν ἱππο-
δρόμῳ ἐκπλαγείς[3]· καὶ οὐδὲν μέντοι οὐδὲ τοῦτον παθεῖν
ἔφασαν, οὐδ' ἄλλος δὲ τῶν Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ
ἔπαθεν οὐδεὶς οὐδέν, πλὴν ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί
21 τις ἐλέγετο. Κῦρος δ' ὁρῶν τοὺς Ἕλληνας νικῶντας τὸ
καθ' αὑτοὺς[4] καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνού-
μενος ἤδη ὑπὸ τῶν ἀμφ' αὐτόν, οὐδ' ὣς ἐξήχθη διώκειν,
ἀλλὰ συνεσπειραμένην[5] ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακο-
σίων ἱππέων τάξιν ἐπεμελεῖτο ὅ,τι ποιήσει βασιλεύς.
Καὶ γὰρ ᾔδει αὐτὸν ὅτι μέσον ἔχοι τοῦ Περσικοῦ
22 στρατεύματος. Καὶ πάντες δ' οἱ τῶν βαρβάρων ἄρχον-
τες μέσον ἔχοντες τὸ αὑτῶν ἡγοῦνται, νομίζοντες οὕτω
καὶ ἐν ἀσφαλεστάτῳ εἶναι, ἢν ᾖ ἡ ἰσχὺς[6] αὐτῶν ἑκατέ-
ρωθεν, καὶ εἴ τι παραγγεῖλαι χρῄζοιεν, ἡμίσει ἂν χρόνῳ
23 αἰσθάνεσθαι[7] τὸ στράτευμα. Καὶ βασιλεὺς δὴ τότε μέ-
σον ἔχων τῆς αὑτοῦ στρατιᾶς ὅμως ἔξω ἐγένετο τοῦ Κύ-
ρου εὐωνύμου κέρατος. Ἐπεὶ δ' οὐδεὶς αὐτῷ ἐμάχετο
ἐκ τοῦ ἀντίου[8] οὐδὲ τοῖς αὐτοῦ τεταγμένοις ἔμπροσθεν,
24 ἐπέκαμπτεν ὡς εἰς κύκλωσιν[9]. Ἔνθα δὴ Κῦρος δείσας

---

[1]) Ἐπαραμέριζαν, τοὺς ἤνοιγαν δρόμον νὰ περάσωσι. [2]) Ἔστιν ὅστις = εἷς μόνος. [3]) Ζαλισθείς. [4]) Τὸ ἀπέναντι αὐτῶν παρατεταγμένον μέρος τοῦ περσικοῦ στρατεύματος. [5]) Συγκεντρωμένον, συμμαζευμένον τὸ τάγμα. [6]) Ἡ δύναμις, τὸ στράτευμα. [7]) Νὰ τὸ μανθάνῃ. [8]) Ἐκ τοῦ ἐναντίου μέρους. [9]) Ἔκαμνε καμπὴν (= στροφὴν) διὰ νὰ τὸ περικυκλώσῃ.

μὴ ὄπισθεν γενόμενος[1] κατακόψῃ τὸ Ἑλληνικὸν ἐλαύνει
ἀντίος· καὶ ἐμβαλὼν[2] σὺν τοῖς ἑξακοσίοις νικᾷ τοὺς πρὸ
βασιλέως τεταγμένους καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξα-
κισχιλίους, καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ
Ἀρταγέρσην τὸν ἄρχοντα αὐτῶν. Ὡς δ' ἡ τροπὴ ἐγέ- 25
νετο, διασπείρονται καὶ οἱ Κύρου ἑξακόσιοι εἰς τὸ διώ-
κειν ὁρμήσαντες, πλὴν πάνυ ὀλίγοι ἀμφ' αὐτὸν κατε-
λείφθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι. Σὺν τού- 26
τοις δὲ ὢν καθορᾷ βασιλέα καὶ τὸ ἀμφ' ἐκεῖνον στῖφος·
καὶ εὐθὺς οὐκ ἠνέσχετο[3], ἀλλ' εἰπὼν Τὸν ἄνδρα ὁρῶ
ἵετο ἐπ' αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει
διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας[4] ὁ ἰατρὸς, καὶ ἰᾶσθαι
αὐτὸ τὸ τραῦμά φησι. Παίοντα δ' αὐτὸν ἀκοντίζει τις
παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως· καὶ ἐνταῦθα μαχόμενοι[5] 27
καὶ βασιλεὺς καὶ Κῦρος καὶ οἱ ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέ-
ρου, ὁπόσοι μὲν τῶν ἀμφὶ βασιλέα ἀπέθνησκον Κτησίας
λέγει· παρ' ἐκείνῳ γὰρ ἦν· Κῦρος δὲ αὐτός τε ἀπέθανε
καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ' αὐτῷ.
Ἀρταπάτης δ' ὁ πιστότατος αὐτῷ τῶν σκηπτούχων [θε- 28
ράπων] λέγεται, ἐπειδὴ πεπτωκότα εἶδε Κῦρον, κατα-
πηδήσας ἀπὸ τοῦ ἵππου περιπεσεῖν[6] αὐτῷ. Καὶ οἱ μὲν 29
φασι βασιλέα κελεῦσαί τινα ἐπισφάξαι[7] αὐτὸν Κύρῳ, οἱ

1) Ἐλθὼν ὄπισθεν, ἐπιπεσὼν ἐκ τῶν νώτων. 2) Ἐφορμήσας. 3) Μέσ. ἀόρ. β΄. τοῦ ἀνέχομαι=κρατοῦμαι. Δὲν ἐβάσταξεν ἑαυτόν. 4) Ὁ Κτησίας οὗτος ἦτο Ἕλλην ἰατρός, ἐκ τῆς Κνίδου πόλεως τῆς Καρύας, παρὰ Ἀρταξέρξῃ τῷ Μνήμονι, παρευρεθεὶς καὶ γράψας περὶ τῆς μάχης ταύτης, συγγραφεὺς δὲ ἰατρικῶν καὶ γεωγραφικῶν συγγραμμάτων μὴ διασωθέντων. 5) Ὀνομ. ἀπόλ. ἀντὶ τῆς γεν. μαχομένων κτλ. 6) Ἔπεσε καὶ ἐνηγκαλίσθη αὐτόν. 7) Νὰ τὸν σφάξῃ ἐπὶ τοῦ πτώματος τοῦ Κύρου.

δὲ αὐτὸν ἐπισφάξασθαι σπασάμενον τὸν ἀκινάκην[1] εἶχε γὰρ χρυσοῦν· καὶ στρεπτὸν δ' ἐφόρει καὶ ψέλια καὶ τἆλλα ὥσπερ οἱ ἄριστοι Περσῶν· ἐτετίμητο γὰρ ὑπὸ Κύρου δι' εὔνοιαν τε καὶ πιστότητα[2].

ΚΕΦΑΛΑΙΟΝ Θ'.


Κύρου χαρακτήρ.

Κῦρος μὲν οὖν οὕτως ἐτελεύτησεν, ἀνὴρ ὢν Περσῶν τῶν μετὰ Κῦρον τὸν ἀρχαῖον γενομένων βασιλικώτατός τε καὶ ἄρχειν ἀξιώτατος, ὡς παρὰ πάντων ὁμολογεῖται
2 τῶν Κύρου δοκούντων ἐν πείρᾳ γενέσθαι[3]. Πρῶτον μὲν γὰρ ἔτι παῖς ὢν ὅτ' ἐπαιδεύετο καὶ τῷ ἀδελφῷ καὶ σὺν τοῖς ἄλλοις παισί, πάντων πάντα[4] κράτιστος ἐνομίζετο.
3 Πάντες γὰρ οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις[5] παιδεύονται· ἔνθα πολλὴν μὲν σωφροσύνην καταμάθοι ἄν τις, αἰσχρὸν δ' οὐδὲν οὔτ' ἀκοῦσαι
4 οὔτ' ἰδεῖν ἔστι[6]. Θεῶνται δ' οἱ παῖδες καὶ τιμωμένους ὑπὸ βασιλέως καὶ ἀκούουσι, καὶ ἄλλους ἀτιμαζομένους· ὥστε εὐθὺς παῖδες ὄντες μανθάνουσιν ἄρχειν τε καὶ ἄρ-
5 χεσθαι. Ἔνθα Κῦρος αἰδημονέστατος[7] μὲν πρῶτον τῶν ἡλικιωτῶν ἐδόκει εἶναι, τοῖς τε πρεσβυτέροις καὶ τῶν

---

1) Ἀφοῦ σύρῃ τὸν ἀκινάκην (=μάχαιραν περσ., γιαταγάνι). 2) Διὰ τὴν πρὸς τὸν Κῦρον ἐμπιστοσύνην του. 3) Παρ' ἐκείνων ὅσοι ἐγνώρισαν αὐτὸν ἐκ πείρας. 4) Κατὰ πάντα, καθ' ὅλα ἐνομίζετο κράτιστος, ἱκανώτατος. 5) Εἰς τὰ ἀνάκτορα τοῦ βασιλέως. 6) Ἐνν. δυνατόν. 7) Σεμνότατος. —

ἑαυτοῦ ὑποδεεστέρων μᾶλλον πείθεσθαι, ἔπειτα δὲ φιλιπ-
πότατος[1] καὶ τοῖς ἵπποις ἄριστα χρῆσθαι· ἔκρινον δ'
αὐτὸν καὶ τῶν εἰς τὸν πόλεμον ἔργων, τοξικῆς τε καὶ
ἀκοντίσεως, φιλομαθέ-
στατον εἶναι καὶ μελε- 6
τηρότατον[2]. Ἐπεὶ δὲ τῇ
ἡλικίᾳ ἔπρεπε[3], καὶ φι-
λοθηρότατος ἦν καὶ πρὸς
τὰ θηρία μέντοι φιλοκιν-
δυνότατος. Καὶ ἄρκτον
ποτὲ ἐπιφερομένην οὐκ
ἔτρεσεν[4], ἀλλὰ συμπε-
σὼν κατεσπάσθη ἀπὸ τοῦ
ἵππου, καὶ τὰ μὲν ἔπαθεν, ὧν καὶ τὰς ὠτειλὰς[5] εἶχε, τέ-
λος δὲ κατέκανε[6]· καὶ τὸν πρῶτον μέντοι βοηθή-
σαντα πολλοῖς μακαριστὸν ἐποίησεν. Ἐπεὶ δὲ κατεπέμ- 7
φθη ὑπὸ τοῦ πατρὸς σατράπης Λυδίας τε καὶ Φρυγίας
τῆς μεγάλης καὶ Καππαδοκίας, στρατηγὸς δὲ καὶ πάν-
των ἀπεδείχθη οἷς καθήκει[7] εἰς Καστωλοῦ πεδίον ἀθροί-
ζεσθαι, πρῶτον μὲν ἐπέδειξεν αὑτὸν ὅτι περὶ πλείστου
ποιοῖτο[8], [εἴ τῳ σπείσαιτο[9]] καὶ εἴ τῳ συνθοῖτο καὶ εἴ



ΤΟΞΟΝ — ΒΕΛΟΣ

---

1) Ἐνν. τὸ ἐδόκει εἶναι· φίλιππος (φιλῶ—ἵππον), ὁ ἀγαπῶν τοὺς ἵππους, τὴν ἱππασίαν. 2) Ἐπιμελέστατον. 3) Ὅτε δὲ ἦτο ἔφηβος. 4) Ἐφορμῶσαν κατ' αὐτοῦ δὲν ἔφυγεν ἐκ φόβου. 5) Τὰ σημεῖα τῶν ἐπουλωθεισῶν πληγῶν του. 6) Τὴν ἐφόνευσε. 7) Εἰς ὅσους ἦτο διατεταγμένον νὰ συναθροίζωνται εἰς τὴν πεδιάδα τοῦ Καστωλοῦ. 8) Περὶ πολλοῦ ποιοῦμαι = φροντίζω. 9) Εἴτε ἐκεῖνον, μὲ τὸν ὁποῖον ἔκαμνεν εἰρήνην (= σπονδήν, σπένδομαι), εἴτε ἐκεῖνον, μετὰ τοῦ ὁποίου συνεφώνησέ τι (= εἴ τῳ συνθοῖτο.

8 τῳ ὑπόσχοιτό τι, μηδαμῶς ψεύδεσθαι. Καὶ γὰρ οὖν ἐπί-
στευον μὲν αὐτῷ αἱ πόλεις ἐπιτρεπόμεναι, ἐπίστευο
δ' οἱ ἄνδρες· καὶ εἴ τις πολέμιος ἐγένετο, σπεισαμέ
νου Κύρου ἐπίστευε μηδὲν ἂν παρὰ τὰς σπονδὰς πο
9 θεῖν. Τοιγαροῦν ἐπεὶ Τισσαφέρνει ἐπολέμησε, πᾶσ
αἱ πόλεις ἑκοῦσαι Κῦρον εἵλοντο ἀντὶ Τισσαφέρνου
πλὴν Μιλησίων· οὗτοι δὲ ὅτι οὐκ ἤθελε τοὺς φεύ
10 γοντας προέσθαι[1] ἐφοβοῦντο αὐτόν. Καὶ γὰρ ἔργ
ἐπεδείκνυτο καὶ ἔλεγεν ὅτι οὐκ ἄν ποτε προοῖτο, ἐπε
ἅπαξ φίλος αὐτοῖς ἐγένετο, οὐδ' εἰ ἔτι μὲν μείου
11 γένοιντο, ἔτι δὲ κάκιον πράξειαν. Φανερὸς δ' ἦν κο
εἴ τίς τι ἀγαθὸν ἢ κακὸν ποιήσειεν αὐτὸν, νικᾶ
πειρώμενος· καὶ εὐχὴν δέ τινες αὐτοῦ ἐξέφερον[2] ὡ
εὔχοιτο τοσοῦτον χρόνον ζῆν ἔστε[3] νικῴη καὶ τοὺς ε
12 καὶ τοὺς κακῶς ποιοῦντας ἀλεξόμενος. Καὶ γὰρ οὖ
πλεῖστοι δὴ αὐτῷ ἐνί γε ἀνδρὶ τῶν ἐφ' ἡμῶν[4] ἐπεθύ
μησαν καὶ χρήματα καὶ πόλεις καὶ τὰ ἑαυτῶν σώματ
13 προέσθαι. Οὐ μὲν δὴ οὐδὲ τοῦτ' ἄν τις εἴποι ὡς τοὺ
κακούργους καὶ ἀδίκους εἴα καταγελᾶν, ἀλλὰ ἀφει
δέστατα πάντων ἐτιμωρεῖτο· πολλάκις δ' ἦν ἰδεῖν παρ
τὰς στειβομένας[5] ὁδοὺς καὶ ποδῶν καὶ χειρῶν καὶ ὀφθαλ
μῶν στερομένους ἀνθρώπους· ὥστ' ἐν τῇ Κύρου ἀρχῇ
ἐγένετο καὶ Ἕλληνι καὶ βαρβάρῳ μηδὲν ἀδικοῦντι ἀδεῶ
14 πορεύεσθαι ὅπῃ τις ἤθελεν, ἔχοντι ὅ,τι προχωροίη. Τού

[1]) Τοῦ ῥήμ. Προΐημι=παραιτῶ, ἐγκαταλείπω. Τοὺς φεύγοντα =φυγάδας, ἐξορίστους. [2]) Καί τινες διηγοῦντο ὅτι ηὔχοντο ν ζῇ τόσον χρόνον. [3]) Ἔστε (ἐς - τε) ἐπίρ. τοπ. καὶ (ἐντθ.) χρο =ἕως οὗ, ἕως. [4]) Τῶν συγχρόνων μας. [5]) Συχναζομένας, διαβα τικάς. [6]) Ἐπικρατείᾳ. [7]) Ἀδεῶς [ἀ - δέος=φόβος]=ἀφόβως

; μέν τοι ἀγαθοὺς εἰς πόλεμον ὡμολόγητο[1] διαφερόν-
ως τιμᾶν. Καὶ πρῶτον μὲν ἦν αὐτῷ πόλεμος πρὸς Πι-
δας καὶ Μυσούς· στρατευόμενος οὖν καὶ αὐτὸς εἰς
ιύτας τὰς χώρας οὓς ἑώρα ἐθέλοντας κινδυνεύειν,
ιύτους καὶ ἄρχοντας ἐποίει ἧς[2] κατεστρέφετο χώρας,
τειτα δὲ καὶ ἄλλοις δώροις ἐτίμα· ὥστε φαίνεσθαι τοὺς 15
ὲν ἀγαθοὺς εὐδαιμονεστάτους, τοὺς δὲ κακοὺς δού-
ους τούτων ἀξιῶν εἶναι. Τοιγαροῦν πολλὴ ἦν ἀφθονία
ὐτῷ τῶν ἐθελόντων κινδυνεύειν, ὅπου τις οἴοιτο Κῦρον
ἰσθήσεσθαι[3]. Εἴς γε μὴν δικαιοσύνην εἴ τις φανερὸς γέ- 16
οιτο ἐπιδείκνυσθαι βουλόμενος, περὶ παντὸς ἐποιεῖτο
ούτους πλουσιωτέρως ζῆν ποιεῖν[4] τῶν ἐκ τοῦ ἀδίκου[5]
ιλοκερδούντων. Καὶ γὰρ οὖν ἄλλα τε πολλὰ δικαίως
ιὐτῷ διεχειρίζετο καὶ στρατεύματι ἀληθινῷ ἐχρήσατο.
Καὶ γὰρ στρατηγοὶ καὶ λοχαγοί, οἳ χρημάτων ἕνεκα
ιρὸς ἐκεῖνον ἔπλευσαν, ἔγνωσαν κερδαλεώτερον εἶναι
Κύρῳ καλῶς ὑπάρχειν[6] ἢ τὸ κατὰ μῆνα κέρδος. Ἀλλὰ 17
ιὴν[7] εἴ τις γέ τι αὐτῷ προστάξαντι καλῶς ὑπηρετή-
σειεν, οὐδενὶ πώποτε ἀχάριστον εἴασε τὴν προθυμίαν[8].
Τοιγαροῦν κράτιστοι δὴ ὑπηρέται παντὸς ἔργου[9] Κύρῳ

---

1) Ἐνν. τὸ ὑπὸ πάντων (ἢ πᾶσι κατὰ δοτκ. ἐπὶ πρκ. καὶ ὑπερσυντλ.) ὡς ποιητ. αἴτιον τοῦ ὡμολόγητο. 2) Ἐκείνης, ἥν. 3) Ὅπου ἕκαστος ἐνόμισεν ὅτι ἤθελε τὸ μάθει ὁ Κῦρος, ὅτι δηλ. κινδυνεύουσι. 4) Νὰ τοὺς κάμνῃ νὰ ζῶσι. Τὸ ποιεῖν ἤρτηται ἐκ τοῦ περὶ παντὸς ἐποιεῖτο, τὸ δὴ ζῆν ἐκ τοῦ ποιεῖν. 5) Δυνατὸν νὰ ἐνν. τὸ τρόπου. Πλουσιώτερον ἐκείνων ὅσοι ἀγαπῶσι νὰ κερδίζωσι δι' ἀδίκου τρόπου. 6) Νὰ ὑποτάσσωνται εὐπειθῶς εἰς τὸν Κῦρον. 7) Πρὸς τούτοις δέ. 8) Εἰς οὐδένα ποτὲ ἄφινε τὴν προθυμίαν ἄνευ ἀνταμοιβῆς (ἄνευ χάριτος, ἀχάριστον). 9) Ὑπηρέται εἰς πᾶσάν του ἐργασίαν.

19 ἐλέχθησαν γενέσθαι. Εἰ δέ τινα ὁρῴη δεινὸν ὄντα οἰκονόμον ἐκ τοῦ δικαίου καὶ κατασκευάζοντά[1] τε ἧς ἄρχο χώρας καὶ προσόδους ποιοῦντα, οὐδένα ἂν πώποτε ἀφείλετο[2], ἀλλ' ἀεὶ πλείω προσεδίδου· ὥστε καὶ ἡδέως ἐπόνουν καὶ θαρραλέως ἐκτῶντο καὶ ὅσα ἐπέπατό[3] τις ἥκιστα[4] Κῦρον ἔκρυπτεν· οὐ γὰρ φθονῶν τοῖς φανερῶς πλουτοῦσιν ἐφαίνετο, ἀλλὰ πειρώμενος χρῆσθαι
20 τοῖς τῶν ἀποκρυπτομένων χρήμασι. Φίλους γε μὴν ὅσους ποιήσαιτο καὶ εὔνους γνοίη ὄντας καὶ ἱκανοὺς κρίνειε συνεργοὺς εἶναι ὅ,τι τυγχάνοι βουλόμενος κατεργάζεσθαι, ὁμολογεῖται πρὸς[5] πάντων κράτιστος δὴ γενέσθαι
21 θεραπεύειν. Καὶ γὰρ αὐτὸ τοῦτο οὗπερ αὐτὸς ἕνεκα φίλων ᾤετο δεῖσθαι, ὡς συνεργοὺς ἔχοι, καὶ αὐτὸς ἐπειρᾶτο συνεργὸς τοῖς φίλοις κράτιστος εἶναι τούτου ὅτου[6]
22 αἰσθάνοιτο ἕκαστον ἐπιθυμοῦντα. Δῶρα δὲ πλεῖστα μὲν οἶμαι εἷς γε ἀνὴρ[7] ἐλάμβανε διὰ πολλά[8]· ταῦτα δὲ πάντων δὴ μάλιστα τοῖς φίλοις διεδίδου[9], πρὸς τοὺς τρόπους ἑκάστου σκοπῶν καὶ ὅτου μάλιστα ὁρῴη ἕκα-
23 στον δεόμενον. Καὶ ὅσα τῷ σώματι[10] αὐτοῦ πέμποι τις ἢ ὡς εἰς πόλεμον ἢ ὡς εἰς καλλωπισμόν, καὶ περὶ τούτων λέγειν αὐτὸν ἔφασαν[11] ὅτι τὸ μὲν ἑαυτοῦ σῶμα οὐκ

---

1) Ἐφοδιάζοντα διὰ τῶν χρειωδῶν τὴν πόλιν, ἧς ἄρχοι. 2) Ταύτην, τὴν χώραν. 3) Τοῦ ἀχρ. ἐνεστ. Πάομαι, τοῦ ὁποίου εὔχρστ. εἶνε μόνον ὁ ἀόρ. ἐπασάμην καὶ ὁ πρκ (ἀντὶ ἐνεστ.) πέπαμαι = κτάομαι - κτῶμαι, ἔχω τι ὡς κτῆμά μου ἀποκτῶ, ἐξουσιάζω. 4) Ἥκιστα, ἐπιρ. = ὁλότελα. Δὲν τὸ ἀπέκρυπτεν ὅλως διόλου. 5) Ὑπό. 6) Οὗτινος. 7) Εἷς γε ἀνήρ = ὁ μόνος ἄνθρωπος ὅστις κτλ. 8) Οὐδέτ. περιληπτ. Διὰ πολλὰς αἰτίας. 9) Διεμοίραζε. 10) Ἁρμόττοντα τῷ σώματι, διὰ τὴν ἐνδυμασίαν τοῦ σώματος. 11) Ἤκουσαν νὰ λέγῃ αὐτόν.

ἂν δύναιτο τούτοις πᾶσι[1] κοσμηθῆναι, φίλους δὲ κα-
λῶς κεκοσμημένους μέγιστον κόσμον[2] ἀνδρὶ νομίζοι. Καὶ 24
τὸ μὲν τὰ μεγάλα νικᾶν τοὺς φίλους εὖ ποιοῦντα[3] οὐ-
δὲν θαυμαστόν· ἐπειδή γε καὶ δυνατώτερος[4] ἦν· τὸ
δὲ τῇ ἐπιμελείᾳ περιεῖναι τῶν φίλων καὶ τῷ προθυμεῖ-
σθαι χαρίζεσθαι, ταῦτα[5] ἔμοιγε μᾶλλον δοκεῖ ἀγα-
στὰ[6] εἶναι. Κῦρος γὰρ ἔπεμπε βίκους[7] οἴνου ἡμιδεεῖς[8] 25
πολλάκις ὁπότε πάνυ ἡδὺν λάβοι, λέγων ὅτι οὔπω δὴ
πολλοῦ χρόνου τούτου ἡδίονι οἴνῳ ἐπιτύχοι· τοῦτον
οὖν σοὶ ἔπεμψε καὶ δεῖταί σου τήμερον[9] τοῦτον ἐκπιεῖν
σὺν οἷς μάλιστα φιλεῖς[10]. Πολλάκις δὲ χῆνας ἡμιβρώ- 26
τους[11] ἔπεμπε καὶ ἄρτων ἡμίσεα καὶ ἄλλα τοιαῦτα, ἐπι-
λέγειν κελεύων τὸν φέροντα· Τούτοις ἥσθη Κῦρος[12]·
βούλεται οὖν καὶ σὲ τούτων γεύσασθαι. Ὅπου δὲ χιλὸς 27
σπάνιος πάνυ[13] εἴη, αὐτὸς δὲ δύναιτο παρασκευάσασθαι
διὰ τὸ πολλοὺς ἔχειν ὑπηρέτας καὶ διὰ τὴν ἐπιμέλειαν[14],
διαπέμπων ἐκέλευε τοὺς φίλους τοῖς τὰ ἑαυτῶν σώματα
ἄγουσιν ἵπποις ἐμβάλλειν τοῦτον τὸν χιλόν, ὡς μὴ πει-
νῶντες τοὺς ἑαυτοῦ φίλους ἄγωσιν. Εἰ δὲ δή ποτε 28
πορεύοιτο καὶ πλεῖστοι μέλλοιεν ὄψεσθαι, προσκαλῶν

---

1) Ἐνν. τὸ σύστοιχ. ἀντικείμ. τοῖς κόσμοις κατ' αναφ. πρὸς τ. ὅσα... πέμποι τις. 2) Ἐθεώρει μέγιστον στολισμόν. 3) Μετ. προσδιρσ. τοῦ ὑπον. αὐτὸν (τὸν Κῦρον) ὡς ὑποκ. τοῦ νικᾶν. 4) Πλουσιώτερος. 5) Ἀναφ. εἰς τὸ περιεῖναι καὶ προθυμεῖσθαι. 6) Ἀξιοθαύμαστα. 7) Ἀγγεῖον διὰ κρασί. 8) Ἡμιδεὴς (ἡμ.—δέομαι), ὁ ἔχων ἀνάγκην ἄλλου τόσου πρὸς πλήρωσιν, μισός, ἡμιπλήρωτος. 9) Σήμερον. 10) Σὺν ἐκείνοις, οὕς. 11) Μισοφαγωμένας. 12) Αὐτὰ ἤρεσαν εἰς τὸν Κῦρον. 13) Προσδ. τοῦ σπάνιος. 14) Ἐνν. ἑαυτοῦ.

τοὺς φίλους ἐσπουδαιολογεῖτο[1], ὡς δηλοίη[2] οὓς τιμᾷ.
Ὥστε ἐγὼ μέν γε ἐξ ὧν ἀκούω οὐδένα κρίνω ὑπὸ πλειό-
29 νων πεφιλῆσθαι οὔτε Ἑλλήνων οὔτε βαρβάρων. Τεκμή-
ριον δὲ τούτου καὶ τόδε. Παρὰ μὲν Κύρου δούλου ὄν-
τος οὐδεὶς ἀπῄει πρὸς βασιλέα, πλὴν Ὀρόντας ἐπεχεί-
ρησε[3]· καὶ οὗτος δὴ ὃν ᾤετο πιστόν οἱ εἶναι ταχὺ αὐτὸν
ηὗρε Κύρῳ φίλτερον ἢ ἑαυτῷ· παρὰ δὲ βασιλέως πολλοὶ
πρὸς Κῦρον ἀπῆλθον, ἐπειδὴ πολέμιοι ἀλλήλοις ἐγέ-
νοντο, καὶ οὗτοι μέντοι οἱ μάλιστα ὑπ᾽ αὐτοῦ ἀγαπώ-
μενοι, νομίζοντες παρὰ Κύρῳ ὄντες ἀγαθοὶ ἀξιωτέρας
30 ἂν τιμῆς τυγχάνειν ἢ παρὰ βασιλεῖ. Μέγα δὲ τεκμή-
ριον καὶ τὸ ἐν[4] τῇ τελευτῇ τοῦ βίου αὐτῷ γενόμενον
ὅτι[5] καὶ αὐτὸς ἦν ἀγαθὸς καὶ κρίνειν ὀρθῶς ἐδύνατο
31 τοὺς πιστοὺς καὶ εὔνους καὶ βεβαίους. Ἀποθνήσκοντος
γὰρ αὐτοῦ πάντες οἱ περὶ αὐτὸν φίλοι καὶ συντράπεζοι
ἀπέθανον μαχόμενοι [ὑπὲρ Κύρου] πλὴν Ἀριαίου· οὗτος
δὲ τεταγμένος ἐτύγχανεν ἐπὶ τῷ εὐωνύμῳ τοῦ ἱππικοῦ
ἄρχων· ὡς δ᾽ ᾔσθετο Κῦρον πεπτωκότα, ἔφυγεν ἔχων καὶ
τὸ στράτευμα πᾶν οὗ ἡγεῖτο.


---

1) Σπουδῇ διελέγετο, ἐλάλει σοβαρῶς. 2) Τὸ ὡς σημ. τὸν τρό-πον. Διὰ νὰ καταστήσῃ δήλους (φανεροὺς) ἐκείνους, οὓς τι-μᾷ. 3) Τοῦτο, τὸ ἀπιέναι. 4) Κατὰ τὴν τελευτήν, ἐν καιρῷ τῆς τελευτῆς. 5) Ὅλος ὁ διὰ τοῦ ὅτι ἐκφερ. λόγος εἶνε ὑποκ. τοῦ ἐξυπον. ἐστὶν (τεκμήριον).

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Μάχη Ἑλλήνων καὶ βασιλέως.

Ἐνταῦθα δὴ Κύρου ἀποτέμνεται ἡ κεφαλὴ καὶ ἡ χεὶρ δεξιά. Βασιλεὺς δὲ [καὶ οἱ σὺν αὐτῷ] διώκων εἰσπίπτει ἰς τὸ Κύρειον στρατόπεδον· καὶ οἱ μὲν μετὰ Ἀριαίου ὐκέτι ἵστανται ἀλ-ὰ φεύγουσι διὰ τοῦ ὐτῶν στρατοπέδου ἰς τὸν σταθμὸν ἔν-εν ὥρμηντο· τέτ-αρες δ' ἐλέγοντο αρασάγγαι εἶναι ῆς ὁδοῦ.
4 Ἐνταῦ-α[1] διέσχον ἀλλή-ων[2] βασιλεύς τε αὶ οἱ Ἕλληνες ὡς ριάκοντα στάδια, οἱ μὲν[3] διώκοντες τοὺς καθ' αὑτοὺς [ὡς άντα νικῶντες], οἱ δ'[4] ἁρπάζοντες ὡς ἤδη πάντα νικῶν-ες. Ἐπεὶ δ' ᾔσθοντο οἱ μὲν Ἕλληνες ὅτι βασιλεὺς 5
ὺν τῷ στρατεύματι ἐν τοῖς σκευοφόροις εἴη, βασιλεὺς ' αὖ ἤκουσε Τισσαφέρνους ὅτι οἱ Ἕλληνες νικῷεν τὸ



ΟΠΛΙΤΑΙ

---

[1]) Χρον. Τότε. [2]) Ἀπεμακρύνθησαν. [3]) Ἕλληνες. [4]) Ἐνν. ερὶ τὸν βασιλέα.

καθ' αὐτοὺς καὶ εἰς τὸ πρόσθεν οἴχονται διώκοντες, ἔνθα δὴ βασιλεὺς μὲν ἀθροίζει τε τοὺς ἑαυτοῦ καὶ συντάττεται[1], ὁ δὲ Κλέαρχος ἐβουλεύετο Πρόξενον καλέσας, πλησιαίτατος γὰρ ἦν[2], εἰ πέμποιέν τινας ἢ πάντες ἴοιεν
6 ἐπὶ τὸ στρατόπεδον ἀρήξοντες[3]. Ἐν τούτῳ[4] καὶ βασιλεὺς δῆλος ἦν προσιὼν πάλιν ὡς ἐδόκει ὄπισθεν[5]. Καὶ οἱ μὲν Ἕλληνες στραφέντες παρεσκευάζοντο ὡς ταύτῃ προσιόντος καὶ δεξόμενοι[6], ὁ δὲ [βασιλεὺς] ταύτῃ[7] μὲν οὐκ ἦγεν, ᾗ δὲ παρῆλθεν ἔξω τοῦ εὐωνύμου κέρατος ταύτῃ καὶ ἀπῆγεν, ἀναλαβὼν καὶ τοὺς ἐν τῇ μάχῃ [κατὰ τοὺς Ἕλληνας] αὐτομολήσαντας καὶ Τισσαφέρνην
7 καὶ τοὺς σὺν αὐτῷ. Ὁ γὰρ Τισσαφέρνης ἐν τῇ πρώτῃ συνόδῳ[8] οὐκ ἔφυγεν, ἀλλὰ διήλασε[9] παρὰ τὸν ποταμὸν κατὰ τοὺς Ἕλληνας πελταστάς· διελαύνων δὲ κατέκανε μὲν οὐδένα, διαστάντες δ' οἱ Ἕλληνες ἔπαιον καὶ ἠκόντιζον αὐτούς· Ἐπισθένης δὲ Ἀμφιπολίτης[10] ἦρχε τῶν
8 πελταστῶν καὶ ἐλέγετο φρόνιμος γενέσθαι. Ὁ δ' οὖν Τισσαφέρνης ὡς μεῖον ἔχων ἀπηλλάγη, πάλιν μὲν οὐκ ἀναστρέφει, εἰς δε τὸ στρατόπεδον ἀφικόμενος τὸ τῶν Ἑλλήνων ἐκεῖ συντυγχάνει βασιλεῖ, καὶ ὁμοῦ δὴ πάλιν
9 συνταξάμενοι ἐπορεύοντο. Ἐπεὶ δ' ἦσαν κατὰ τὸ εὐώνυμον τῶν Ἑλλήνων κέρας, ἔδεισαν οἱ Ἕλληνες μὴ

---

1) Καὶ παρατάττεται. 2) Διότι ἦτο πολλὰ πλησίον του. 3) Μελ. μετχ. τοῦ Ἀρήγω = βοηθῶ. 4) Χρον. Τότε. 5) Ὄπισθεν αὐτῶν. 6) Διὰ νὰ ἀντισταθῶσι, ν' ἀντιπαραταχθῶσι. 7) Ταύτῃ μὲν (ἐνν.) τῇ ὁδῷ. 8) Κατὰ τὴν πρώτην σύγκρουσιν. 9) Διῆλθε μετὰ τοῦ ἱππικοῦ πρὸς τὸ μέρος τῶν Ἑλλ. πελταστῶν. 10) Ὁ ἐκ τῆς Ἀμφιπόλεως παρὰ τὸν Στρυμόνα τῆς Μακεδονίας κειμένης.

ροσάγοιεν πρὸς τὸ κέρας καὶ περιπτύξαντες[1] ἀμφοτέ-
ωθεν αὐτοὺς κατακόψειαν· καὶ ἐδόκει αὐτοῖς ἀναπτύσ-
ειν[2] τὸ κέρας καὶ ποιήσασθαι ὄπισθεν τὸν ποταμόν.
Ἐν ᾧ δὲ ταῦτα ἐβουλεύοντο, καὶ δὴ βασιλεὺς παρα- 10
ιειψάμενος εἰς τὸ αὐτὸ σχῆμα κατέστησεν ἀντίαν[3] τὴν
άλαγγα ὥσπερ τὸ πρῶτον μαχούμενος συνήει. Ὡς δὲ
ἶδον οἱ Ἕλληνες ἐγγύς τε ὄντας καὶ παρατεταγμένους,
ιῦθις παιανίσαντες[4] ἐπῆσαν πολὺ ἔτι προθυμότερον ἢ
ὸ πρόσθεν[5]. Οἱ δ' αὖ βάρβαροι οὐκ ἐδέχοντο, ἀλλὰ ἐκ 11
πλείονος ἢ τὸ πρόσθεν ἔφευγον· οἱ δ' ἐπεδίωκον μέχρι
ώμης[6] τινός· ἐνταῦθα δ' ἔστησαν οἱ Ἕλληνες· ὑπὲρ 12
άρ τῆς κώμης γήλοφος ἦν, ἐφ' οὗ ἀνεστράφησαν οἱ
ἀμφὶ βασιλέα, πεζοὶ μὲν οὐκέτι, τῶν δὲ ἱππέων ὁ λόφος
ἐνεπλήσθη, ὥστε τὸ ποιούμενον μὴ γιγνώσκειν[7]. Καὶ
τὸ βασίλειον σημεῖον[8] ὁρᾶν ἔφασαν ἀετόν τινα χρυ-
σοῦν ἐπὶ πέλτῃ [ἐπὶ ξύλου] ἀνατεταμένον[9]. Ἐπεὶ δὲ καὶ 13
ἐνταῦθ' ἐχώρουν οἱ Ἕλληνες, λείπουσι δὴ[10] καὶ τὸν λό-
φον οἱ ἱππεῖς· οὐ μὴν ἔτι ἀθρόοι ἀλλ' ἄλλοι ἄλλοθεν[11].
Ἐψιλοῦτο[12] δ' ὁ λόφος τῶν ἱππέων· τέλος δὲ καὶ πάντες
ἀπεχώρησαν. Ὁ οὖν Κλέαρχος οὐκ ἀνεβίβαζεν ἐπὶ τὸν 14
λόφον, ἀλλ' ὑπ' αὐτὸν στήσας τὸ στράτευμα πέμπει

---

1) Περικυκλώσαντες ἐκ τῶν δύο μερῶν. 2) Νὰ ἐξαπλώσωσι. 3) Παρέταξε τὴν φάλαγγα (ἀντίαν) ἀπέναντι τῶν Ἑλλ. 4) Ἀφοῦ ἔψαλον τὸν παιᾶνα (= ᾆσμα ἐμβατήριον πρὸς τὴν τιμὴν τοῦ Ἄρεως ψαλλόμενον πρὸ τῆς μάχης). 5) Ἢ πρότερον. 6) Χωρίου. 7) Ὥστε δὲν ἤξευρον οἱ Ἕλληνες τί συνέβαινεν ὄπισθεν τοῦ λόφου. 8) Τὴν βασιλικὴν σημαίαν. 9) Ἐκτετυλιγμένην. 10) Ἐγκαταλείπουσι τότε. 11) Ὄχι ὅμως ἐν σώματι (ἀθρόοι) ἀλλ' ἄλλοι ἀπὸ ἄλλο μέρος. 12) Ἀπεγυμνοῦτο, ἔμενε κενός, ἔρημος τῶν ἱππέων.

Λύκιον τὸν Συρακόσιον καὶ ἄλλον ἐπὶ τὸν λόφον καὶ
κελεύει κατιδόντας τὰ ὑπὲρ τοῦ λόφου τί ἐστιν ἀπαγγεῖ-
15 λαι. Καὶ ὁ Λύκιος ἤλασέ τε καὶ ἰδὼν ἀπαγγέλλει ὅτι
φεύγουσιν ἀνὰ κράτος. Σχεδὸν δ' ὅτε ταῦτα ἦν καὶ
16 ἥλιος ἐδύετο. Ἐνταῦθα δ' ἔστησαν οἱ Ἕλληνες καὶ θέ-
μενοι τὰ ὅπλα ἀνεπαύοντο· καὶ ἅμα μὲν ἐθαύμαζον ὅτι
οὐδαμοῦ Κῦρος φαίνοιτο οὐδ' ἄλλος ἀπ' αὐτοῦ οὐδεὶς
παρείη· οὐ γὰρ ᾔδεσαν αὐτὸν τεθνηκότα, ἀλλ' εἴκαζον ἢ
διώκοντα οἴχεσθαι ἢ καταληψόμενόν τι προεληλακέναι[1]·
17 καὶ αὐτοὶ ἐβουλεύοντο εἰ αὐτοῦ μείναντες τὰ σκευοφόρα
ἐνταῦθα ἄγοιντο ἢ ἀπίοιεν ἐπὶ τὸ στρατόπεδον. Ἔδο-
ξεν αὐτοῖς ἀπιέναι· καὶ ἀφικνοῦνται ἀμφὶ δορπηστὸν[2]
18 ἐπὶ τὰς σκηνάς. Ταύτης μὲν τῆς ἡμέρας τοῦτο τὸ τέλος
ἐγένετο. Καταλαμβάνουσι δὲ τῶν τε ἄλλων χρημάτων
τὰ πλεῖστα διηρπασμένα καὶ εἴ τι σιτίον ἢ ποτὸν ἦν,
καὶ τὰς ἁμάξας μεστὰς ἀλεύρων καὶ οἴνου, ἃς παρε-
σκευάσατο Κῦρος, ἵνα εἴ ποτε σφοδρὰ τὸ στράτευμα
λάβοι ἔνδεια[3], διαδοίη[4] τοῖς Ἕλλησιν — ἦσαν δ' αὗται
τετρακόσιαι [ὡς ἐλέγοντο] ἅμαξαι—καὶ ταύτας τότε οἱ
19 σὺν βασιλεῖ διήρπασαν. Ὥστε ἄδειπνοι ἦσαν οἱ πλεῖστοι
τῶν Ἑλλήνων· ἦσαν δὲ καὶ ἀνάριστοι[5]· πρὶν γὰρ δὴ
καταλῦσαι τὸ στράτευμα πρὸς ἄριστον βασιλεὺς ἐφάνη.
Ταύτην μὲν οὖν τὴν νύκτα οὕτω διεγένοντο[6].

---

[1]) Ἢ ὅτι προέβη ἐμπρὸς δια νὰ προκαταλάβη κάμμίαν τοποθεσίαν. [2]) Δορπηστός, ἡ ὥρα τοῦ δείπνου (δόρπου). [3]) Στέρησις. [4]) Διὰ νὰ διαμοιράση. [5]) Ἀνάριστος, ὁ μὴ ποιήσας ἄριστον (=γεῦμα), νηστικός. [6]) Διῆλθον οὕτω τὴν νύκτα.

ΒΙΒΛΙΟΝ Β'.

ΑΝΑΧΩΡΗΣΙΣ ΤΩΝ ΜΥΡΙΩΝ

ΚΕΦΑΛΑΙΟΝ Α'.

Οἱ πρέσβεις τοῦ βασιλέως.

Ἅμα δὲ τῇ ἡμέρᾳ συνελθόντες οἱ στρατηγοὶ ἐθαύ- 2
αζον ὅτι Κῦρος οὔτε ἄλλον πέμποι σημανοῦντα ὅ,τι
ρὴ ποιεῖν οὔτε αὐτὸς φαίνοιτο. Ἔδοξεν οὖν αὐτοῖς
υσκευασαμένοις ἃ εἶχον[1] καὶ ἐξοπλισαμένοις προϊέναι
ἰς τὸ πρόσθεν ἕως Κύρῳ συμμίξειαν[2]. Ἤδη δὲ ἐν ὁρμῇ 3
ντων[3] ἅμα ἡλίῳ ἀνέχοντι ἦλθε Προκλῆς ὁ Τευθρα-
ίας ἄρχων, γεγονὼς[4] ἀπὸ Δαμαράτου τοῦ Λάκωνος,
αὶ Γλοῦς ὁ Ταμῶ. Οὗτοι ἔλεγον ὅτι Κῦρος μὲν τέ-
νηκεν, Ἀριαῖος δὲ πεφευγὼς ἐν τῷ σταθμῷ εἴη μετὰ
ῶν ἄλλων βαρβάρων ὅθεν τῇ προτεραίᾳ ὥρμηντο, καὶ
έγοι ὅτι ταύτην μὲν τὴν ἡμέραν περιμενοῖεν αὐτούς,
ὶ μέλλοιεν ἥκειν, τῇ δὲ ἄλλῃ ἀπιέναι φαίη ἐπὶ[5] Ἰωνίας,
ὅθενπερ ἦλθε. Ταῦτα ἀκούσαντες οἱ στρατηγοὶ καὶ οἱ 4
ἄλλοι Ἕλληνες πυνθανόμενοι βαρέως ἔφερον[6]. Κλέαρ-
χος δὲ τάδε εἶπεν· Ἀλλ' ὤφελε[7] μὲν Κῦρος ζῆν· ἐπεὶ

---

1) Ἀφοῦ παρασκευάσωσιν ὅσα (πράγματα) εἶχον. 2) Ἕως οὗ ἤθελον συνενωθῇ μὲ τὸν Κῦρον. 3) Ἤδη δὲ ἐνῷ ἦσαν ἕτοιμοι νὰ ἐξορμήσωσι, νὰ ξεκινήσωσι. 4) Καταγόμενος. 5) Νὰ ἀπέλθῃ εἰς τὴν Ἰωνίαν. 6) Ἐλυποῦντο βαθέως. 7) Καλὸν θὰ ἦτο νὰ ἔζη, εἴθε νὰ ἔζη ὁ Κῦρος.

δὲ τετελεύτηκεν, ἀπαγγέλλετε Ἀριαίῳ ὅτι ἡμεῖς νικῶμέ
τε βασιλέα καὶ ὡς ὁρᾶτε οὐδεὶς ἔτι ἡμῖν μάχεται, κα
εἰ μὴ ὑμεῖς ἤλθετε[1], ἐπορευόμεθα ἂν ἐπὶ βασιλέα
Ἐπαγγελλόμεθα[2] δὲ Ἀριαίῳ, ἐὰν ἐνθάδε ἔλθῃ, εἰς τὸ
θρόνον τὸν βασίλειον καθιεῖν[3] αὐτόν· τῶν γὰρ μάχ
5 νικώντων καὶ τὸ ἄρχειν ἐστί. Ταῦτα εἰπὼν ἀποστέλλε
τοὺς ἀγγέλους[4] καὶ σὺν αὐτοῖς Χειρίσοφον τὸν Λάκων
καὶ Μένωνα τὸν Θετταλόν· καὶ γὰρ αὐτὸς Μένων ἐβού-
6 λετο· ἦν γὰρ φίλος καὶ ξένος Ἀριαίου. Οἱ μὲν ᾤχοντο
Κλέαρχος δὲ περιέμενε· τὸ δὲ στράτευμα ἐπορίζετ
σῖτον[5] ὅπως ἐδύνατο ἐκ τῶν ὑποζυγίων κόπτοντες
τοὺς βοῦς καὶ ὄνους· ξύλοις δὲ ἐχρῶντο μικρὸν προϊόν
τες ἀπὸ τῆς φάλαγγος οὗ[7] ἡ μάχη ἐγένετο τοῖς τ
οἰστοῖς[8] πολλοῖς οὖσιν, οὓς ἠνάγκαζον οἱ Ἕλληνες ἐκ
βάλλειν τοὺς αὐτομολοῦντας παρὰ βασιλέως, καὶ τοῖ
γέρροις καὶ ταῖς ἀσπίσι ταῖς ξυλίναις ταῖς Αἰγυπτίαις
πολλαὶ δὲ καὶ πέλται καὶ ἅμαξαι ἦσαν φέρεσθαι ἔρημο
οὖσαι[9]· οἷς[10] πᾶσι χρώμενοι κρέα ἕψοντες ἤσθιον ἐκεί
7 νην τὴν ἡμέραν. Καὶ ἤδη τε ἦν περὶ πλήθουσαν ἀγο
ρὰν[11] καὶ ἔρχονται παρὰ βασιλέως καὶ Τισσαφέρνου

---

1) Καὶ σεῖς ἂν δὲν ἤρχεσθε, ἡμεῖς ἠθέλομεν βαδίσει κατὰ τ
βασιλέως. 2) Ὑποσχόμεθα. 3) Μέλ. β'. τοῦ καθίζω. Νὰ τὸν κα
θίσωμεν εἰς τὸν βασ. θρόνον. 4) Ἤτοι τὸν Προκλέα καὶ Γλοῦ
5) Εἰς τὴν γενικ. ἔνν. τοῦ τροφάς. 6) Σχῆμα κατὰ σύνεσι
τὸ στράτευμα (ἀντὶ οἱ στρατιῶται) κόπτοντες (= σφάζο
τες). 7) Ἐκεῖ, ὅπου. Ἐπίρ. τοπ. 8) Ὀϊστὸς καὶ ἀττ. οἰστ
(ἐκ τοῦ οἴσω μέλ. τοῦ φέρω), βέλος, σαΐτα. 9) Ἦσαν ἔρημ
= ἐστερημέναι ζῴων, (ὥστε) φέρεσθαι (= ὥστε νὰ σύρωνται
10) Οἷς = τούτοις δέ. Πάντα δὲ ταῦτα (τὰ ξύλα) μεταχειριζόμε
νοι... 11) Ἦν ἤδη ἡ ὥρα, καθ' ἣν πλήθει ἡ ἀγορά.

ρυκες οἱ μὲν ἄλλοι βάρβαροι, ἦν δ' αὐτῶν Φαλῖνος
; Ἕλλην, ὃς ἐτύγχανε παρὰ Τισσαφέρνει ὢν καὶ ἐν-
ιως ἔχων[1]· καὶ γὰρ προσεποιεῖτο[2] ἐπιστήμων εἶναι
ν ἀμφὶ τάξεις τε καὶ ὁπλομαχίαν. Οὗτοι δὲ προσελ- 8
ντες καὶ καλέσαντες τοὺς τῶν Ἑλλήνων ἄρχοντας λέ-
υσιν ὅτι βασιλεὺς κελεύει τοὺς Ἕλληνας, ἐπεὶ νικῶν
γχάνει[3] καὶ Κῦρον ἀπέκτονε, παρα-
ντας τὰ ὅπλα ἰόντας ἐπὶ τὰς βα-
λέως θύρας εὑρίσκεσθαι[4] ἄν τι δύ-
νται ἀγαθόν. Ταῦτα μὲν εἶπον οἱ 9
ισιλέως κήρυκες· οἱ δὲ Ἕλληνες
ιρέως μὲν ἤκουσαν[5], ὅμως δὲ
λέαρχος τοσοῦτον εἶπεν ὅτι οὐ
ὢν νικώντων εἴη τὰ ὅπλα παραδι-
ναι· ἀλλ', ἔφη, ὑμεῖς μέν, ὦ ἄν-
ιες στρατηγοί, τούτοις ἀποκρί-
ισθε ὅ,τι κάλλιστόν τε καὶ ἄρι-
τον ἔχετε[6]· ἐγὼ δὲ αὐτίκα[7] ἥξω. Ἐκάλεσε γάρ τις
ιτὸν τῶν ὑπηρετῶν, ὅπως ἴδοι τὰ ἱερὰ ἐξῃρημένα[8]·
υχε γὰρ θυόμενος. Ἔνθα δὴ ἀπεκρίνατο Κλεάνωρ 10
Ἀρκὰς πρεσβύτατος ὢν ὅτι πρόσθεν ἂν ἀποθάνοιεν[9] ἢ



ΚΗΡΥΞ

---

[1]) Τιμώμενος. [2]) Ἰσχυρίζετο ὅτι ἤξευρεν (= ἐπιστήμων εἶνε)
ν τακτικὴν (τῶν ἀμφὶ τάξεις = τῶν τακτικῶν) καὶ τὴν ὁπλο-
ιχίαν. [3]) Ὁ βασιλεὺς δηλ. τυγχάνει νικῶν = νικᾷ. [4]) Ζητεῖν,
ιολαύειν. [5]) Ἠγανάκτησαν δι' ὅσα ἤκουσαν. [6]) Ἀποκρίθητε
τι ἄριστον ἔχετε ν' ἀποκριθῆτε. [7]) Αὐτοστιγμεί, πάραυτα.
Διὰ νὰ ἴδω τὰ ἱερὰ (= τὰ πρὸς θυσίαν σπλάγχνα τῶν ζῴων)
ῃρημένα (= βγαλμένα ἐκ τῆς κοιλίας τῶν θυμάτων. [9]) Ὅτι
οτιμῶσι νὰ ἀποθάνωσι πρότερον παρὰ νὰ παραδώσωσι τὰ ὅπλα.

τὰ ὅπλα παραδοῖεν· Πρόξενος δὲ ὁ Θηβαῖος· Ἀλλ' ἐγὼ ἔφη, ὦ Φαλῖνε, θαυμάζω πότερα[1] ὡς κρατῶν βασιλεὺ αἰτεῖ τὰ ὅπλα ἢ ὡς διὰ φιλίαν δῶρα. Εἰ μὲν γὰρ ὡ κρατῶν, τί δεῖ αὐτὸν αἰτεῖν καὶ οὐ λαβεῖν ἐλθόντα[2], ε δὲ πείσας βούλεται λαβεῖν, λεγέτω τί ἔσται[3] τοῖς στρατ
11 ώταις, ἐὰν αὐτῷ ταῦτα χαρίσωνται. Πρὸς ταῦτα Φαλῖνο εἶπε· Βασιλεὺς νικᾶν ἡγε ται, ἐπεὶ Κῦρον ἀπέκτον Τίς γὰρ αὐτῷ ἔτι τ ἀρχῆς ἀντιποιεῖται [4]; ν μίζει δὲ καὶ ὑμᾶς ἑαυτο εἶναι, ἔχων ἐν μέσῃ ἑαυτοῦ χώρᾳ καὶ ποτ μῶν ἐντὸς ἀδιαβάτων κ πλῆθος ἀνθρώπων ἐφ' μᾶς δυνάμενος ἀγαγ



ΘΥΣΙΑ

ὅσον οὐδ' εἰ παρέχοι [6] ὑμῖν δύναισθε ἂν ἀποκτεῖνα
12 Μετὰ τοῦτον Θεόπομπος Ἀθηναῖος εἶπεν· Ὦ Φαλῖ νῦν, ὡς σὺ ὁρᾷς, ἡμῖν οὐδὲν ἔστιν ἀγαθὸν ἄλλο μὴ ὅπλα καὶ ἀρετή [7]. Ὅπλα μὲν οὖν ἔχοντες οἰόμε ἂν καὶ τῇ ἀρετῇ χρῆσθαι, παραδόντες δ' ἂν ταῦ καὶ τῶν σωμάτων στερηθῆναι. Μὴ οὖν οἴου [8]

---

1) Διὰ ποίαν αἰτίαν ἐκ τῶν δύο, ὡς κρατῶν (= νικητὴς) β λεὺς ζητεῖ τὰ ὅπλα μας, ἢ ὡς δῶρα φιλικῶς (= διὰ φιλί 2) Καὶ νὰ μὴ ἔλθῃ νὰ τὰ λάβῃ; 3) Τί δίδει εἰς τοὺς σ τιώτας. 4) Τίς τῷ (= αὐτῷ, δοτ. ἀντιπεριπτ.) διαφιλο κεῖ τὴν ἐξουσίαν; 5) Κτῆμα εἶναι, δούλους ἑαυτοῦ. Ὅτι σᾶς εἰς τὴν ἐξουσίαν του. 6) Οὐδ' ἐὰν τοὺς παρέδιδεν εἰς χεῖράς θὰ ἠδύνασθε νὰ τοὺς φονεύσητε. 7) Ἀνδρεία. 8) Μὴ νομίσῃς, πιστεύσῃς.

να ἀγαθὰ ἡμῖν ὄντα ὑμῖν παραδώσειν, ἀλλὰ σὺν
ύτοις καὶ περὶ τῶν ὑμετέρων ἀγαθῶν μαχούμεθα.
κούσας δὲ ταῦτα ὁ Φαλῖνος ἐγέλασε καὶ εἶπεν· Ἀλλὰ 13
λοσόφῳ μὲν ἔοικας[1], ὦ νεανίσκε, καὶ λέγεις οὐκ ἀχά-
τα[2]· ἴσθι μέντοι[3] ἀνόητος ὤν, εἰ οἴει τὴν ὑμετέραν
ετὴν περιγενέσθαι[4] ἂν τῆς βασιλέως δυνάμεως.
λλους δέ τινας ἔφασαν λέγειν ὑπομαλακιζομένους[5] 14
; καὶ Κύρῳ πιστοὶ ἐγένοντο καὶ βασιλεῖ ἂν πολλοῦ
ιοι γένοιντο, εἰ βούλοιτο φίλος γενέσθαι· καὶ εἴτε
λο τι θέλοι χρῆσθαι εἴτε ἐπ' Αἴγυπτον στρατεύειν,
γκαταστρέψαιντ' ἄν[6] αὐτῷ. Ἐν τούτῳ[7] Κλέαρχος ἧκε, 15
ὶ ἠρώτησεν εἰ ἤδη ἀποκεκριμένοι εἶεν[8]. Φαλῖνος δὲ
ολαβὼν εἶπεν· Οὗτοι μὲν, ὦ Κλέαρχε, ἄλλος ἄλλα
γει· σὺ δ' ἡμῖν εἰπὲ τί λέγεις. Ὁ δ' εἶπεν· Ἐγώ σε, 16
Φαλῖνε, ἅσμενος[9] ἑώρακα, οἶμαι δὲ καὶ οἱ ἄλλοι πάν-
ς[10]· σύ τε γὰρ Ἕλλην εἶ καὶ ἡμεῖς[11] τοσοῦτοι ὄντες
ους σὺ ὁρᾷς· ἐν τοιούτοις δὲ ὄντες πράγμασι[12] συμ-
υλευόμεθά σοι τί χρὴ ποιεῖν περὶ ὧν λέγεις. Σὺ οὖν 17
ὸς θεῶν συμβούλευσον ἡμῖν ὅ,τι σοι δοκεῖ κάλλιστον
ὶ ἄριστον εἶναι, καὶ ὅ σοι τιμὴν οἴσει[13] εἰς τὸν ἔπειτα
όνον ἀεὶ λεγόμενον, ὅτι Φαλῖνός ποτε πεμφθεὶς παρὰ

---

1) Ὁμοιάζεις. 2) Ὁμιλεῖς μὲ χάριν. 3) Γνώριζε, μάθε ὅμως.
Ὅτι δύναται νὰ ὑπερτερήσῃ, νὰ νικήσῃ (= περιγενέσθαι ἂν)
ν στρατιωτ. δύναμιν τοῦ βασιλέως. 5) Ὁμιλοῦντας μαλακώτερα,
τά τινος συστολῆς καὶ φόβου. 6) Αὐτήν, τὴν Αἴγυπτον. 7) Ἐν
μεταξύ. 8) Ἂν ἔχωσιν ἕως τώρα ἀποκριθῇ. 9) Μετὰ χαρᾶς.
) Ἔξυπον. τὸ ἄσμενοι ἑωράκασί σε. 11) Ἐσμὲν τοιοῦτοι, δηλ.
λληνες. 12) Εἰς τοιαύτην εὑρισκόμενοι στενόχωρον κατάστασιν.
Μέλ. τοῦ Φέρω. Θέλει σοῦ φέρει, σοῦ προξενήσει τιμήν.

βασιλέως κελεύσων[1] τοὺς Ἕλληνας τὰ ὅπλα παρα
δοῦναι συμβουλευομένοις συνεβούλευσεν αὐτοῖς τάδε[2]
Οἶσθα δὲ ὅτι ἀνάγκη λέγεσθαι ἐν τῇ Ἑλλάδι ἃ ἂν συμ
18 βουλεύσῃς. Ὁ δὲ Κλέαρχος ταῦτα ὑπήγετο[3] βουλόμε
μενος καὶ αὐτὸν τὸν παρὰ βασιλέως πρεσβεύοντα συμ
βουλεῦσαι μὴ παραδοῦναι τὰ ὅπλα, ὅπως εὐέλπιδε
μᾶλλον εἶεν οἱ Ἕλληνες. Φαλῖνος δὲ ὑποστρέψας παρ
19 τὴν δόξαν αὐτοῦ[4] εἶπεν· Ἐγώ, εἰ μὲν τῶν μυρίων ἐλ
πίδων μία τις ὑμῖν ἐστι σωθῆναι πολεμοῦντας βασιλε
συμβουλεύω μὴ παραδιδόναι τὰ ὅπλα· εἰ δέ τοι μηδεμ
σωτηρίας ἐστὶν ἐλπὶς ἄκοντος βασιλέως, συμβουλεύ
20 σώζεσθαι ὑμῖν ὅπῃ δυνατόν[5]. Κλέαρχος δὲ πρὸς ταῦ
εἶπεν· Ἀλλὰ ταῦτα μὲν δὴ σὺ λέγεις· παρ' ἡμῶν
ἀπάγγελλε τάδε, ὅτι ἡμεῖς οἰόμεθα, εἰ μὲν δέοι[6] βασ
λεῖ φίλους εἶναι, πλείονος ἂν ἄξιοι εἶναι φίλοι ἔχοντ
τὰ ὅπλα ἢ παραδόντες ἄλλῳ, εἰ δὲ δέοι πολεμεῖ
ἄμεινον[7] ἂν πολεμεῖν ἔχοντες τὰ ὅπλα ἢ ἄλλῳ παρ
21 δόντες. Ὁ δὲ Φαλῖνος εἶπε· Ταῦτα μὲν δὴ ἀπαγγ
λοῦμεν· ἀλλὰ καὶ τάδε ὑμῖν εἰπεῖν ἐκέλευσε βασιλεὺς
μένουσι μὲν ὑμῖν αὐτοῦ σπονδαὶ εἴησαν[8], προϊοῦσι
καὶ ἀπιοῦσι πόλεμος. Εἴπατε οὖν καὶ περὶ τούτου π
τερα μενεῖτε καὶ σπονδαί εἰσιν ἢ ὡς πολέμου ὄντος π
22 ὑμῶν ἀπαγγελῶ. Κλέαρχος δ' ἔλεξεν· Ἀπάγγελλε τ

---

1) Τελ. μετχ. διὰ νὰ προτρέψῃ τοὺς Ἕλληνας. 2) Ὅσα
μέλλεις νὰ μᾶς συμβουλεύσῃς. 3) Ἐπιτηδείως, πλαγίως τῷ
λησεν οὕτω. 4) Παρὰ τὴν προσδοκίαν (δόξαν) αὐτοῦ (τοῦ Κλε
χου) ἀλλάξας τοὺς λόγους του εἶπε. 5) Ὅπως δύνασθε. 6)
μὲν εἶνε χρεία νὰ γίνωμεν φίλοι τοῦ βασιλέως. 7) Οἰόμεθα. 8)
λει γίνει εἰρήνη πρὸς ὑμᾶς μένοντας.

νυν καὶ περὶ τούτου ὅτι καὶ ἡμῖν ταὐτὰ δοκεῖ[1] ἅπερ καὶ
βασιλεῖ. Τί οὖν ταῦτά ἐστιν; ἔφη ὁ Φαλῖνος. Ἀπε-
κρίνατο[2] Κλέαρχος· Ἢν μὲν μένωμεν, σπονδαί, ἀπιοῦσι
δὲ καὶ προϊοῦσι[3] πόλεμος. Ὁ δὲ πάλιν ἠρώτησε· Σπον- 23
δὰς ἢ πόλεμον ἀπαγγελῶ; Κλέαρχος δὲ ταὐτὰ πάλιν
ἀπεκρίνατο· Σπονδαὶ μὲν[4] μένουσιν, ἀπιοῦσι δὲ καὶ προϊ-
οῦσι πόλεμος. Ὅ,τι δὲ ποιήσοι οὐ διεσήμηνε[5].

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Συμμαχία πρὸς Ἀριαῖον.

Φαλῖνος μὲν δὴ ᾤχετο[6] καὶ οἱ σὺν αὐτῷ. Οἱ δὲ παρὰ
Ἀριαίου ἧκον[7] Προκλῆς καὶ Χειρίσοφος· Μένων δὲ
αὐτοῦ ἔμενε παρὰ Ἀριαίῳ· οὗτοι δὲ ἔλεγον ὅτι πολλοὺς
φαίη Ἀριαῖος εἶναι Πέρσας ἑαυτοῦ βελτίους, οὓς οὐκ
ἂν ἀνασχέσθαι αὐτοῦ βασιλεύοντος[8]· ἀλλ᾽ εἰ βούλεσθε
συναπιέναι, ἥκειν ἤδη κελεύει[9] τῆς νυκτός[10]. Εἰ δὲ μή,
αὔριον πρῴ[11] ἀπιέναι φησίν. Ὁ δὲ Κλέαρχος εἶπεν· 2
Ἀλλ᾽ οὕτω χρὴ ποιεῖν[12]· ἐὰν μὲν ἥκωμεν[13], ὥσπερ λέ-

---

[1]) Τὴν αὐτὴν ἔχομεν γνώμην μὲ τὸν βασιλέα. [2]) Σχ. ἀσύνδ. [3]) Ἐνν. τὸ ἡμῖν. [4]) Συμπλρ. Σπονδαὶ μέν εἰσιν ἡμῖν μένουσιν. [5]) Τὶ δὲ ἤθελε κάμει δὲν ἐφανέρωσε σαφῶς. [6]) Παρατ. (ἀντὶ τοῦ ἀορ.) τοῦ οἴχομαι = ἀναχωρῶ. [7]) Σχ. βραχυλ. ἀντί· οἱ δὲ πρὸς Ἀριαῖον πεμφθέντες ἧκον (= ἐπανῆλθον) παρ᾽ Ἀριαίου. [8]) Δὲν θέλουσιν ὑπομείνει (ἀνασχέσθαι), δὲν θέλουσιν ἀνεχθῆ νὰ γίνῃ αὐτὸς βασιλεύς, ὁ Ἀριαῖος δηλ. [9]) Ἐνν. ὑμᾶς. Προτρέπει. [10]) Ἐν καιρῷ τῆς νυκτός. [11]) Πρωί. [12]) Ἐνν. ὑποκμ. τοῦ ποιεῖν τὸ ἡμᾶς. Πρέπει νὰ πράττωμεν ὡς ἑξῆς (= οὕτω, ἀναφερ. εἰς τὰ κατωτέρω). [13]) Ἐνν. τὸ χρὴ ποιεῖν οὕτως, ὡς λέγετε.

γετε· εἰ δὲ μή, πράττετε ὁποῖον ἄν τι ὑμῖν οἴησθε μάλιστα συμφέρειν. Ὅ,τι δὲ ποιήσοι οὐδὲ τούτοις εἶπε.
3 Μετὰ ταῦτα ἤδη ἡλίου δύνοντος συγκαλέσας τοὺς στρατηγοὺς καὶ λοχαγοὺς ἔλεξε τοιάδε· Ἐμοί, ὦ ἄνδρες, θυομένῳ ἰέναι ἐπὶ βασιλέα οὐκ ἐγίγνετο τὰ ἱερά[1]. Καὶ εἰκότως ἄρα οὐκ ἐγίγνετο· ὡς γὰρ ἐγὼ νῦν πυνθάνομαι, ἐν μέσῳ ἡμῶν καὶ βασιλέως ὁ Τίγρης ποταμὸς ἐστι ναυσίπορος, ὃν οὐκ ἂν δυναίμεθα ἄνευ πλοίων διαβῆναι πλοῖα δὲ ἡμεῖς οὐκ ἔχομεν. Οὐ μὲν δὴ αὐτοῦ γε μένειν οἷόν τε· τὰ γὰρ ἐπιτήδεια οὐκ ἔστιν ἔχειν· ἰέναι δὲ παρὰ τοὺς Κύρου φίλους πάνυ καλὰ ἡμῖν τὰ ἱερὰ ἦν.
4 Ὧδε οὖν χρὴ ποιεῖν· ἀπιόντας δειπνεῖν[2] ὅ,τι τις[3] ἔχει·


ΣΑΛΠΙΓΚΤΗΣ

ἐπειδὰν δὲ σημήνῃ τῷ κέρατι[4] ὡς[5] ἀναπαύεσθαι, συσκευάζεσθε· ἐπειδὰν δὲ[6] τὸ δεύτερον, ἀνατίθεσθε ἐπὶ τὰ ὑποζύγια[7]· ἐπὶ δὲ τῷ τρίτῳ[8] ἕπεσθε τῷ ἡγουμένῳ, τὰ μὲν ὑποζύγια ἔχοντες πρὸς[9] τοῦ ποταμοῦ, τὰ δὲ ὅπλα[10] ἔξω.
5 Ταῦτ' ἀκούσαντες οἱ στρατηγοὶ καὶ λοχαγοὶ ἀπῆλθον καὶ ἐποίουν οὕτω. Καὶ τὸ λοιπὸν[11] ὁ μὲν ἦρχεν, οἱ δὲ ἐπείθοντο, οὐχ ἑλόμενοι[12], ἀλλὰ ὁρῶντες ὅτι μόνος

---

1) Εἰς ἐμέ, ὅταν ἐθυσίαζον (θύοντα) τὰ ἱερὰ δὲν ἔδειξαν καλὰ σημεῖα διὰ νὰ πορευθῶμεν ἐναντίον τοῦ βασιλέως. 2) Χρὴ ἡμᾶς ἀπιόντας δειπνεῖν. 3) Ἕκαστος. 4) Ὅταν σημάνῃ (κτυπήσῃ) ἡ σάλπιγξ. 5) Διὰ νά. 6) Ἐνν. τὸ σημήνῃ τὸ δεύτερον (δηλ. σημεῖον). 7) Φορτώσατε τὰ ζῷα. 8) Ἐνν. σημείῳ, ἀκολουθήσατε τὸν ὁδηγόν. 9) Πρὸς τὸ μέρος. 10) Τὰ δὲ ὅπλα = οἱ δὲ ὁπλῖται. 11) Καὶ τὸν λοιπὸν χρόνον, ἔκτοτε. 12) Χωρὶς νὰ τὸν ἐκλέξωσι.

ἐφρόνει οἷα δεῖ[1] τὸν ἄρχοντα, οἱ δ' ἄλλοι ἄπειροι ἦσαν.
[Ἀριθμὸς τῆς ὁδοῦ ἣν ἦλθον ἐξ Ἐφέσου τῆς Ἰωνίας 6
μέχρι τῆς μάχης σταθμοὶ τρεῖς καὶ ἐνενήκοντα, παρασάγγαι πέντε καὶ τριάκοντα καὶ πεντακόσιοι, στάδιοι πεντήκοντα καὶ ἑξακισχίλιοι καὶ μύριοι· ἀπὸ δὲ τῆς μάχης ἐλέγοντο εἶναι εἰς Βαβυλῶνα στάδιοι ἑξήκοντα καὶ
τριακόσιοι.] Ἐντεῦθεν ἐπεὶ σκότος ἐγένετο Μιλτοκύθης 7
μὲν ὁ Θρᾷξ ἔχων τούς τε ἱππέας τοὺς μεθ' ἑαυτοῦ εἰς τετταράκοντα καὶ τῶν πεζῶν Θρᾳκῶν ὡς τριακοσίους
ηὐτομόλησε πρὸς βασιλέα. Κλέαρχος δὲ τοῖς ἄλλοις 8
ἡγεῖτο κατὰ τὰ παρηγγελμένα, οἱ δ' εἵποντο· καὶ ἀφικνοῦνται εἰς τὸν πρῶτον σταθμὸν παρ' Ἀριαῖον καὶ τὴν ἐκείνου στρατιὰν ἀμφὶ μέσας νύκτας· καὶ ἐν τάξει θέμενοι τὰ ὅπλα[2] συνῆλθον οἱ στρατηγοὶ καὶ λοχαγοὶ τῶν Ἑλλήνων παρ' Ἀριαῖον· καὶ ὤμοσαν οἵ τε Ἕλληνες καὶ ὁ Ἀριαῖος καὶ τῶν σὺν αὐτῷ οἱ κράτιστοι μήτε προδώσειν ἀλλήλους σύμμαχοί τε ἔσεσθαι· οἱ δὲ
βάρβαροι προσώμοσαν καὶ ἡγήσεσθαι ἀδόλως. Ταῦτα 9
δ' ὤμοσαν, σφάξαντες ταῦρον καὶ κάπρον καὶ κριὸν εἰς ἀσπίδα[3], οἱ μὲν Ἕλληνες βάπτοντες[4] ξίφος, οἱ δὲ
βάρβαροι λόγχην. Ἐπεὶ δὲ τὰ πιστὰ[5] ἐγένετο, εἶπεν ὁ 10
Κλέαρχος· Ἄγε δή, ὦ Ἀριαῖε, ἐπείπερ ὁ αὐτὸς ὑμῖν στόλος[6] ἐστὶ καὶ ἡμῖν, εἰπὲ τίνα γνώμην ἔχεις περὶ τῆς πορείας, πότερον ἄπιμεν ἥνπερ ἤλθομεν ἢ ἄλλην τινὰ

---

[1]) Φρονεῖν. [2]) Τοὺς ὁπλίτας. [3]) Σφάξαντες δηλ. αὐτὰ ἐπάνω ἀσπίδος ὥστε νὰ χυθῇ τὸ αἷμα ἐπ' αὐτῆς. [4]) Βυθίζοντες εἰς τὸ αἷμα δηλ. [5]) Ἡ διαβεβαίωσις, ὁ διὰ τοῦ θύματος ὅρκος. [6]) Ἐκστρατεία. Ἐπειδὴ πρόκειται νὰ κάμωμεν ὁμοῦ τὴν αὐτὴν ἐκστρατείαν.

11 έννενοηκέναι δοκεῖς ὁδὸν κρείττω. Ὁ δ' εἶπεν· Ἣν μὲν
ἤλθομεν ἀπιόντες[1] παντελῶς ἂν ὑπὸ λιμοῦ ἀπολοίμεθα·
ὑπάρχει γὰρ νῦν ἡμῖν οὐδὲν τῶν ἐπιτηδείων. Ἑπτακαί-
δεκα γὰρ σταθμῶν τῶν ἐγγυτάτω οὐδὲ δεῦρο ἰόντες ἐκ
τῆς χώρας οὐδὲν εἴχομεν λαμβάνειν· ἔνθα δέ τι ἦν[2],
ἡμεῖς διαπορευόμενοι κατεδαπανήσαμεν. Νῦν δ' ἐπινοοῦ-
μεν πορεύεσθαι μακροτέραν μέν, τῶν δ' ἐπιτηδείων οὐκ
12 ἀπορήσομεν. Πορευτέον δ' ἡμῖν[3] τοὺς πρώτους σταθ-
μοὺς ὡς ἂν δυνώμεθα μακροτάτους, ἵνα ὡς πλεῖστον
ἀποσπάσωμεν[4] τοῦ βασιλικοῦ στρατεύματος· ἢν γὰρ
ἅπαξ δύο ἢ τριῶν ἡμερῶν ὁδὸν ἀπόσχωμεν[5], οὐκέτι μὴ
δύνηται βασιλεὺς ἡμᾶς καταλαβεῖν. Ὀλίγῳ μὲν γὰρ στρα-
τεύματι οὐ τολμήσει ἐφέπεσθαι· πολὺν δ' ἔχων στόλον
οὐ δυνήσεται ταχέως πορεύεσθαι· ἴσως δὲ καὶ τῶν ἐπι-
τηδείων σπανιεῖ[6]. Ταύτην, ἔφη, τὴν γνώμην ἔχω ἔγωγε.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐπισιτισμὸς καὶ προμήθεια ἐπιτηδείων.

Ὃ δὲ δὴ ἔγραψα ὅτι βασιλεὺς ἐξεπλάγη τῇ ἐφόδῳ,
τῷδε[7] δῆλον ἦν. Τῇ μὲν γὰρ πρόσθεν ἡμέρᾳ πέμπων[8]
τὰ ὅπλα παραδιδόναι ἐκέλευε, τότε δὲ ἅμα ἡλίῳ ἀνατέλ-
2 λοντι κήρυκας ἔπεμψε περὶ σπονδῶν. Οἱ δ' ἐπεὶ ἦλθον

---

[1]) Ἐὰν μὲν ἀπέλθωμεν διὰ τῆς ὁδοῦ, ἣν ἤλθωμεν. [2]) Ὅπου δὲ ἦτό τι (τῶν ἐπιτηδείων, τῶν πρὸς τροφήν). [3]) Δεῖ πορεύεσθαι ἡμᾶς. [4]) Ἀποσπασθῶμεν. [5]) Ἀπομακρυνθῶμεν. [6]) Μέλ. τοῦ σπανίζω = (ὅταν συντασ. μὲ γεν.) ἔχω σπάνιν (ἔλλειψιν). [7]) Τῷ τρόπῳ. [8]) Ἐνν. τὸ ἄγγελον.

πρὸς τοὺς προφύλακας, ἐζήτουν τοὺς ἄρχοντας. Ἐπειδὴ
δὲ ἀπήγγελλον οἱ προφύλακες, Κλέαρχος τυχὼν τότε
τὰς τάξεις ἐπισκοπῶν[1] εἶπε τοῖς προφύλαξι κελεύειν
τοὺς κήρυκας περιμένειν ἄχρι ἂν σχολάσῃ. Ἐπεὶ δὲ κα- 3
τέστησε[2] τὸ στράτευμα ὥστε καλῶς ἔχειν ὁρᾶσθαι[3]
πάντῃ[4] φάλαγγα πυκνήν, ἐκτὸς δὲ τῶν ὅπλων μηδένα
καταφανῆ εἶναι, ἐκάλεσε τοὺς ἀγγέλους, καὶ αὐτός τε
προῆλθε[5] τούς τε εὐοπλοτάτους ἔχων καὶ εὐειδεστάτους
τῶν αὑτοῦ στρατιωτῶν καὶ τοῖς ἄλλοις στρατηγοῖς ταῦ-
τὰ ἔφρασεν[6]. Ἐπεὶ δὲ ἦν πρὸς τοῖς ἀγγέλοις, ἀνηρώτα 4
τί βούλοιντο. Οἱ δ' ἔλεγον ὅτι περὶ σπονδῶν ἥκοιεν ἄν-
δρες οἵτινες ἱκανοὶ ἔσονται τά[7] τε παρὰ βασιλέως τοῖς
Ἕλλησιν ἀπαγγεῖλαι καὶ τὰ παρὰ τῶν Ἑλλήνων βασιλεῖ.
Ὁ δὲ ἀπεκρίνατο· Ἀπαγγέλλετε τοίνυν αὐτῷ ὅτι μάχης 5
δεῖ πρῶτον· ἄριστον γὰρ οὐκ ἔστιν οὐδ'[8] ὁ τολμήσων
περὶ σπονδῶν λέγειν τοῖς Ἕλλησι μὴ πορίσας[9] ἄριστον.
Ταῦτα ἀκούσαντες οἱ ἄγγελοι ἀπήλαυνον[10], καὶ ἧκον 6
ταχύ· ᾧ[11] καὶ δῆλον ἦν ὅτι ἐγγύς που βασιλεὺς ἦν ἤ
ἄλλος τις ᾧ ἐπετέτακτο[12] ταῦτα πράττειν· ἔλεγον δὲ
ὅτι εἰκότα δοκοῖεν λέγειν βασιλεῖ, καὶ ἥκοιεν ἡγεμόνας[13]
ἔχοντες οἳ αὐτούς, ἐὰν σπονδαὶ γένωνται, ἄξουσιν ἔν-

---

[1]) Ἐπιθεωρῶν τὰ τάγματα. [2]) Παρέταξε. [3]) Ὥστε ὁρᾶσθαι καλῶς ἔχειν. [4]) Πανταχόθεν. [5]) Ἦλθεν εἰς συνάντησιν. [6]) Εἶπε ποιεῖν. [7]) Τὰ παραγγελλόμενα. [8]) Οὐδ ἔστιν ὁ τολμήσων. [9]) Ὑποθ. μετχ. Ἐὰν δὲν προμηθεύσῃ τροφὰς (ἄριστον = φαγητὸν) εἰς τοὺς Ἕλληνας. [10]) Ἐπέστρεψαν ὀπίσω καὶ ἐπανῆλθον ταχέως. [11]) Ἐκ τούτου, ἐκ τοῦ ὅτι δηλ. ἀπῆλθον καὶ ἐπανῆλθον ταχέως. [12]) Εἰς τὸν ὁποῖον εἶχε δοθῆ ἡ διαταγὴ κτλ. [13]) Ὁδηγούς.

7 θεν[1] ἕξουσι τὰ ἐπιτήδεια. Ὁ δὲ ἠρώτα εἰ αὐτοῖς[2] τοῖ
ἀνδράσι σπένδοιτο τοῖς ἰοῦσι καὶ ἀπιοῦσιν, ἢ καὶ τοῖ
ἄλλοις ἔσοιντο σπονδαί. Οἱ δέ· Ἅπασιν[3], ἔφασαν, μέχρ
8 ἂν βασιλεῖ τὰ παρ' ὑμῶν διαγγελθῇ. Ἐπεὶ δὲ ταῦτα εἶ-
πον, μεταστησάμενος[4] αὐτοὺς ὁ Κλέαρχος ἐβουλεύετο[5]
καὶ ἐδόκει[6] τὰς σπονδὰς ποιεῖσθαι [ταχύ τε] καὶ καθ
9 ἡσυχίαν ἐλθεῖν τε ἐπὶ τὰ ἐπιτήδεια καὶ λαβεῖν[7]. Ὁ δὲ
Κλέαρχος εἶπε· Δοκεῖ μὲν κἀμοὶ ταῦτα· οὐ μέντοι ταχύ
γε ἀπαγγελῶ, ἀλλὰ διατρίψω[8] ἔστ' ἂν[9] ὀκνήσωσιν οἱ
ἄγγελοι μὴ ἀποδόξῃ ἡμῖν[10] τὰς σπονδὰς ποιήσασθαι· οἶ-
μαί γε μέντοι, ἔφη, καὶ τοῖς ἡμετέροις στρατιώταις τὸν
αὐτὸν φόβον παρέσεσθαι[11]. Ἐπεὶ δὲ ἐδόκει καιρὸς εἶναι,
ἀπήγγελλεν ὅτι σπένδοιτο, καὶ εὐθὺς ἡγεῖσθαι ἐκέλευε[12]
10 πρὸς τἀπιτήδεια. Καὶ οἱ μὲν[13] ἡγοῦντο, Κλέαρχος μέν-
τοι ἐπορεύετο τὰς μὲν σπονδὰς ποιησόμενος[14], τὸ δὲ
στράτευμα ἔχων ἐν τάξει[15], καὶ αὐτὸς[16] ὠπισθοφυλάκει.
Καὶ ἐνετύγχανον τάφροις καὶ αὐλῶσιν[17] ὕδατος πλήρεσιν
ὡς μὴ[18] δύνασθαι διαβαίνειν ἄνευ γεφυρῶν· ἀλλ' ἐποι-

---

1) Ἐκεῖσε, ἔνθεν θέλουσιν εὕρει (= ἕξουσι) τὰ πρὸς τροφὴν χρειώδη. 2) Μόνοις. 3) Ἐνν. ἔσονται αἱ σπονδαί. 4) Μέσ. διάμ. = παραγγείλας εἰς αὐτοὺς (τοὺς πρέσβεις δηλ. τῶν Περσῶν) νὰ ἀπομακρυνθῶσι. 5) Μετὰ τῶν ἄλλων. 6) Τῷ συμβουλίῳ. 7) Ἐνν. αὐτά. 8) Θέλω ἀργοπορήσει. 9) Ἕως οὗ ὑποπτεύσωσι, φοβηθῶσιν οἱ πρέσβεις (=ἄγγελοι). 10) Μὴ δὲν φανῇ καλὸν εἰς ἡμᾶς νὰ συνθηκολογήσωμεν (τὰς σπονδὰς ποιεῖσθαι). 11) Ὁ αὐτὸς φόβος θέλει γίνει κτλ. 12) Καὶ διέταττε νὰ τοὺς ὁδηγήσωσιν (οἱ μετὰ τῶν ἀγγέλων ὁδηγοὶ) εἰς τὸ νὰ λάβωσι τροφάς. 13) Καὶ οἱ μὲν ὁδηγοὶ προεπορεύοντο ὁδηγοῦντες αὐτούς. 14) Τελ. μετγ. διὰ νά. Ἄλλαι γράφουσι ποιησάμενος (χρ. ἀορ.), ὅπερ, καθ' ἡμᾶς, οὐκ ὀρθόν. 15) Παρατεταγμένον ὡς εἰς μάχην. 16) Καὶ ὁ ἴδιος. 17) Καὶ πήντων τάφρους καὶ χάνδακας. 18) Ὥστε νὰ μή, ὥστε δέν.

ῦντο[1] ἐκ τῶν φοινίκων οὓς εὕρισκον ἐκπεπτωκότας, τοὺς δὲ καὶ ἐξέκοπτον. Καὶ ἐνταῦθα ἦν Κλέαρχον κα- 11 ταμαθεῖν[2] ὡς ἐπεστάτει, ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὸ δόρυ ἔχων, ἐν δὲ τῇ δεξιᾷ βακτηρίαν· καὶ εἴ τις αὐτῷ δοκοίη τῶν πρὸς τοῦτο τεταγμένων βλακεύειν[3], ἐκλεγόμενος τὸν ἐπιτήδειον[4] ἔπαισεν ἄν, καὶ ἅμα αὐτὸς προσελάμβανεν[5] εἰς τὸν πηλὸν ἐμβαίνων· ὥστε πᾶσιν αἰσχύνην εἶναι μὴ οὐ συσπουδάζειν[6]. Καὶ ἐτάχθησαν 12 πρὸς αὐτὸ οἱ [εἰς] τριάκοντα ἔτη γεγονότες[7]· ἐπεὶ δὲ καὶ Κλέαρχον ἑώρων σπουδάζοντα, προσελάμβανον καὶ οἱ πρεσβύτεροι. Πολὺ δὲ μᾶλλον ὁ Κλέαρχος ἔσπευδεν, 13 ὑποπτεύων αὐτὸ τὸ πλήρεις εἶναι τοὺς τάφρους ὕδατος· οὐ γὰρ ἦν ὥρα[8] οἵα τὸ πεδίον ἄρδειν· ἀλλ' ἵνα ἤδη πολλὰ προφαίνοιτο τοῖς Ἕλλησι δεινὰ εἰς τὴν πορείαν, τούτου ἕνεκα βασιλέα ὑπώπτευεν ἐπὶ τὸ πεδίον τὸ ὕδωρ ἀφεικέναι. Πορευόμενοι δὲ ἀφίκοντο εἰς κώμας ὅθεν 14 ἀπέδειξαν οἱ ἡγεμόνες λαμβάνειν τὰ ἐπιτήδεια. Ἐνῆν δὲ σῖτος πολὺς καὶ οἶνος φοινίκων[9] καὶ ὄξος ἑψητὸν[10] ἀπὸ τῶν αὐτῶν. Αὐταὶ δὲ αἱ βάλανοι τῶν φοινίκων οἵας 15 μὲν ἐν τοῖς Ἕλλησιν ἔστιν ἰδεῖν τοῖς οἰκέταις ἀπέκειντο[11], αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι ἦσαν ἀπόλε-

---

1) Δηλ. γεφύρας πρὸς διάβασιν. 2) Νὰ παρατηρήσῃ τις τὸν Κλ. πῶς (=ὡς). 3) Ὅτι ἦτο νωθρός. 4) Ἐνν. παίεσθαι, τὸν ἄξιον τιμωρίας. 5) Ἐλάμβανε μέρος εἰς τὴν ἐργασίαν. 6) Ὥστε ὅλοι νὰ ἐντρέπωνται νὰ μὴ ἔχωσι τὴν αὐτὴν προθυμίαν. 7) Οἱ ἔχοντες συμπεπληρωμένον τὸ τριακοστὸν ἔτος τῆς ἡλικίας των. 8) Διότι δὲν ἦτο ἡ ἐποχὴ τοῦ ἔτους, καθ' ἣν ποτίζουσι τὴν πεδιάδα. 9) Κατεσκευασμένος ἐκ φοινικοβαλάνων. 10) Ὄξος ἑψητὸν ἀπὸ τῶν αὐτῶν = ὄξος ἑβρασμένον ἀπὸ τῶν αὐτῶν καρπῶν. 11) Ἦσαν προωρισμέναι διὰ τοὺς οἰκέτας (ὑπηρέτας).

κτοι[1], θαυμάσιαι[2] τοῦ κάλλους καὶ μεγέθους, ἡ δὲ ὄψις ἠλέκτρου[3] οὐδὲν διέφερε· τὰς δέ[4] τινας ξηραίνοντες τραγήματα[5] ἀπετίθεσαν. Καὶ ἦν καὶ παρὰ πότον[6] ἡδὺ
16 μέν, κεφαλαλγὲς δέ. Ἐνταῦθα καὶ τὸν ἐγκέφαλον[7] τοῦ φοίνικος πρῶτον ἔφαγον οἱ στρατιῶται, καὶ οἱ πολλοὶ ἐθαύμασαν τό τε εἶδος καὶ τὴν ἰδιότητα τῆς ἡδονῆς[8]. Ἦν δὲ σφόδρα καὶ τοῦτο κεφαλαλγές. Ὁ δὲ φοῖνιξ ὅθεν ἐξαιρεθείη ὁ ἐγκέφαλος ὅλος αὐαίνετο[9].

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Φόβοι περὶ τῆς πορείας.

Μετὰ ταῦτα περιέμενον Τισσαφέρνην οἵ τε Ἕλληνες καὶ ὁ Ἀριαῖος ἐγγὺς ἀλλήλων ἐστρατοπεδευμένοι ἡμέρας πλείους ἢ εἴκοσιν. Ἐν δὲ ταύταις ἀφικνοῦνται πρὸς Ἀριαῖον καὶ οἱ ἀδελφοὶ καὶ οἱ ἄλλοι ἀναγκαῖοι[10] καὶ πρὸς τοὺς σὺν ἐκείνῳ Περσῶν τινες, [οἳ] παρεθάρρυνόν τε καὶ δεξιὰς[11] ἐνίοις παρὰ βασιλέως ἔφερον μὴ μνησικακήσειν βασιλέα αὐτοῖς τῆς σὺν Κύρῳ ἐπιστρα-
2 τείας μηδὲ ἄλλου μηδενὸς τῶν παροιχομένων[12]. Τού-

---

1) Ἐκλεκταί. 2) Ἕνεκα τοῦ, κατὰ τὸ κάλλος καὶ τὸ μέγεθος. 3) Τὸ δὲ χρῶμά των ἦτο ὡς κεχλιμπαρίου. 4) Ἄλλας δέ. 5) Τὰ παρέθετον (μετὰ τὸ φαγητὸν) ὡς τραγήματα=φροῦτα. 6) Ἐν καιρῷ τοῦ πότου γλυκὺ μὲν ἀλλὰ προξενοῦν κεφαλόπονον (κεφαλαλγές). 7) Τὸν μυελόν, τὴν καρδιὰν τῶν φοινίκων. 8) Ἡδονῆς = ἡδύτητος, γλυκύτητος. 9) Λέξ. παρὰ ποιηταῖς ἀπαντῶσα = ἐξηραίνετο. 10) Καὶ οἱ λοιποὶ (ἐξ αἵματος) συγγενεῖς. 11) Ἐνταῦθ. εἰς τὴν ἔννοιαν ὑποσχέσεις, διαβεβαιώσεις ἐξ ὀνόματος τοῦ (=παρὰ) βασιλέως, ὅτι δὲν θέλει οὗτος φυλάξει πάθος ἢ ἐκδικηθῇ (=μὴ μνησικακήσειν). 12) Ἐξ ὅσων συνέβησαν ἤδη.

των δὲ γιγνομένων ἔνδηλοι ἦσαν[1] οἱ περὶ Ἀριαῖον
ἧττον[2] προσέχοντες τοῖς Ἕλλησι τὸν νοῦν· ὥστε καὶ
διὰ τοῦτο τοῖς μὲν πολλοῖς τῶν Ἑλλήνων οὐκ ἤρεσκον...
Ἐν δὲ τούτῳ ἧκε Τισσαφέρνης ἔχων τὴν ἑαυτοῦ 8
δύναμιν ὡς εἰς οἶκον ἀπιὼν[3] καὶ Ὀρόντας** τὴν ἑαυτοῦ
δύναμιν· ἦγε δὲ καὶ τὴν θυγατέρα τὴν βασιλέως ἐπὶ
γάμῳ[4]. Ἐντεῦθεν δὲ ἤδη Τισσαφέρνους ἡγουμένου καὶ 9
ἀγορὰν παρέχοντος ἐπορεύοντο· ἐπορεύετο δὲ καὶ Ἀ-
ριαῖος τὸ Κύρου βαρβαρικὸν ἔχων στράτευμα ἅμα Τισ-
σαφέρνει καὶ Ὀρόντᾳ καὶ συνεστρατοπεδεύετο σὺν ἐκεί-
νοις. Οἱ δὲ Ἕλληνες ὑφορῶντες[5] τούτους αὐτοὶ ἐφ' 10
ἑαυτῶν[6] ἐχώρουν ἡγεμόνας ἔχοντες. Ἐστρατοπεδεύοντο
δὲ ἑκάστοτε[7] ἀπέχοντες ἀλλήλων παρασάγγην καὶ πλεῖον·
ἐφυλάττοντο δὲ ἀμφότεροι ὥσπερ πολεμίους ἀλλήλους,
καὶ εὐθὺς τοῦτο ὑποψίαν παρεῖχεν. Ἐνίοτε δὲ καὶ ξυλι- 11
ζόμενοι[8] ἐκ τοῦ αὐτοῦ[9] καὶ χόρτον καὶ ἄλλα τοιαῦτα
συλλέγοντες πληγὰς ἐνέτεινον ἀλλήλοις· ὥστε καὶ τοῦτο 12
ἔχθραν παρεῖχε. Διελθόντες δὲ τρεῖς σταθμοὺς ἀφίκοντο
πρὸς τὸ Μηδίας καλούμενον τεῖχος, καὶ παρῆλθον εἴσω
αὐτοῦ. Ἦν δὲ ᾠκοδομημένον πλίνθοις ὀπταῖς[10] ἐν
ἀσφάλτῳ κειμέναις[11], εὖρος εἴκοσι ποδῶν, ὕψος δὲ ἑκα-
τόν· μῆκος δ' ἐλέγετο εἶναι εἴκοσι παρασαγγῶν· ἀπέχει

---

1) Ἐφαίνοντο. 2) Ὀλιγώτερον προσέχοντες, μὴ προσέχοντες πολύ. 3) Μὲ τὸν σκοπὸν νὰ ἐπιστρέψῃ εἰς τὴν χώραν του. 4) Ὡς σύζυγον. 5) Ὑποπτεύοντες. 6) Αὐτοὶ ἐφ' ἑαυτῶν = μόνοι των. 7) Κάθε φορὰν (ὁσάκις ἦτο ἀνάγκη). 8) Συλλέγοντες ξύλα. 9) Μέρους, τόπου. 10) Μὲ τοῦβλα ψημένα, ὀπτὰ (ἐκ τοῦ ἕψω = ψήνω). 11) Αἱ ὁποῖαι ἦσαν συγκεκολλημέναι ἡ μία ἐπὶ τῆς ἄλλης μὲ ἄσφαλτον (= πίσσαν, κατράμι).

15 δὲ Βαβυλῶνος οὐ πολύ. Μετὰ δὲ τὸ δεῖπνον ἔτυχον ἐν
περιπάτῳ ὄντες πρὸ τῶν ὅπλων[1] Πρόξενος καὶ Ξενοφῶν·
καὶ προσελθὼν ἄνθρωπός τις ἠρώτησε τοὺς προφύλακας
ποῦ ἂν ἴδοι Πρόξενον ἢ Κλέαρχον· Μένωνα δὲ οὐκ
ἐζήτει, καὶ ταῦτα[2] παρ' Ἀριαίου ὢν τοῦ Μένωνος ξέ-
16 νου. Ἐπεὶ δὲ Πρόξενος εἶπεν ὅτι αὐτός εἰμι ὃν ζητεῖς,
εἶπεν ὁ ἄνθρωπος τάδε· Ἔπεμψέ με Ἀριαῖος καὶ Ἀρ-
τάοζος, πιστοὶ ὄντες Κύρῳ καὶ ὑμῖν εὖνοι, καὶ κε-
λεύουσι[3] φυλάττεσθαι μὴ ὑμῖν ἐπιθῶνται τῆς νυκτὸς[4] οἱ
βάρβαροι· ἔστι δὲ στράτευμα πολὺ ἐν τῷ πλησίον παρα-
17 δείσῳ. Καὶ παρὰ τὴν γέφυραν τοῦ Τίγρητος ποταμοῦ
πέμψαι κελεύουσι φυλακήν, ὡς[5] διανοεῖται αὐτὴν λῦ-
σαι[6] Τισσαφέρνης τῆς νυκτός, ἐὰν δύνηται, ὡς μὴ δια-
βῆτε ἀλλ' ἐν μέσῳ ἀποληφθῆτε[7] τοῦ ποταμοῦ καὶ τῆς
18 διώρυχος. Ἀκούσαντες ταῦτα ἄγουσιν αὐτὸν παρὰ τὸν
Κλέαρχον καὶ φράζουσιν ἃ λέγει. Ὁ δὲ Κλέαρχος
19 ἀκούσας ἐταράχθη σφόδρα καὶ ἐφοβεῖτο. Νεανίσκος δέ
τις τῶν παρόντων ἐννοήσας εἶπεν ὡς οὐκ ἀκόλουθα[8]
εἴη τό τε ἐπιθήσεσθαι καὶ λύσειν τὴν γέφυραν. Δῆλον
γὰρ ὅτι ἐπιτιθεμένους ἢ νικᾶν δεήσει[9] ἢ ἡττᾶσθαι.
Ἐὰν μὲν οὖν νικῶσι, τί δεῖ λύειν αὐτοὺς τὴν γέφυραν;
οὐδὲ γὰρ ἂν πολλαὶ γέφυραι ὦσιν ἔχοιμεν ἂν[10] ὅποι

---

[1]) Πρὸ τοῦ μέρους ὅπου ἦσαν τὰ ὅπλα. [2]) Καὶ μάλιστα ἐνῷ ἦτο ἀπεσταλμένος ὑπὸ τοῦ Ἀριαίου, τοῦ φίλου (=ξένου) τοῦ Μένωνος. [3]) Καὶ σᾶς προτρέπουν. [4]) Ἐν καιρῷ νυκτός. [5]) Διότι. [6]) Διαλῦσαι, καταστρέψαι. [7]) Ἀλλὰ μείνητε ἐν τῷ μέσῳ τοῦ ποταμοῦ. [8]) Οὐκ ἀκόλουθα=μὴ σύμφωνα, ἀσυμβίβαστα. [9]) Θὰ εἶνε ἀνάγκη ἢ νὰ νικήσωσιν ἢ νὰ νικηθῶσι. [10]) Δὲν θέλομεν δυνηθῆ ποῦ καταφεύγοντες νὰ σωθῶμεν.

φυγόντες ἡμεῖς σώθῶμεν. Ἐὰν δὲ ἡμεῖς νικῶμεν, λε- 20
λυμένης τῆς γεφύρας οὐχ ἕξουσιν ἐκεῖνοι ὅποι φύγωσιν·
οὐδὲ μὴν βοηθῆσαι πολλῶν ὄντων πέραν οὐδεὶς αὐτοῖς
δυνήσεται λελυμένης τῆς γεφύρας. Ἀκούσας δὲ ὁ 21
Κλέαρχος ταῦτα ἤρετο τὸν ἄγγελον πόση τις[1] εἴη
χώρα ἡ ἐν μέσῳ τοῦ Τίγρητος καὶ τῆς διώρυχος. Ὁ
δὲ εἶπεν ὅτι πολλὴ καὶ κῶμαι ἔνεισι καὶ πόλεις πολλαὶ
καὶ μεγάλαι. Τότε δὴ καὶ ἐγνώσθη ὅτι οἱ βάρβαροι τὸν 22
ἄνθρωπον ὑποπέμψειαν[2], ὀκνοῦντες[3] μὴ οἱ Ἕλληνες
διελόντες τὴν γέφυραν μείνειαν ἐν τῇ νήσῳ ἐρύματα[4]
ἔχοντες ἔνθεν μὲν τὸν Τίγρητα, ἔνθεν δὲ τὴν διώρυχα·
τὰ δ᾽ ἐπιτήδεια ἔχοιεν ἐκ τῆς ἐν μέσῳ χώρας πολλῆς
καὶ ἀγαθῆς[5] οὔσης καὶ τῶν ἐργασομένων ἐνόντων[6]· εἶτα
δὲ καὶ ἀποστροφὴ[7] γένοιτο εἴ τις βούλοιτο βασιλέα κα-
κῶς ποιεῖν. Μετὰ δὲ ταῦτα ἀνεπαύοντο· ἐπὶ μέντοι 23
τὴν γέφυραν ὅμως φυλακὴν ἔπεμψαν· καὶ οὔτε ἐπέθετο
οὐδεὶς οὐδαμόθεν οὔτε πρὸς τὴν γέφυραν οὐδεὶς ἦλθε
τῶν πολεμίων, ὡς οἱ φυλάττοντες ἀπήγγελλον. Ἐπειδὴ 24
δὲ ἕως[8] ἐγένετο, διέβαινον τὴν γέφυραν ἐζευγμένην
πλοίοις τριάκοντα καὶ ἑπτὰ ὡς οἷόν τε[9] μάλιστα πεφυ-
λαγμένως· ἐξήγγελλον γάρ τινες τῶν παρὰ Τισσαφέρ-
νους Ἑλλήνων ὡς διαβαινόντων μέλλοιεν ἐπιθήσεσθαι.

---

1) Πόση τις = πόση περίπου. 2) Ἔπεμψαν κρυφίως, (ὑπὸ) μὲ πονηρὸν σκοπόν. 3) Φοβούμενοι. 4) Ὀχυρώματα. 5) Εὐφόρου. 6) Καὶ ἐνόντων (=κατοικούντων ἐν αὐτῇ) ἐκείνων οἳ ἐργάσονται (= θέλουσι καλλιεργήσει) αὐτήν. 7) Καταφύγιον ἢ ὁρμητήριον ἤθελε χρησιμεύσει (= γένοιτο) ἡ χώρα αὕτη. 8) Ἕως = ἠώς. αὐγή, ἀνατολή. Ἅμ' ἕω = μὲ τὰ χαράγματα. 9) Ἐνν. τὸ ἦν. Ὡς οἷόν τ' (= δυνατὸν) ἦν, ὅσον τὸ δυνατὸν μετὰ προφυλάξεως (πεφυλαγμένως).

Ἀλλὰ ταῦτα μὲν ψευδῆ ἦν· διαβαινόντων μέντοι ὁ Γλοῦς [αὐτῶν] ἐπεφάνη μετ' ἄλλων σκοπῶν[1] εἰ διαβαίνοιεν τὸν ποταμόν· ἐπειδὴ δὲ εἶδεν, ᾤχετο ἀπελαύνων[2]

25 Ἀπὸ δὲ τοῦ Τίγρητος ἐπορεύθησαν[3] σταθμοὺς τέτταρας παρασάγγας εἴκοσιν ἐπὶ τὸν Φύσκον ποταμόν, τὸ εὖρος πλέθρου· ἐπῆν[4] δὲ γέφυρα. Καὶ ἐνταῦθα ᾤκεῖτο πόλις μεγάλη ὄνομα Ὦπις· πρὸς ἣν ἀπήντησε τοῖς Ἕλλησιν ὁ Κύρου καὶ Ἀρταξέρξου νόθος ἀδελφὸς ἀπὸ Σούσων καὶ Ἐκβατάνων στρατιὰν πολλὴν ἄγων ὡς[5] βοηθήσων βασιλεῖ· καὶ ἐπιστήσας[6] τὸ ἑαυτοῦ
26 στράτευμα παρερχομένους τοὺς Ἕλληνας ἐθεώρει. Ὁ δὲ Κλέαρχος ἡγεῖτο μὲν εἰς δύο, ἐπορεύετο δὲ ἄλλοτε καὶ ἄλλοτε ἐφιστάμενος[7]· ὅσον δὲ [ἂν] χρόνον τὸ ἡγούμενον τοῦ στρατεύματος ἐπιστήσειε, τοσοῦτον ἦν ἀνάγκη χρόνον δι' ὅλου τοῦ στρατεύματος γίγνεσθαι τὴν ἐπίστασιν· ὥστε τὸ στράτευμα καὶ αὐτοῖς τοῖς Ἕλλησι δόξαι πάμπολυ εἶναι, καὶ τὸν Πέρσην ἐκπεπλῆχθαι θεω-
27 ροῦντα. Ἐντεῦθεν δ' ἐπορεύθησαν διὰ τῆς Μηδίας σταθμοὺς ἐρήμους ἓξ παρασάγγας τριάκοντα εἰς τὰς Παρυσάτιδος κώμας τῆς Κύρου καὶ βασιλέως μητρός. Ταύτας Τισσαφέρνης Κύρῳ ἐπεγγελῶν[8] διαρπάσαι τοῖς Ἕλλησιν ἐπέτρεψε πλὴν ἀνδραπόδων[9]. Ἐνῆν δὲ σῖ ος

---

1) Παρατηρῶν. 2) Ἐπέστρεψεν ἔφιππος. 3) Τὸ ὑποκμ. οἱ Ἕλληνες. 4) Ὑπῆρχεν ἐπὶ τοῦ ποταμοῦ (= ἐπῆν) γέφυρα. 5) Μὲ τὸν σκοπὸν νὰ βοηθήσῃ. 6) Σταματήσας. 7) Κανονικώτερον θὰ ἦτο εἰς χρν. παρατ. τῆς ὁριστκ. ἐφίστατο καθὸ συνδ. διὰ τοῦ καί. Σταματῶν. 8) Ἐπ-εγ-γελάω-ῶ. Γελῶ κατά τινος, περιγελῶ. = Διὰ νὰ καταφρονήσῃ τὸν Κῦρον. 9) Ἐκτὸς τῶν αἰχμαλώτων, χωρὶς δηλ. νὰ λάβωσι καὶ αἰχμαλώτους.

πολὺς καὶ πρόβατα καὶ ἄλλα χρήματα[1]. Ἐντεῦθεν δ' 28
ἐπορεύθησαν σταθμοὺς ἐρήμους τέτταρας παρασάγγας εἴκοσι τὸν Τίγρητα ποταμὸν ἐν ἀριστερᾷ ἔχοντες. Ἐν δὲ τῷ πρώτῳ σταθμῷ πέραν τοῦ ποταμοῦ πόλις ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων ὄνομα Καιναί, ἐξ ἧς οἱ βάρβαροι διῆγον[2] ἐπὶ σχεδίαις διφθερίναις ἄρτους, τυρούς, οἶνον.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Παρασπόνδησις Τισσαφέρνους καὶ σφαγὴ τῶν Ἑλλήνων στρατηγῶν.

Μετὰ ταῦτα ἀφικνοῦνται ἐπὶ τὸν Ζαπάταν ποταμόν, τὸ εὖρος τεττάρων πλέθρων. Καὶ ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· ἐν δὲ ταύταις ὑποψίαι μὲν ἦσαν, φανερὰ δὲ οὐδεμία ἐφαίνετο ἐπιβουλή. Ἔδοξεν οὖν τῷ Κλεάρχῳ 2
συγγενέσθαι[3] τῷ Τισσαφέρνει [καὶ] εἴ πως δύναιτο παῦσαι τὰς ὑποψίας πρὶν ἐξ αὐτῶν πόλεμον γενέσθαι· καὶ ἔπεμψέ τινα ἐροῦντα ὅτι συγγενέσθαι αὐτῷ χρῄζει[4]. Ὁ 3
δὲ ἑτοίμως[5] ἐκέλευεν ἥκειν. Ἐπειδὴ δὲ συνῆλθον, λέγει ὁ Κλέαρχος τάδε· Ἐγώ, ὦ Τισσαφέρνη, οἶδα μὲν ἡμῖν ὅρκους γεγενημένους καὶ δεξιὰς δεδομένας μὴ ἀδικήσειν ἀλλήλους· φυλαττόμενον δὲ σέ τε ὁρῶ ὡς πολεμίους ἡμᾶς[6] καὶ ἡμεῖς ὁρῶντες ταῦτα ἀντιφυλαττόμεθα[7]. Ἐπεὶ 4

---

1) Χρειώδη πράγματα. 2) Μετέφερον ἀπὸ τῆς μιᾶς εἰς τὴν ἄλλην ὄχθην τοῦ ποταμοῦ. 3) Νὰ ἔλθῃ εἰς ἐντάμωσιν μὲ τὸν Τισσφρ. 4) Ὅτι ἔχει χρείαν νὰ συνδιαλεχθῇ μετ' αὐτοῦ. 5) Προθύμως. 6) Ἀπὸ ἡμᾶς ὡσὰν ἀπὸ (=ὡς) ἐχθρούς. 7) Προφυλαττόμεθα ἀμοιβαίως, ἐπίσης (=ἀντιφυλαττόμεθα).

δὲ σκοπῶν οὐ δύναμαι οὔτε σὲ αἰσθέσθαι πειρωμενον ἡμᾶς κακῶς ποιεῖν ἐγώ τε σαφῶς οἶδα ὅτι ἡμεῖς γε οὐδὲ ἐπινοοῦμεν τοιοῦτον οὐδὲν, ἔδοξέ μοι εἰς λόγους[1] σοι ἐλθεῖν, ὅπως εἰ δυναίμεθα ἐξέλοιμεν[2] ἀλλήλων τὴν ἀπιστίαν.
5 Καὶ γὰρ οἶδα ἀνθρώπους ἤδη τοὺς μὲν ἐκ διαβολῆς τοὺς δὲ καὶ ἐξ ὑποψίας οἳ φοβηθέντες ἀλλήλους φθάσαι βουλόμενοι[3] πρὶν παθεῖν ἐποίησαν ἀνήκεστα κακὰ τοὺς[4] οὔτε μέλλοντας οὔτ' ἂν βουλομένους[5] τοιοῦτον οὐ-
6 δέν. Τὰς οὖν τοιαύτας ἀγνωμοσύνας[6] νομίζων συνουσίαις[7] μάλιστα ἂν παύεσθαι ἥκω καὶ διδάσκειν[8] σε βού-
7 λομαι ὡς σὺ ἡμῖν οὐκ ὀρθῶς ἀπιστεῖς. Πρῶτον μὲν γὰρ καὶ μέγιστον οἱ θεῶν ἡμᾶς ὅρκοι κωλύουσι πολεμίους εἶναι ἀλλήλοις· ὅστις δὲ τούτων σύνοιδεν αὑτῷ παρημεληκώς, τοῦτον ἐγὼ οὔποτ' ἂν εὐδαιμονίσαιμι. Τὸν γὰρ θεῶν πόλεμον[9] οὐκ οἶδα οὔτ' ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφύγοι οὔτ' εἰς ποῖον ἂν σκότος ἀποδραίη, οὔθ' ὅπως ἂν εἰς ἐχυρὸν χωρίον ἀποσταίη. Πάντῃ γὰρ πάντα τοῖς θεοῖς ὑποχείρια καὶ πανταχῇ
8 πάντων ἴσον οἱ θεοὶ κρατοῦσι. Περὶ μὲν δὴ τῶν θεῶν τε καὶ τῶν ὅρκων οὕτω γιγνώσκω[10], παρ' οὓς[11] ἡμεῖς τὴν φιλίαν συνθέμενοι κατεθέμεθα· τῶν δ' ἀνθρωπίνων σὲ

1) Εἰς ἐξηγήσεις, εἰς συζήτησιν. 2) Ὅπως ἀφαιρέσωμεν. 3) Θέλοντες νὰ προφθάσωσι (νὰ προλάβωσι = φθάσαι) πρὶν πάθωσιν, ἔπραξαν κακὰ ἀθεράπευτα (= ἀνήκεστα, ἐκ τοῦ α στερητ. καὶ ἀκεστός, ἐκ τοῦ ἀκέομαι, μέλ. ἀκέσομαι καὶ ἀκήσομαι, ἀόρ. ἠκεσάμην, πρκ. ἤκεσμαι καὶ ἀκήκεσμαι, ἀόρ. πθ. ἠκέσθην· = ἰατρεύω). 4) Πρὸς τούς. 5). Ἐνν. ποιῆσαι τοιοῦτον (ἀνήκεστον κακόν). 6) Ὑποψίας. 7) Διὰ τῆς συνδιαλέξεως. 8) Νὰ σὲ πληροφορήσω, νὰ σὲ βεβαιώσω. 9) Τὴν τιμωρίαν. 10) Τοιαύτην γνώμην ἔχω. 11) Θεοὺς δηλ.

ἐγὼ ἐν τῷ παρόντι νομίζω μέγιστον εἶναι ἡμῖν ἀγαθόν.
Σὺν μὲν γὰρ σοὶ πᾶσα μὲν ὁδὸς εὔπορος[1], πᾶς δὲ πο- 9
ταμὸς διαβατὸς, τῶν τε ἐπιτηδείων οὐκ ἀπορία· ἄνευ δὲ
σοῦ πᾶσα μὲν διὰ σκότους[2] ἡ ὁδός· οὐδὲν γὰρ αὐτῆς
ἐπιστάμεθα· πᾶς δὲ ποταμὸς δύσπορος, πᾶς δὲ ὄχλος
φοβερὸς, φοβερώτατον δ' ἐρημία· μεστὴ γὰρ πολλῆς
ἀπορίας ἐστίν. Εἰ δὲ δὴ καὶ μανέντες[3] σε κατακτεί- 10
ναιμεν, ἄλλο τι ἂν ἢ τὸν εὐεργέτην κατακτείναντες πρὸς
βασιλέα τὸν μέγιστον ἔφεδρον[4] ἀγωνιζοίμεθα; ὅσων δὲ
δὴ καὶ οἵων ἂν ἐλπίδων ἐμαυτὸν στερήσαιμι, εἰ σέ τι
κακὸν ἐπιχειρήσαιμι ποιεῖν, ταῦτα[5] λέξω. Ἐγὼ γὰρ 11
Κῦρον ἐπεθύμησά μοι φίλον γενέσθαι, νομίζων τῶν τότε
ἱκανώτατον εἶναι εὖ ποιεῖν ὃν βούλοιτο· σὲ δὲ νῦν ὁρῶ
τήν τε Κύρου δύναμιν καὶ χώραν ἔχοντα καὶ τὴν σαυτοῦ
[χώραν] σώζοντα, τὴν δὲ βασιλέως δύναμιν, ᾗ Κῦρος
πολεμίᾳ ἐχρῆτο[6], σοὶ ταύτην σύμμαχον οὖσαν. Τούτων 12
δὲ τοιούτων ὄντων τίς οὕτω μαίνεται ὅστις[7] οὐ βούλε-
ται σοὶ φίλος εἶναι; ἀλλὰ μὴν ἐρῶ γὰρ καὶ ταῦτα ἐξ ὧν
ἔχω ἐλπίδας[8] καὶ σὲ βουλήσεσθε φίλον ἡμῖν εἶναι. Οἶδα 13
μὲν γὰρ ὑμῖν Μυσοὺς λυπηροὺς[9] ὄντας, οὓς νομίζω ἂν
σὺν τῇ παρούσῃ δυνάμει ταπεινοὺς ὑμῖν παρασχεῖν·
οἶδα δὲ καὶ Πισίδας· ἀκούω δὲ καὶ ἄλλα ἔθνη πολλὰ

---

1) Εὐδιάβατος. 2) Σκοτεινή. 3) Ἐὰν δὲ καὶ γενόμενοι μανιώδεις ἠθέλομέν σε φονεύσει. 4) Ἔφεδρος (ἐπὶ — ἕδρα), ὁ ἐφεδρεύων, ὁ ἐνεδρεύων ἢ παραμονεύων, ἑπμν. ἀντίπαλος, ἐχθρός. 5) Ἀναφ. πρὸς τὰ ἐφεξῆς: ἐγὼ γὰρ Κῦρον κτλ. 6) Τὴν ὁποίαν ὁ Κῦρος εἶχεν ἐναντίον του. 7) Τίς τόσον ἐτρελλάθη ὥστε κτλ. 8) Ἔχω ἐλπίδας = ἐλπίζω. 9) Ὅτι εἶνε λυπηροὶ (= πρόξενοι λύπης) ὀχληροὶ πρὸς ὑμᾶς.

τοιαῦτα εἶναι, ἃ οἶμαι ἂν παῦσαι ἐνοχλοῦντα ἀεὶ τῇ ὑμετέρᾳ εὐδαιμονίᾳ. Αἰγυπτίους δὲ, οἷς μάλιστα ὑμᾶς νῦν οἶδα τεθυμωμένους, οὐχ ὁρῶ ποίᾳ δυνάμει συμμάχῳ χρησάμενοι μᾶλλον ἂν κολάσαισθε τῆς νῦν σὺν
14 ἐμοὶ οὔσης. Ἀλλὰ μὴν ἔν γε τοῖς πέριξ οἰκοῦσι σὺ εἰ μὲν βούλοιό τῳ φίλος εἶναι, ὡς μέγιστος ἂν εἴης, εἰ δέ τίς σε λυποίη, ὡς δεσπότης [ἂν] ἀναστρέφοιο ἔχων ἡμᾶς ὑπηρέτας, οἵ σοι οὐκ ἂν τοῦ μισθοῦ ἕνεκα μόνον ὑπηρετοῖμεν ἀλλὰ καὶ τῆς χάριτος ἣν σωθέντες
15 ὑπὸ σοῦ σοὶ ἂν ἔχοιμεν δικαίως. Ἐμοὶ μὲν ταῦτα πάντα ἐνθυμουμένῳ οὕτω δοκεῖ θαυμαστὸν εἶναι τὸ σὲ ἡμῖν ἀπιστεῖν ὥστε καὶ ἥδιστ᾽ ἂν ἀκούσαιμι τὸ ὄνομα[1] τίς οὕτως ἐστὶ δεινὸς λέγειν ὥστε σε πεῖσαι λέγων ὡς ἡμεῖς σοι ἐπιβουλεύομεν. Κλέαρχος μὲν οὖν τοσαῦτα εἶπε· Τισσαφέρνης δὲ ὧδε ἀπημείφθη[2].

16 Ἀλλ᾽ ἥδομαι μὲν, ὦ Κλέαρχε, ἀκούων σου φρονίμους λόγους· ταῦτα γὰρ γιγνώσκων εἴ τι ἐμοὶ κακὸν βουλεύοις, ἅμα ἄν μοι δοκεῖς καὶ σαυτῷ κακόνους[3] εἶναι, ὡς δ᾽ ἂν μάθῃς ὅτι οὐδ᾽ ἂν ὑμεῖς δικαίως οὔτε βασιλεῖ
17 οὔτ᾽ ἐμοὶ ἀπιστοίητε, ἀντάκουσον. Εἰ γὰρ ὑμᾶς ἐβουλόμεθα ἀπολέσαι, πότερά σοι δοκοῦμεν ἱππέων πλήθους ἀπορεῖν ἢ πεζῶν ἢ ὁπλίσεως ἐν ᾗ[4] ὑμᾶς μὲν βλάπτειν
18 ἱκανοὶ οἴημεν ἄν, ἀντιπάσχειν δὲ οὐδεὶς κίνδυνος[5]; ἀλλὰ χωρίων ἐπιτηδείων ὑμῖν ἐπιτίθεσθαι ἀπορεῖν[6] ἄν σοι

---

[1]) Ὥστε καὶ λίαν εὐχαρίστως θέλω ἀκούσει τὸ ὄνομα ἐκείνου ὅ ς κτλ. [2]) Ἀπεκρίθη οὕτως. [3]) Καὶ σαυτῷ κακόνους εἶναι=καὶ κ, τὰ τοῦ ἑαυτοῦ σου μελετᾷς (ἐν νῷ) νὰ πράξῃς κακόν. [4]) Διὰ τῆς ὁποίας (ὁπλίσεως = ὅπλων). [5]) Ἐνν. τὸ εἴη. Οὐδεὶς δὲ κίνδυνος ἤθελεν εἶσθαι νὰ πάθωμεν κακόν τι. [6]) Τὸ ἀπορεῖν ἐξαρ-

δοκοῦμεν; οὐ[1] τοσαῦτα μὲν πεδία ἃ ὑμεῖς φίλια ὄντα
σὺν πολλῷ πόνῳ διαπορεύεσθε, τοσαῦτα δὲ ὄρη ὁρᾶτε
ὑμῖν ὄντα πορευτέα, ἃ ἡμῖν ἔξεστι[2] προκαταλαβοῦσιν
ἄπορα[3] ὑμῖν παρέχειν, τοσοῦτοι δ' εἰσὶ ποταμοὶ ἐφ' ὧν
ἔξεστιν ἡμῖν ταμιεύεσθαι[4] ὁπόσοις ἂν ὑμῶν βουλώμεθα δια-
μάχεσθαι; εἰσὶ δ' αὐτῶν οὓς οὐδ' ἂν παντάπασι διαβαίητε,
εἰ μὴ ἡμεῖς ὑμᾶς διαπορεύοιμεν. Εἰ δ' ἐν πᾶσι τούτοις
ἡττώμεθα, ἀλλὰ τό γέ τοι πῦρ κρεῖττον[5] τοῦ καρποῦ 19
ἐστιν· ὃν ἡμεῖς δυναίμεθ' ἂν κατακαύσαντες λιμὸν ὑμῖν
ἀντιτάξαι, ᾧ[6] ὑμεῖς οὐδ' εἰ πάνυ ἀγαθοὶ εἴητε μάχεσθαι
ἂν δύναισθε. Πῶς ἂν οὖν ἔχοντες τοσούτους πόρους[7]
πρὸς τὸ ὑμῖν πολεμεῖν, καὶ τούτων μηδένα ἡμῖν ἐπι- 20
κίνδυνον, ἔπειτα ἐκ τούτων πάντων τοῦτον ἂν τὸν
τρόπον ἐξελοίμεθα ὃς μόνος μὲν πρὸς θεῶν ἀσεβής,
μόνος δὲ πρὸς ἀνθρώπων αἰσχρός; παντάπασι δὲ ἀπό-
ρων[8] ἐστὶ καὶ ἀμηχάνων καὶ ἐν ἀνάγκῃ ἐχομένων, καὶ 21
τούτων πονηρῶν, οἵτινες ἐθέλουσι δι' ἐπιορκίας τε πρὸς
θεοὺς καὶ ἀπιστίας πρὸς ἀνθρώπους πράττειν τι. Οὐχ
οὕτως ἡμεῖς, ὦ Κλέαρχε, οὔτε ἀλόγιστοι οὔτε ἠλίθιοί

τᾶται ἐκ τοῦ δοκοῦμεν, τὸ δὲ ἐπιτίθεσθαι ἐκ τοῦ ἀπορεῖν.
1) Ἐνν. τὸ ὁρᾶτε ἐκ τῶν κατωτέρω παραλμβ. Οὐχ ὁρᾶτε...;
Δυνατὸν ὅμως νὰ ἐξυπονοηθῇ καὶ τὸ εἰσίν. Δὲν ὑπάρχουσι τόσα
πεδία; κτλ. 2) Ἔξεστιν ἡμῖν = εἶνε δυνατὸν εἰς ἡμᾶς. (Ἀπρσ.
τριτοπρσ. ἔχον ὡς ὑποκμ. τὸ παρέχειν. 3) = Δύσπορα, δυσκολο-
πέραστα. 4) Ταμιεύομαι (μσ.) = παίρνω (ὡς ἀπὸ ταμεῖον) ὅσον
μοῦ χρειάζεται, μὲ οἰκονομίαν, ἐπιμ. ἐνθ. = χωρὶς νὰ ἐξατλῶμεν
τὰς δυνάμεις μας ὅλας νὰ μαχώμεθα καθ' ὅσων θέλομεν ἐξ ὑμῶν).
5) Ἰσχυρότερον (ἐπιμ. ἐνθ. καταστρεπτικόν) τοῦ καρποῦ, (ἀντί·
= τῶν καρπῶν = τῶν σιτηρῶν). 6) Καθ' οὗ (ἐνν. λιμοῦ).
7) Τόσα μέσα. 8) Ἐνν. ἀνθρώπων ἴδιον.

22 ἐσμεν. Ἀλλὰ τί δὴ ὑμᾶς ἐξὸν[1] ἀπολέσαι οὐκ ἐπὶ τοῦτο ἤλθομεν; εὖ ἴσθι ὅτι ὁ ἐμὸς ἔρως τούτου[2] αἴτιος τὸ τοῖς Ἕλλησιν ἐμὲ πιστὸν γενέσθαι[3], καὶ ᾧ Κῦρος ἀνέβη ξενικῷ διὰ μισθοδοσίας πιστεύων τούτῳ ἐμὲ κατα-
23 βῆναι δι' εὐεργεσίας ἰσχυρόν. Ὅσα δ' ἐμοὶ χρήσιμοι ὑμεῖς ἐστε τὰ μὲν καὶ σὺ εἶπας, τὸ δὲ μέγιστον ἐγὼ οἶδα· τὴν μὲν γὰρ ἐπὶ τῇ κεφαλῇ τιάραν βασιλεῖ μόνῳ


ΤΙΑΡΑ

ἔξεστιν ὀρθὴν ἔχειν, τὴν δ' ἐπὶ τῇ καρδίᾳ[4] ἴσως ἂν ὑμῶν παρόντων καὶ ἕτερος εὐπετῶς ἔχοι.

24 Ταῦτα εἰπὼν ἔδοξε τῷ Κλεάρχῳ ἀληθῆ λέγειν· καὶ εἶπεν· Οὐκοῦν, ἔφη, οἵτινες[5] τοιούτων ἡμῖν εἰς φιλίαν ὑπαρχόντων πειρῶνται διαβάλλοντες ποιῆσαι πολεμίους
25 ἡμᾶς ἄξιοί εἰσι τὰ ἔσχατα παθεῖν[6]; Καὶ ἐγὼ μέν γε, ἔφη ὁ Τισσαφέρνης, εἰ βούλεσθέ μοι οἵ τε στρατηγοὶ καὶ οἱ λοχαγοὶ ἐλθεῖν ἐν τῷ ἐμφανεῖ[7], λέξω τοὺς πρὸς ἐμὲ λέγοντας ὡς σὺ ἐμοὶ ἐπιβουλεύεις καὶ τῇ σὺν ἐμοὶ
26 στρατιᾷ. Ἐγὼ δέ, ἔφη ὁ Κλέαρχος, ἄξω πάντας, καὶ

---

1) Αἰτκ. ἀπόλ. Ἐνῷ ἦτο δυνατὸν (=ἐξόν, μτχ. τοῦ ἔξεστι) νὰ σᾶς καταστρέψωμεν, δὲν τὸ ἐπράξαμεν; (=οὐκ ἐπὶ τούτου ἤλθομεν;) 2) Τοῦ ὅτι δηλ. οὐκ ἐπὶ τοῦτο ἤλθομεν. 3) Τὸ γενέσθαι καὶ καταβῆναι ἐπεξηγηματικὰ τοῦ ἐμὸς ἔρως. 4) Τὴν ἐπὶ τῇ καρδίᾳ τιάραν, φρσ. ἡ παρομοίωσις ποιητική. Τὸ μὲν βασιλικὸν στέμμα μόνος ὁ βασιλεὺς δύναται νὰ φέρῃ ἐπὶ τῆς κεφαλῆς, ἀλλὰ τὸ βασιλικὸν φρόνημα, τὴν βασιλικὴν γενναιότητα τῆς καρδίας (=τὴν ἐπὶ τῇ καρδίᾳ τιάραν) καὶ ἄλλος τις δύναται νὰ ἔχῃ εὐκόλως (=εὐπετῶς). 5) Οἵτινες (ὑποκμ. τοῦ) πειρῶνται. 6) Ἔσχατα παθεῖν = Ἀποθανεῖν. 7) Ἐδῶ, φανερά.

ὶ αὖ δηλώσω ὅθεν[1] ἐγὼ περὶ σοῦ ἀκούω. Ἐκ τούτων 27
ἡ τῶν λόγων ὁ Τισσαφέρνης φιλοφρονούμενος τότε
ἐν μένειν τε αὐτὸν ἐκέλευε καὶ σύνδειπνον ἐποιήσατο.
ῇ δὲ ὑστεραίᾳ ὁ Κλέαρχος ἀπελθὼν ἐπὶ τὸ στρατό-
εδον δῆλός τ' ἦν πάνυ φιλικῶς οἰόμενος διακεῖσθαι τῷ
ισσαφέρνει καὶ ἃ ἔλεγεν ἐκεῖνος ἀπήγγελλεν, ἔφη τε
ρῆναι ἰέναι παρὰ Τισσαφέρνην οὓς ἐκέλευσε, καὶ οἳ
ν ἐλεγχθῶσι διαβάλλοντες τῶν Ἑλλήνων, ὡς προδό-
ας αὐτοὺς καὶ κακόνους τοῖς Ἕλλησιν ὄντας τιμωρη-
ῆναι. Ὑπώπτευε δὲ εἶναι τὸν διαβάλλοντα Μένωνα, 28
ἰδὼς αὐτὸν καὶ λάθρᾳ συγγεγενημένον Τισσαφέρνει
ιετ' Ἀριαίου καὶ στασιάζοντα αὐτῷ[2] καὶ ἐπιβουλεύοντα,
πως τὸ στράτευμα ἅπαν πρὸς αὐτὸν λαβὼν[3] φίλος ᾖ
Γισσαφέρνει. Ἐβούλετο δὲ καὶ ὁ Κλέαρχος ἅπαν τὸ 29
στράτευμα πρὸς ἑαυτὸν ἔχειν τὴν γνώμην καὶ τοὺς πα-
ραλυποῦντας ἐκποδὼν εἶναι. Τῶν δὲ στρατιωτῶν ἀντέ-
λεγόν τινες αὐτῷ μὴ ἰέναι πάντας τοὺς λοχαγοὺς καὶ
στρατηγοὺς μηδὲ πιστεύειν Τισσαφέρνει. Ὁ δὲ Κλέαρ- 30
χος ἰσχυρῶς κατέτεινεν[4], ἔστε διεπράξατο πέντε μὲν
στρατηγοὺς ἰέναι, εἴκοσι δὲ λοχαγούς· συνηκολούθησαν
δὲ ὡς εἰς ἀγορὰν[5] καὶ τῶν ἄλλων στρατιωτῶν ὡς δια-
κόσιοι.

Ἐπεὶ δὲ ἦσαν ἐπὶ ταῖς θύραις ταῖς Τισσαφέρνους, οἱ 31

---

1) Τὸ ὅθεν ἐνταῦθα δὲν ἔχει ἐπιρρημ. (σημαντ. τόπου) σημασίαν, ἀλλ' ἐτέθη ἀντὶ τῆς ἀντων. Ὅθεν (καθ' ἕλξ.) = ἐκείνους, παρ' ὧν. 2) Ἀντενεργοῦντα κατ' αὐτοῦ. 3) Ἑλκύσας πρὸς τὸ μέρος του. 4) Ἀντέτεινεν, ἕως οὗ (= ἔστε) τὸ κατώρθωσε. 5) Ὡς νὰ ἐπήγαιναν εἰς ἀγοράν, ἑπομ. ἄνευ ὅπλων.

μὲν στρατηγοὶ παρεκλήθησαν εἴσω[1], Πρόξενος Βοιώτιος,
Μένων Θετταλός, Ἀγίας Ἀρκάς, Κλέαρχος Λάκων,
Σωκράτης Ἀχαιός· οἱ δὲ λοχαγοὶ ἐπὶ ταῖς θύραις[2] ἔμε-
32 νον. Οὐ πολλῷ[3] δὲ ὕστερον ἀπὸ τοῦ αὐτοῦ σημείου οἵ
τ' ἔνδον συνελαμβάνοντο καὶ οἱ ἔξω κατεκόπησαν. Μετὰ
δὲ ταῦτα τῶν βαρβάρων τινὲς ἱππέων διὰ τοῦ πεδίου
ἐλαύνοντες ᾧτινι ἐντυγχάνοιεν Ἕλληνι ἢ δούλῳ ἢ ἐλευ-
33 θέρῳ πάντας ἔκτεινον[4]. Οἱ δὲ Ἕλληνες τήν τε ἱππασίαν
ἐθαύμαζον ἐκ τοῦ στρατοπέδου ὁρῶντες καὶ ὅ,τι ἐποίουν
ἠμφεγνόουν[5], πρὶν[6] Νίκαρχος Ἀρκὰς ἧκε φεύγων τε-
τρωμένος εἰς τὴν γαστέρα καὶ τὰ ἔντερα ἐν ταῖς χερσὶν
34 ἔχων, καὶ εἶπε πάντα τὰ γεγενημένα. Ἐκ τούτου δὴ οἱ
Ἕλληνες ἔθεον ἐπὶ τὰ ὅπλα πάντες ἐκπεπληγμένοι καὶ
νομίζοντες αὐτίκα ἥξειν αὐτοὺς ἐπὶ τὸ στρατόπεδον.

---

1) Προσεκλήθησαν νὰ εἰσέλθωσιν. 2) Ἔμενον ἀπ' ἔξω. 3) Οὐ πολλῷ ὕστερον (σχ. λιτότητος) = ὀλίγῳ ὕστερον. 4) Ἐφόνευον. 5) Ἀμφέβαλλον. 6) Μέχρις οὗ.

ΒΙΒΛΙΟΝ Γ'.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ξενοφῶν Ἀθηναῖος ἡγεμὼν τῆς στρατιᾶς.

Ἐπεὶ δὲ οἱ στρατηγοὶ συνειλημμένοι ἦσαν[1] καὶ τῶν 2
λοχαγῶν καὶ τῶν στρατιωτῶν οἱ συνεπισπόμενοι[2] ἀπω-
λώλεσαν, ἐν πολλῇ δὴ ἀπορίᾳ ἦσαν οἱ Ἕλληνες, ἐννο-
ούμενοι μὲν ὅτι ἐπὶ ταῖς βασιλέως θύραις ἦσαν, κύκλῳ
δὲ αὐτοῖς πάντῃ πολλὰ καὶ ἔθνη καὶ πόλεις πολέμιαι
ἦσαν, ἀγορὰν δὲ οὐδεὶς ἔτι παρέξειν ἔμελλεν, ἀπεῖχον
δὲ τῆς Ἑλλάδος οὐ μεῖον[3] ἢ μύρια στάδια, ἡγεμὼν δ'
οὐδεὶς τῆς ὁδοῦ ἦν, ποταμοὶ δὲ διεῖργον ἀδιάβατοι ἐν
μέσῳ τῆς οἴκαδε ὁδοῦ[4], προυδεδώκεσαν δὲ αὐτοὺς καὶ
οἱ σὺν Κύρῳ ἀναβάντες βάρβαροι, μόνοι δὲ καταλελειμ-
μένοι ἦσαν οὐδὲ ἱππέα οὐδένα σύμμαχον ἔχοντες, ὥστε
εὔδηλον ἦν ὅτι νικῶντες μὲν οὐδένα ἂν κατακάνοιεν,
ἡττηθέντων[5] δὲ αὐτῶν οὐδεὶς ἂν λειφθείη[6]. ταῦτ' ἐννο- 3
ούμενοι καὶ ἀθύμως ἔχοντες ὀλίγοι μὲν αὐτῶν εἰς τὴν
ἑσπέραν σίτου ἐγεύσαντο, ὀλίγοι δὲ πῦρ ἀνέκαυσαν, ἐπὶ
δὲ τὰ ὅπλα πολλοὶ οὐκ ἦλθον ταύτην τὴν νύκτα, ἀνε-

[1]) Περιφραστ. ὑπερσυντέλ. τοῦ συλλαμβάνομαι. Εἶχον ἤδη συλληφθῆ. [2]) Μετχ. ἀόρ. β'. τοῦ συνεφέπομαι. Οἱ συμπαρακολουθήσαντες. [3]) Οὐ μεῖον = πλέον, σχ. λιτότ. [4] Τῆς εἰς τὴν πατρίδα των (ἀγούσης) ὁδοῦ. [5]) Ὑποθ. μετχ. Ἐὰν δ' ἐνικῶντο. [6]) Οὐδεὶς ἤθελεν ὑπομείνει, σωθῆ.

παύοντο δὲ ὅπου ἐτύγχανεν[1] ἕκαστος, οὐ δυνάμενοι
καθεύδειν ὑπὸ λύπης καὶ πόθου πατρίδων, γονέων, γυ-
ναικῶν, παίδων, οὓς οὔποτ' ἐνόμιζον ἔτι ὄψεσθαι. Οὕτω
μὲν δὴ διακείμενοι[2] πάντες ἀνεπαύοντο.

4 Ἦν δέ τις ἐν τῇ στρατιᾷ Ξενοφῶν[3] Ἀθηναῖος, ὃς
οὔτε στρατηγὸς οὔτε λοχαγὸς οὔτε στρατιώτης ὢν συν-
ηκολούθει, ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν
ξένος ὢν ἀρχαῖος· ὑπισχνεῖτο δὲ αὐτῷ, εἰ ἔλθοι, φίλον
αὐτὸν Κύρῳ ποιήσειν, ὃν αὐτὸς ἔφη κρείττω ἑαυτῷ νομί-
5 ζειν τῆς πατρίδος. Ὁ μέντοι Ξενοφῶν ἀναγνοὺς τὴν
ἐπιστολὴν ἀνακοινοῦται Σωκράτει τῷ Ἀθηναίῳ περὶ τῆς
πορείας. Καὶ ὁ Σωκράτης ὑποπτεύσας μή τι πρὸς τῆς
πόλεως ὑπαίτιον εἴη Κύρῳ φίλον γενέσθαι[4], ὅτι ἐδόκει
ὁ Κῦρος προθύμως τοῖς Λακεδαιμονίοις ἐπὶ τὰς Ἀθήνας
συμπολεμῆσαι, συμβουλεύει τῷ Ξενοφῶντι ἐλθόντα εἰς
6 Δελφοὺς[5] ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πορείας. Ἐλθὼν
δ' ὁ Ξενοφῶν ἐπήρετο τὸν Ἀπόλλω τίνι ἂν θεῶν θύων
καὶ εὐχόμενος κάλλιστα καὶ ἄριστα ἔλθοι τὴν ὁδὸν ἣν
ἐπινοεῖ[6] καὶ καλῶς πράξας σωθείη. Καὶ ἀνεῖλεν[7] αὐτῷ
7 ὁ Ἀπόλλων θεοῖς οἷς ἔδει θύειν. Ἐπεὶ δὲ πάλιν ἦλθε,
λέγει τὴν μαντείαν τῷ Σωκράτει. Ὁ δ' ἀκούσας ᾐτιᾶτο

---

1) Ἐνν. τὸ ὤν. Ὅπου ἐτύγχανεν ὤν. 2) Εἰς τοιαύτην εὑρισκόμενοι κατάστασιν. 3) Ὁ ἴδιος συγγραφεὺς ἐνταῦθα διηγεῖται περὶ ἑαυτοῦ, ὡς περὶ τρίτου τινὸς προσώπου. 4) Μήπως τὸ νὰ γίνῃ φίλος τοῦ Κύρου θεωρηθῇ ἄξιον κατηγορίας (εἴη ὑπαίτιον) ὑπὸ τῆς πολιτείας (= πόλεως). 5) Δελφοί, πόλις τῆς Φωκίδος ἐπὶ τῆς μεσημβρινῆς ἄκρας τοῦ Παρνασσοῦ, τὸ σήμερον λεγόμ. Καστρί, περίφημος διὰ τὸ ἐν αὐτῇ μαντεῖον τοῦ Ἀπόλλωνος. 6) Σκέπτεται. 7) Καὶ ἀπεκρίθη, ἔδωκε χρησμὸν ὁ Ἀπόλλων. 8) Ἐπανῆλθε. 9) Αἰτιάομαι -ῶμαι = θεωρῶ τινα αἴτιον, μέμφομαι.

αὐτὸν ὅτι οὐ τοῦτο πρῶτον ἠρώτα πότερον λῷον[1] εἴη
αὐτῷ πορεύεσθαι ἢ μένειν, ἀλλ' αὐτὸς κρίνας ἰτέον[2]
εἶναι τοῦτ' ἐπυνθάνετο ὅπως ἂν κάλλιστα πορευθείη.
Ἐπεὶ μέντοι οὕτως ἤρου, ταῦτ', ἔφη, χρὴ ποιεῖν ὅσα
ὁ θεὸς ἐκέλευσεν. Ὁ μὲν δὴ Ξενοφῶν οὕτω θυσάμενος 8
οἷς ἀνεῖλεν ὁ Θεὸς ἐξέπλει, καὶ καταλαμβάνει[3] ἐν
Σάρδεσι Πρόξενον καὶ Κῦρον μέλλοντας ἤδη ὁρμᾶν τὴν
ἄνω ὁδὸν, καὶ συνεστάθη Κύρῳ. Προθυμουμένου δὲ 9
τοῦ Προξένου καὶ ὁ Κῦρος συμπρουθυμεῖτο μεῖναι αὐ-
τὸν, εἶπε δὲ ὅτι ἐπειδὰν τάχιστα ἡ στρατεία λήξῃ,
εὐθὺς ἀποπέμψει αὐτόν. Ἐλέγετο δὲ ὁ στόλος εἶναι
εἰς Πισίδας. Ἐστρατεύετο μὲν δὴ οὕτως ἐξαπατηθεὶς 10
—οὐχ ὑπὸ Προξένου· οὐ γὰρ ᾔδει τὴν ἐπὶ βασιλέα ὁρ-
μὴν[4] οὐδὲ ἄλλος οὐδεὶς τῶν Ἑλλήνων πλὴν Κλεάρχου·
ἐπεὶ μέντοι εἰς Κιλικίαν ἦλθον, σαφὲς πᾶσιν ἤδη ἐδό-
κει εἶναι ὅτι ὁ στόλος εἴη ἐπὶ βασιλέα. Φοβούμενοι δὲ
τὴν ὁδὸν καὶ ἄκοντες ὅμως οἱ πολλοὶ δι' αἰσχύνην καὶ
ἀλλήλων καὶ Κύρου συνηκολούθησαν· ὧν εἷς καὶ Ξενο-
φῶν ἦν. Ἐπεὶ δὲ ἀπορία ἦν, ἐλυπεῖτο μὲν σὺν τοῖς 11
ἄλλοις καὶ οὐκ ἐδύνατο καθεύδειν· μικρὸν δ' ὕπνου λα-
χὼν[5] εἶδεν ὄναρ. Ἔδοξεν αὐτῷ βροντῆς γενομένης σκη-
πτὸς πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου
λάμπεσθαι πᾶσα. Περίφοβος δ' εὐθὺς ἀνηγέρθη, καὶ τὸ 12
ὄναρ τῇ μὲν[7] ἔκρινεν ἀγαθὸν, ὅτι ἐν πόνοις ὢν καὶ κιν-

---

1) Λῷον (συγκρ. τοῦ ἀγαθός, τὸ ὑπερθτ. λῷστος) = καλλί-
τερον. 2) Ἰτέον, ῥήματ. θετ. τοῦ εἶμι = πορεύομαι. Ἰτέον = δεῖ
ἰέναι. 3) Συναντᾷ. 4) Ἐκστρατείαν, πορείαν. 5) Κοιμηθεὶς ὀλί-
γον. 6) = Κεραυνός. 7) Κἄποτε μέν.

δύνοις φῶς μέγα ἐκ Διὸς ἰδεῖν ἔδοξε· τῇ δὲ[1] καὶ ἐφοβεῖτο, ὅτι ἀπὸ Διὸς μὲν βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι, κύκλῳ δὲ ἐδόκει λάμπεσθαι τὸ πῦρ, μὴ οὐ δύναιτο ἐκ τῆς χώρας ἐξελθεῖν τῆς βασιλέως, ἀλλ' εἴργοιτο πάντοθεν ὑπό τινων ἀποριῶν.

ΒΙΒΛΙΟΝ Δ'.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Θέα τῆς θαλάσσης.

Ἐντεῦθεν ἐπορεύθησαν διὰ Σκυθηνῶν σταθμοὺς τέτ-
ταρας παρασάγγας εἴκοσι διὰ πεδίου εἰς κώμας· ἐν αἷς
19 ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο. Ἐντεῦθεν
διῆλθον σταθμοὺς τέτταρας παρασάγγας εἴκοσι πρὸς
πόλιν μεγάλην καὶ εὐδαίμονα καὶ οἰκουμένην ἣ ἐκαλεῖτο
Γυμνιάς[2]. Ἐκ ταύτης [τῆς χώρας] ὁ ἄρχων τοῖς Ἕλλη-
σιν ἡγεμόνα πέμπει, ὅπως διὰ τῆς ἑαυτῶν πολεμίας
20 χώρας ἄγοι αὐτούς. Ἐλθὼν δ' ἐκεῖνος λέγει ὅτι ἄξει
αὐτοὺς πέντε ἡμερῶν εἰς χωρίον ὅθεν ὄψονται θάλατ-
ταν· εἰ δὲ μή, τεθνάναι ἐπηγγείλατο. Καὶ ἡγούμενος
ἐπειδὴ ἐνέβαλλεν εἰς τὴν [ἑαυτοῦ] πολεμίαν, παρεκε-
λεύετο αἴθειν[3] καὶ φθείρειν τὴν χώραν· ᾧ καὶ δῆλον ἐγέ-
νετο ὅτι τούτου ἕνεκεν συνέλθοι, οὐ τῆς τῶν Ἑλλήνων

---

[1]) Κάποτε δέ. [2]) Ἡ σήμερον Ἐρζερούμ. [3])=Καίειν.

εὐνοίας. Καὶ ἀφικνοῦνται ἐπὶ τὸ ὄρος τῇ πέμπτῃ ἡμέρᾳ. 21
ὄνομα δὲ τῷ ὄρει ἦν Θήχης. Ἐπεὶ δὲ οἱ πρῶτοι ἐγέ-
νοντο ἐπὶ τοῦ ὄρους, κραυγὴ πολλὴ ἐγένετο. Ἀκούσας 22
δὲ ὁ Ξενοφῶν καὶ οἱ ὀπισθοφύλακες ᾠήθησαν ἔμπροσθεν
ἄλλους ἐπιτίθεσθαι πολεμίους· εἵποντο γὰρ ὄπισθεν οἱ
ἐκ τῆς κασμένης χώρας, καὶ αὐτῶν οἱ ὀπισθοφύλακες
ἀπέκτεινάν τέ τινας καὶ ἐζώγρησαν[1] ἐνέδραν ποιησάμε-
νοι, καὶ γέρρα ἔλαβον δασειῶν βοῶν ὠμοβόεια ἀμφὶ τὰ
εἴκοσιν. Ἐπειδὴ δ' ἡ βοὴ πλείων τε ἐγίγνετο καὶ ἐγγύ- 23
τερον καὶ οἱ ἀεὶ ἐπιόντες ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ
βοῶντας καὶ πολλῷ μείζων ἐγίγνετο ἡ βοὴ ὅσῳ δὴ πλείους
ἐγίγνοντο, ἐδόκει δὴ μεῖζόν τι εἶναι τῷ Ξενοφῶντι, καὶ 24
ἀναβὰς ἐφ' ἵππον καὶ Λύκιον καὶ τοὺς ἱππέας ἀναλαβὼν
παρεβοήθει· καὶ τάχα δὴ ἀκούουσι βοώντων τῶν στρα-
τιωτῶν Θάλαττα θάλαττα καὶ παρεγγυώντων. Ἔνθα δὴ
ἔθεον πάντες καὶ οἱ ὀπισθοφύλακες καὶ τὰ ὑποζύγια
ἠλαύνετο καὶ οἱ ἵπποι. Ἐπεὶ δὲ ἀφίκοντο πάντες ἐπὶ 25
τὸ ἄκρον, ἐνταῦθα δὴ περιέβαλλον ἀλλήλους[2] καὶ στρα-
τηγοὺς καὶ λοχαγοὺς δακρύοντες. Καὶ ἐξαπίνης[3] ὅτου
δὴ παρεγγυήσαντος οἱ στρατιῶται φέρουσι λίθους καὶ
ποιοῦσι κολωνὸν[4] μέγαν. Ἐνταῦθα ἀνετίθεσαν δερμάτων 26
πλῆθος ὠμοβοείων καὶ βακτηρίας καὶ τὰ αἰχμάλωτα
γέρρα, καὶ ὁ ἡγεμὼν αὐτός τε κατέτεμνε τὰ γέρρα καὶ
τοῖς ἄλλοις διεκελεύετο. Μετὰ ταῦτα τὸν ἡγεμόνα οἱ 27
Ἕλληνες ἀποπέμπουσι δῶρα δόντες ἀπὸ κοινοῦ ἵππον
καὶ φιάλην ἀργυρᾶν καὶ σκευὴν Περσικὴν καὶ δαρεικοὺς

---

1) Ζῶντας συνέλαβον. 2) Ἐνηγκαλίζοντο ἀλλήλους. 3) Αἰφνιδίως. 4) Κολώναν.

δέκα· ᾔτει δὲ μάλιστα τοὺς δακτυλίους, καὶ ἔλαβε πολλοὺς παρὰ τῶν στρατιωτῶν. Κώμην δὲ δείξας αὐτοῖς οὗ[1] σκηνήσουσι καὶ τὴν ὁδὸν ἣν πορεύσονται εἰς Μάκρωνας, ἐπεὶ ἑσπέρα ἐγένετο, ᾤχετο [τῆς νυκτὸς] ἀπιών.

ΒΙΒΛΙΟΝ Ε'.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ξενοφῶντος ἀνάθημα.

Καὶ εἰς μὲν τὰ πλοῖα τούς τε ἀσθενοῦντας ἐνεβίβασαν καὶ τοὺς ὑπὲρ τετταράκοντα ἔτη καὶ παῖδας καὶ γυναῖκας καὶ τῶν σκευῶν ὅσα μὴ ἀνάγκη ἦν ἔχειν. Καὶ Φιλήσιον καὶ Σοφαίνετον τοὺς πρεσβυτάτους τῶν στρατηγῶν εἰσβιβάσαντες τούτων ἐκέλευον ἐπιμελεῖσθαι· οἱ δὲ
2 ἄλλοι ἐπορεύοντο· ἡ δὲ ὁδὸς ὡδοποιημένη ἦν. Καὶ ἀφικνοῦνται πορευόμενοι εἰς Κερασοῦντα τριταῖοι[2] πόλιν Ἑλληνίδα ἐπὶ θαλάττῃ Σινωπέων ἄποικον ἐν τῇ Κολχίδι
3 χώρᾳ. Ἐνταῦθα ἔμειναν ἡμέρας δέκα· καὶ ἐξέτασις σὺν τοῖς ὅπλοις ἐγίγνετο καὶ ἀριθμός, καὶ ἐγένοντο ὀκτακισχίλιοι καὶ ἑξακόσιοι. Οὗτοι ἐσώθησαν. Οἱ δὲ ἄλλοι ἀπώλοντο ὑπό τε τῶν πολεμίων καὶ χιόνος καὶ εἴ τις νόσῳ.

4 Ἐνταῦθα καὶ διαλαμβάνουσι τὸ ἀπὸ τῶν αἰχμαλώτων

---

[1]) Ὅπου. [2]) Ἐντθ. ἀντὶ ἐπιρ.=τὴν τρίτην ἡμέραν.

ἀργύριον γενόμενον. Καὶ τὴν δεκάτην, ἣν τῷ Ἀπόλλωνι ἐξεῖλον[1] καὶ τῇ Ἐφεσίᾳ Ἀρτέμιδι, διέλαβον οἱ στρατηγοὶ τὸ μέρος ἕκαστος φυλάττειν τοῖς θεοῖς· ἀντὶ δὲ Χειρισόφου Νέων ὁ Ἀσιναῖος ἔλαβε. Ξενοφῶν οὖν τὸ 5
μὲν τοῦ Ἀπόλλωνος ἀνάθημα ποιησάμενος ἀνατίθησιν εἰς τὸν ἐν Δελφοῖς τῶν Ἀθηναίων θησαυρὸν καὶ ἐπέγραψε τό τε αὑτοῦ ὄνομα καὶ τὸ Προξένου, ὃς σὺν Κλεάρχῳ ἀπέθανε· ξένος γὰρ ἦν αὐτοῦ. Τὸ δὲ τῆς Ἀρτέμιδος 6
τῆς Ἐφεσίας, ὅτ' ἀπῄει σὺν Ἀγησιλάῳ ἐκ τῆς Ἀσίας τὴν εἰς Βοιωτοὺς ὁδὸν, καταλείπει παρὰ Μεγαβύζῳ τῷ τῆς Ἀρτέμιδος νεωκόρῳ[2], ὅτι αὐτὸς κινδυνεύσων ἐδόκει ἰέναι, καὶ ἐπέστειλεν, ἢν μὲν αὐτὸς σωθῇ, αὐτῷ ἀποδοῦναι· ἢν δέ τι πάθῃ, ἀναθεῖναι ποιησάμενον τῇ Ἀρτέμιδι ὅ,τι οἴοιτο χαριεῖσθαι τῇ θεῷ. Ἐπεὶ δ' ἔφευγεν ὁ Ξε- 7
νοφῶν, κατοικοῦντος ἤδη αὐτοῦ ἐν Σκιλλοῦντι [ὑπὸ τῶν Λακεδαιμονίων οἰκισθέντος παρὰ τὴν Ὀλυμπίαν] ἀφικνεῖται Μεγάβυζος εἰς Ὀλυμπίαν θεωρήσων καὶ ἀποδίδωσι τὴν παρακαταθήκην αὐτῷ. Ξενοφῶν δὲ λαβὼν χωρίον ὠνεῖται τῇ θεῷ ὅπου ἀνεῖλεν ὁ θεός. Ἔτυχε δὲ διαρρέων διὰ τοῦ χωρίου ποταμὸς Σελινοῦς. 8
Καὶ ἐν Ἐφέσῳ δὲ παρὰ τὸν τῆς Ἀρτέμιδος νεὼν Σελινοῦς ποταμὸς παραρρεῖ. Καὶ ἰχθύες τε ἐν ἀμφοτέροις ἔνεισι καὶ κόγχαι· ἐν δὲ τῷ ἐν Σκιλλοῦντι χωρίῳ καὶ θῆραι πάντων ὁπόσα ἐστὶν ἀγρευόμενα θηρία. Ἐποίη- 9
σε δὲ καὶ βωμὸν καὶ ναὸν ἀπὸ τοῦ ἱεροῦ ἀργυρίου, καὶ τὸ λοιπὸν δὲ ἀεὶ δεκατεύων τὰ ἐκ τοῦ ἀγροῦ ὡραῖα θυσίαν ἐποίει τῇ θεῷ, καὶ πάντες οἱ πολῖται καὶ οἱ

1) Ἐξέλεξαν. 2) Ὁ ἐπιμελούμενος τοῦ ναοῦ.

πρόσχωροι ἄνδρες καὶ γυναῖκες μετεῖχον τῆς ἑορτῆς.
Παρεῖχε δὲ ἡ Θεὸς τοῖς σκηνοῦσιν ἄλφιτα, ἄρτους,
οἶνον, τραγήματα[1], καὶ τῶν θυομένων ἀπὸ τῆς ἱε-
10 ρᾶς νομῆς λάχος[2], καὶ τῶν θηρευομένων δέ. Καὶ
γὰρ θήραν ἐποιοῦντο εἰς τὴν ἑορτὴν οἵ τε Ξενοφῶντος
παῖδες καὶ οἱ τῶν ἄλλων πολιτῶν, οἱ δὲ βουλόμενοι
καὶ ἄνδρες συνεθήρων· καὶ ἡλίσκετο τὰ μὲν ἐξ αὐτοῦ
τοῦ ἱεροῦ χώρου, τὰ δὲ καὶ ἐκ τῆς Φολόης, σύες καὶ
11 δορκάδες καὶ ἔλαφοι. Ἔστι δὲ ἡ χώρα ᾗ ἐκ Λακεδαίμο-
νος εἰς Ὀλυμπίαν πορεύονται ὡς εἴκοσι στάδιοι ἀπὸ τοῦ
ἐν Ὀλυμπίᾳ Διὸς ἱεροῦ. Ἔνι δ' ἐν τῷ ἱερῷ χώρῳ καὶ
λειμὼν καὶ ὄρη δένδρων μεστά, ἱκανὰ σῦς καὶ αἶγας καὶ
βοῦς τρέφειν καὶ ἵππους, ὥστε καὶ τὰ τῶν εἰς τὴν ἑορ-
12 τὴν ἰόντων ὑποζύγια εὐωχεῖσθαι. Περὶ δὲ αὐτὸν τὸν
ναὸν ἄλσος ἡμέρων δένδρων ἐφυτεύθη ὅσα ἐστὶ τρωκτὰ
ὡραῖα. Ὁ δὲ ναὸς ὡς μικρὸς μεγάλῳ τῷ ἐν Ἐφέσῳ
εἴκασται, καὶ τὸ ξόανον[3] ἔοικεν ὡς κυπαρίττινον χρυσῷ
13 ὄντι τῷ ἐν Ἐφέσῳ. Καὶ στήλη ἕστηκε παρὰ τὸν ναὸν
γράμματα ἔχουσα· ΙΕΡΟΣ Ο ΧΟΡΟΣ ΤΗΣ ΑΡ-
ΤΕΜΙΔΟΣ. ΤΟΝ ΕΧΟΝΤΑ ΚΑΙ ΚΑΡΠΟΥΜΕ-
ΝΟΝ ΤΗΝ ΜΕΝ ΔΕΚΑΤΗΝ ΚΑΤΑΘΥΕΙΝ ΕΚΑ-
ΣΤΟΥ ΕΤΟΥΣ. ΕΚ ΔΕ ΤΟΥ ΠΕΡΙΤΤΟΥ ΤΟΝ
ΝΑΟΝ ΕΠΙΣΚΕΥΑΖΕΙΝ. ΑΝ ΔΕ ΤΙΣ ΜΗ ΠΟΙΗ͂
ΤΑΥΤΑ ΤΗ͂ ΘΕΩ͂ ΜΕΛΗΣΕΙ.

---

[1]) Τὰ μετὰ τὸ φαγητὸν φροῦτα ἢ γλυκύσματα. [2]) Λάχος (λαχεῖν τοῦ λαγχάνω)=μερίδιον. [3]) Ξόανον (ἐκ τοῦ ξέω) ἄγαλμα, εἴδωλον.

ΒΙΒΛΙΟΝ ΣΤ'.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἀμφιβολίαι Ξενοφῶντος περὶ τῆς προτεινομένης αὐτῷ ἀρχῆς.

Ὡς δὲ ταῦτα διενοοῦντο, ἐτράποντο ἐπὶ τὸν Ξενό- 19
φῶντα· καὶ οἱ λοχαγοὶ ἔλεγον προσιόντες αὐτῷ ὅτι ἡ
στρατιὰ οὕτω γιγνώσκει, καὶ εὔνοιαν ἐνδεικνύμενος
ἕκαστος ἔπειθεν αὐτὸν ὑποστῆναι[1] τὴν ἀρχήν. Ὁ δὲ 20
Ξενοφῶν τῇ μὲν[2] ἐβούλετο ταῦτα, νομίζων καὶ τὴν τι-
μὴν μείζω οὕτως ἑαυτῷ γίγνεσθαι πρὸς τοὺς φίλους
καὶ εἰς τὴν πόλιν τοὔνομα μεῖζον ἀφίξεσθαι αὐτοῦ, τυ-
χὸν δὲ καὶ ἀγαθοῦ τινος ἂν αἴτιος τῇ στρατιᾷ γενέ-
σθαι. Τὰ μὲν δὴ τοιαῦτα ἐνθυμήματα ἐπῆρεν[3] αὐτὸν 21
ἐπιθυμεῖν αὐτοκράτορα γενέσθαι ἄρχοντα. Ὁπότε δ'
αὖ ἐνθυμοῖτο ὅτι ἄδηλον μὲν παντὶ ἀνθρώπῳ ὅπῃ τὸ
μέλλον ἕξει, διὰ τοῦτο δὲ [καὶ] κίνδυνος εἴη καὶ τὴν
προειργασμένην[4] δόξαν ἀποβαλεῖν, ἠπορεῖτο[5]. Ἀπο- 22
ρουμένῳ δὲ αὐτῷ διακρῖναι ἔδοξε κράτιστον εἶναι τοῖς
θεοῖς ἀνακοινῶσαι· καὶ παραστησάμενος δύο ἱερεῖα
ἐθύετο τῷ Διὶ τῷ βασιλεῖ, ὅσπερ αὐτῷ μαντευτὸς ἦν

---

1) Νὰ ἀναδεχθῇ τὴν ἀρχηγίαν. 2) Ἄλλοτε μέν. 3) Αἱ σκέψεις αὗται τῷ ἐνέπνευσαν τὴν ἐπιθυμίαν (= ἐπῆρεν αὐτὸν ἐπιθυμεῖν). 4) Τὴν προαποκτηθεῖσαν. 5) Ἐδίσταζε νὰ ἀποφασίσῃ.

ἐκ Δελφῶν· καὶ τὸ ὄναρ δὴ ἀπὸ[1] τούτου τοῦ θεοῦ ἐνό-
μιζεν ἑωρακέναι ὃ εἶδεν ὅτε ἤρχετο ἐπὶ τὸ συνεπιμε-
23 λεῖσθαι τῆς στρατιᾶς καθίστασθαι. Καὶ ὅτε ἐξ Ἐφέσο
ὡρμᾶτο Κύρῳ συσταθησόμενος, ἀετὸν ἀνεμιμνήσκετ
ἑαυτῷ δεξιὸν φθεγγόμενον, καθήμενον μέντοι, ὅνπερ
μάντις προπέμπων αὐτὸν ἔλεγεν ὅτι μέγας μὲν οἰωνὸ
εἴη καὶ οὐκ ἰδιωτικὸς[2], καὶ ἔνδοξος, ἐπίπονος μέντο
τὰ γὰρ ὄρνεα μάλιστα ἐπιτίθεσθαι τῷ ἀετῷ καθημένῳ
οὐ μέντοι χρηματιστικὸν[3] εἶναι τὸν οἰωνόν· τὸν γὰ
24 ἀετὸν πετόμενον μᾶλλον λαμβάνειν τὰ ἐπιτήδεια. Οὕτ
δὴ θυομένῳ αὐτῷ διαφανῶς ὁ θεὸς σημαίνει μήτε προσ-
δεῖσθαι[4] τῆς ἀρχῆς μήτε εἰ αἱροῖντο ἀποδέχεσθαι
Ἐπεὶ δὲ ἐδόκει δῆλον εἶναι ὅτι αἱρήσονται αὐτόν, εἴ τι
ἐπιψηφίζοι, ἀνέστη καὶ ἔλεξε τάδε:

Δημηγορία Ξενοφῶντος[5].

26 «Ἐγώ, ὦ ἄνδρες, ἥδομαι μὲν ὑφ' ὑμῶν τιμώμενος
εἴπερ ἄνθρωπός εἰμι, καὶ χάριν ἔχω καὶ εὔχομαι δοῦναι
μοι τοὺς θεοὺς αἴτιόν τινος ὑμῖν ἀγαθοῦ γενέσθαι· τ
μέντοι ἐμὲ προκριθῆναι ὑφ' ὑμῶν ἄρχοντα Λακεδαιμο-
νίου ἀνδρὸς παρόντος οὔτε ὑμῖν μοι δοκεῖ συμφέρο
εἶναι, ἀλλ' ἧττον ἂν διὰ τοῦτο τυγχάνειν, εἴ τι δέοισθ

---

[1]) Ἀπὸ μέρους, τῇ θελήσει τούτου τοῦ Θεοῦ. [2]) Ὄχι τυχαῖο [3]) Προάγγελλον χρημάτων, εὐπορίας. [4]) Μήτε νὰ ζητῇ ἐπιμόνως τὴ ἀρχήν. [5]) Ἐνταῦθα ὄντες οἱ Ἕλληνες εἰς Ἀρμενίαν ἐν τῷ λιμέ Σινώπης, προτρέπουσι τὸν Ξενοφῶντα, ἤτοι τὸν ἴδιον συγγραφέα τῆς νὰ ἀποδεχθῇ τὴν ἀρχηγίαν τοῦ στρατεύματος. Ἀλλ' οὗτος ἀπο ποιούμενος προτείνει διὰ τῆς δημηγορίας ταύτης νὰ ἐκλεχθῇ ἀνὴ Λακεδαιμόνιος, ᾧ θέλει πείθεσθαι καὶ ὁ ἴδιος, ἐννοεῖ δὲ τὸν παρόντ Χειρίσοφον τὸν Λακεδαιμόνιον.

παρ' αὐτῶν· ἐμοί τε αὖ οὐ πάνυ τι νομίζω ἀσφαλὲς εἶναι
τοῦτο. Ὁρῶ γὰρ ὅτι καὶ τῇ πατρίδι μου οὐ πρόσθεν 27
ἐπαύσαντο πολεμοῦντες πρὶν ἐποίησαν πᾶσαν τὴν πό-
λιν ὁμολογεῖν Λακεδαιμονίους καὶ αὐτῶν ἡγεμόνας εἶ-
ναι. Ἐπεὶ δὲ τοῦτο ὡμολόγησαν, εὐθὺς ἐπαύσαντο πο- 28
λεμοῦντες καὶ οὐκέτι πέρα ἐπολιόρκησαν τὴν πόλιν. Εἰ
οὖν ταῦτα ὁρῶν ἐγὼ δοκοίην ὅπου δυναίμην ἐνταῦθ'
ἄκυρον ποιεῖν τὸ ἐκείνων ἀξίωμα, ἐκεῖνο ἐννοῶ μὴ λίαν ἂν
ταχὺ σωφρονισθείην. Ὃ δὲ ὑμεῖς ἐννοεῖτε ὅτι ἧττον ἂν 29
στάσις εἴη ἑνὸς ἄρχοντος ἢ πολλῶν, εὖ ἴστε ὅτι ἄλλον μὲν
ἑλόμενοι οὐχ εὑρήσετε ἐμὲ στασιάζοντα· νομίζω γὰρ
ὅστις ἐν πολέμῳ ὢν στασιάζει πρὸς ἄρχοντα, τοῦτον
πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν· ἐὰν δὲ ἐμὲ ἕλη-
σθε, οὐκ ἂν θαυμάσαιμι εἴ τινα εὕροιτε καὶ ὑμῖν καὶ
ἐμοὶ ἀχθόμενον.»

Καὶ ὁ Ξενοφῶν ἐπεὶ ἑώρα πλείονος ἐνδέον, παρελ- 30
θὼν εἶπεν[1]·

«Ἀλλ', ὦ ἄνδρες, ἔφη, ὡς πάνυ εἰδῆτε, ὀμνύω ὑμῖν θεοὺς πάντας καὶ πάσας, ἦ μὴν ἐγώ, ἐπεὶ τὴν ὑμετέραν γνώμην ᾐσθανόμην, ἐθυόμην εἰ βέλτιον εἴη ὑμῖν τε ἐμοὶ ἐπιτρέψαι ταύτην τὴν ἀρχὴν καὶ ἐμοὶ ὑποστῆναι· καί μοι οἱ θεοὶ οὕτως ἐν τοῖς ἱεροῖς ἐσήμηναν ὥστε καὶ ἰδιώτην ἂν γνῶναι ὅτι τῆς μοναρχίας ἀπέχεσθαί με δεῖ.»

---

[1]) Μετὰ τὴν ἀνωτέρω ἀγόρευσιν τοῦ Ξενοφῶντος, οἱ Ἕλληνες ἐπέμενον καὶ πάλιν ὅπως ἀναδεχθῇ τὴν ἀρχήν. Ὁ δὲ Ξενοφῶν, μετά τινα ἀντίρρησιν Ἀγασίου τοῦ Στυμφαλίου, ἠγέρθη καὶ εἶπε τὰ ἐφεξῆς.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Δημηγορία δευτέρα Ξενοφῶντος πρὸς τοὺς ἑαυτοῦ στρατιώτας[1].

12 «Ἄνδρες στρατιῶται, τῶν Ἀρκάδων οἱ μὲν τεθνᾶσιν, οἱ δὲ λοιποὶ ἐπὶ λόφου τινὸς πολιορκοῦνται. Νομίζω δ' ἔγωγε, εἰ ἐκεῖνοι ἀπολοῦνται, οὐδ' ἡμῖν εἶναι οὐδεμίαν σωτηρίαν, οὕτω μὲν πολλῶν ὄντων [τῶν] πολεμίων,
13 οὕτω δὲ τεθαρρηκότων. Κράτιστον οὖν ἡμῖν ὡς τάχιστα βοηθεῖν τοῖς ἀνδράσιν, ὅπως εἰ ἔτι εἰσὶ σῷ, σὺν ἐκείνοις μαχώμεθα καὶ μὴ μόνοι λειφθέντες μόνοι καὶ κινδυ-
16 νεύωμεν. Ἡμεῖς γὰρ ἀποδραίημεν ἂν οὐδαμοῖ ἐνθένδε· πολλὴ μὲν γάρ, ἔφη, εἰς Ἡράκλειαν πάλιν ἀπιέναι, πολλὴ δὲ εἰς Χρυσόπολιν διελθεῖν· οἱ δὲ πολέμιοι πλησίον· εἰς Κάλπης δὲ λιμένα, ἔνθα Χειρίσοφον εἰκάζομεν εἶναι, εἰ σέσωσται, ἐλαχίστη ὁδός. Ἀλλὰ δὴ ἐκεῖ μὲν οὔτε πλοῖά ἐστιν οἷς ἀποπλευσόμεθα, μένουσι δὲ
17 αὐτοῦ οὐδὲ μιᾶς ἡμέρας ἔστι τὰ ἐπιτήδεια. Τῶν δὲ πολιορκουμένων ἀπολομένων σὺν τοῖς Χειρισόφου μόνοις κάκιόν ἐστι διακινδυνεύειν ἢ τῶνδε σωθέντων πάντας εἰς ταὐτὸν ἐλθόντας κοινῇ τῆς σωτηρίας ἔχεσθαι. Ἀλλὰ χρὴ παρασκευασαμένους τὴν γνώμην πορεύεσθαι

[1]) Τὴν δημηγορίαν ταύτην ἀπήγγειλεν ὁ Ξενοφῶν ὅτε ἔμαθε παρά τινων πρεσβυτῶν, οὓς οἱ ἱππεῖς συναντήσαντες εἶχον προσαγάγει πρὸς αὐτόν, ὅτι τὸ ἐξ Ἀρκάδων Ἑλληνικὸν στράτευμα, ὑποστὰν ὑπὸ τῶν Θρακῶν ἱκανὸν ὄλεθρον, ἀπεκλείσθη ἤδη περικεκυκλωμένον ἐπί τινος λόφου, καὶ στερούμενον τροφῶν καὶ πολεμοφοδίων ἠναγκάζετο νὰ κλείσῃ συνθήκην πρὸς τοὺς Θρᾶκας.

; νῦν ἢ εὐκλεῶς τελευτῆσαι ἔστιν ἢ κάλλιστον ἔργον
γάσασθαι Ἕλληνας τοσούτους σώσαντας. Καὶ ὁ θεὸς 13
ως ἄγει οὕτως, ὃς τοὺς μεγαληγορήσαντας ὡς πλέον
ονοῦντας ταπεινῶσαι βούλεται, ἡμᾶς δὲ τοὺς ἀπὸ
ῶν θεῶν ἀρχομένους ἐντιμοτέρους ἐκείνων καταστῆσαι.
λλ' ἕπεσθαι χρὴ καὶ προσέχειν τὸν νοῦν, ὡς ἂν τὸ
αραγγελλόμενον δύνησθε ποιεῖν. Νῦν μὲν οὖν στρατο- 14
εδευσώμεθα προελθόντες ὅσον ἂν δοκῇ καιρὸς εἶναι
ς τὸ δειπνοποιεῖσθαι· ἕως δ' ἂν πορευώμεθα, Τιμα-
ων ἔχων τοὺς ἱππέας προελαυνέτω ἐφορῶν ἡμᾶς καὶ
κοπείτω τὰ ἔμπροσθεν, ὡς μηδὲν ἡμᾶς λάθῃ.»

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τρίτη δημηγορία Ξενοφῶντος[1].

«Ἀλλ' ἴστε μέν με, ὦ ἄνδρες, οὐδένα πω κίνδυνον
ροξενήσαντα ὑμῖν ἐθελούσιον· οὐ γὰρ δόξης ὁρῶ δεο-
ιένους ὑμᾶς εἰς ἀνδρειότητα, ἀλλὰ σωτηρίας. Νῦν δὲ 15
ὕτως ἔχει· ἀμαχεὶ μὲν ἐνθένδε οὐκ ἔστιν ἀπελθεῖν· ἢν
ὰρ μὴ ἡμεῖς ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὗτοι ἡμῖν
πόταν ἀπίωμεν ἕψονται καὶ ἐπιπεσοῦνται. Ὁρᾶτε δὴ 16
ότερον κρεῖττον ἰέναι ἐπὶ τοὺς ἄνδρας προβαλομένους
ὰ ὅπλα ἢ μεταβαλομένους ὄπισθεν ἡμῶν ἐπιόντας τοὺς

---

[1]) Τὴν δημηγορίαν ταύτην εἶπεν ὁ Ξενοφῶν ὅτε εἶδεν ὅτι οἱ
τρατηγοὶ καὶ λοχαγοί, ὧν προηγεῖτο ὁ ἀρχηγὸς τοῦ ἐκ 200 ἀν-
ρῶν προπορευομένου τάγματος Σαμόλας ὁ Ἀχαιός, ἀνέστειλον τὴν
τορείαν διστάζοντες νὰ διαβῶσιν ἐκτεταμένον καὶ δυσδιεξίτητον δά-
ος ἐν Βιθυνίᾳ.

πολεμίους θεᾶσθαι. Ἴστε μέντοι ὅτι τὸ μὲν ἀπιέναι ἀπὸ
πολεμίων οὐδενὶ καλῷ ἔοικε, τὸ δὲ ἐφέπεσθαι καὶ τοῖς
κακίοσι θάρρος ἐμποιεῖ. Ἐγὼ γοῦν ἥδιον ἂν σὺν ἡμίσε-
σιν ἐπιοίην ἢ σὺν διπλασίοις ἀποχωροίην. Καὶ τούτους
οἶδ' ὅτι ἐπιόντων μὲν ἡμῶν οὐδ' ὑμεῖς ἐλπίζετε αὐτοὺς
δέξεσθαι ἡμᾶς, ἀπιόντων δὲ πάντες ἐπιστάμεθα ὅτι τολ-
μήσουσιν ἐφέπεσθαι. Τὸ δὲ διαβάντες ὄπισθεν νάπος χα-
18 λεπὸν ποιήσασθαι μέλλοντας μάχεσθαι ἆρ' οὐχὶ καὶ ἁρπά-
σαι ἄξιον; τοῖς μὲν γὰρ πολεμίοις ἐγὼ βουλοίμην ἂν εὔ-
πορα πάντα φαίνεσθαι ὥστε ἀποχωρεῖν· ἡμᾶς δὲ καὶ ἀπὸ
τοῦ χωρίου δεῖ διδάσκεσθαι ὅτι οὐκ ἔστι μὴ νικῶσι σωτη-
ρία. Θαυμάζω δ' ἔγωγε καὶ τὸ νάπος τοῦτο εἴ τις μᾶλ
19 λον φοβερὸν νομίζει εἶναι τῶν ἄλλων ὧν διαπεπορεύμεθα
χωρίων. Πῶς γὰρ δὴ διαβατὸν τὸ πεδίον, εἰ μὴ νικήσομεν
τοὺς ἱππέας; πῶς δὲ ἃ διεληλύθαμεν ὄρη, ἢν πελτασταὶ
τοσοίδε ἐφέπωνται; ἢν δὲ δὴ καὶ σωθῶμεν ἐπὶ θάλατταν,
20 πόσον τι νάπος ὁ Πόντος; ἔνθα οὔτε πλοῖα ἔστι τὰ
ἀπάξοντα οὔτε σῖτος ᾧ θρεψόμεθα μένοντες, δεήσει δὲ,
ἢν θᾶττον ἐκεῖ γενώμεθα, θᾶττον πάλιν ἐξιέναι ἐπὶ τὰ
ἐπιτήδεια. Οὐκοῦν νῦν κρεῖττον ἠριστηκότας μάχεσθαι
21 ἢ αὔριον ἀναρίστους. Ἄνδρες, τά τε ἱερὰ ἡμῖν καλὰ
οἵ τε οἰωνοὶ αἴσιοι τά τε σφάγια κάλλιστα· ἴωμεν ἐπὶ
τοὺς ἄνδρας. Οὐ δεῖ ἔτι τούτους, ἐπεὶ ἡμᾶς πάντως
εἶδον, ἡδέως δειπνῆσαι οὐδ' ὅπου ἂν θέλωσι σκηνῆσαι.»

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Τετάρτη δημηγορία Ξενοφῶντος[1].

«Ὦ ἄνδρες στρατιῶται, ἐμοὶ δὲ οὐδὲν φαῦλον δοκεῖ 12
εἶναι τὸ πρᾶγμα, εἰ ἡμῖν οὕτως ἔχων τὴν γνώμην
Κλέανδρος ἄπεισιν ὥσπερ λέγει. Εἰσὶ μὲν γὰρ ἐγγὺς
αἱ Ἑλληνίδες πόλεις· τῆς δὲ Ἑλλάδος Λακεδαιμόνιοι
προεστήκασιν· ἱκανοὶ δέ εἰσι καὶ εἷς ἕκαστος Λακεδαι-
μονίων ἐν ταῖς πόλεσιν ὅ,τι βούλονται διαπράττεσθαι. Εἰ 13
οὖν οὗτος πρῶτον μὲν ἡμᾶς Βυζαντίου ἀποκλείσει,
ἔπειτα δὲ τοῖς ἄλλοις ἁρμοσταῖς παραγγελεῖ εἰς τὰς πό-
λεις μὴ δέχεσθαι ὡς ἀπιστοῦντας Λακεδαιμονίοις καὶ
ἀνόμους ὄντας, ἔτι δὲ πρὸς Ἀναξίβιον τὸν ναύαρχον
οὗτος ὁ λόγος περὶ ἡμῶν ἥξει, χαλεπὸν ἔσται καὶ μέ-
νειν καὶ ἀποπλεῖν· καὶ γὰρ ἐν τῇ γῇ ἄρχουσι Λακεδαι-
μόνιοι καὶ ἐν τῇ θαλάττῃ τὸν νῦν χρόνον. Οὔκουν 14
δεῖ οὔτε ἑνὸς ἀνδρὸς ἕνεκα οὔτε δυοῖν ἡμᾶς τοὺς ἄλ-
λους τῆς Ἑλλάδος ἀπέχεσθαι, ἀλλὰ πειστέον ὅ,τι ἂν
κελεύωσι· καὶ γὰρ αἱ πόλεις ἡμῶν ὅθεν ἐσμὲν πείθονται
αὐτοῖς. Ἐγὼ μὲν οὖν, καὶ γὰρ ἀκούω Δέξιππον λέγειν 15

---

[1]) Τὴν δημηγορίαν ταύτην ἔλεξεν ὁ Ξενοφῶν ὅτε εἶδεν ὅτι ὁ Κλέανδρος δυσαρεστηθεὶς οὐ μόνον διότι ὁ Ἀγασίας δὲν ἐπέτρεψε νὰ προσαχθῇ ἐνώπιον ἐκείνου ὁ ἑαυτοῦ λοχίτης ὁ ἀποπειραθεὶς νὰ διαρπάσῃ τὴν ὑπὸ τῶν στρατιωτῶν τοῦ Κλεάνδρου γενομένην λείαν τῶν προβάτων, ἀλλὰ καὶ διότι οἱ ἄλλοι στρατιῶται ἤρξαντο λιθοβολοῦντες τὸν Δέξιππον τὸν καταγγείλαντα εἰς τὸν Κλέανδρον τὴν ἁρπαγήν, ἠπείλει ὅτι θ' ἀποπλεύσῃ καὶ θὰ διακηρύξῃ νὰ μὴ δέχηται αὐτοὺς καμμία πόλις καθὸ πολεμίους, ἐὰν δὲν παραδοθῶσιν εἰς αὐτὸν ὁ ποιήσας ἔναρξιν τοῦ λιθοβολεῖν καὶ ὁ ἀπὸ τῶν χειρῶν τοῦ Δεξίππου ἀποσπάσας αὐτὸν συλληφθέντα Ἀγασίας.

πρὸς Κλέανδρον ὡς οὐκ ἂν ἐποίησεν Ἀγασίας ταῦτα εἰ μὴ ἐγὼ αὐτὸν ἐκέλευσα, ἐγὼ μὲν οὖν ἀπολύω κα ὑμᾶς τῆς αἰτίας καὶ Ἀγασίαν, ἂν αὐτὸς Ἀγασίας φήσ ἐμέ τι τούτων αἴτιον εἶναι, καὶ καταδικάζω ἐμαυτοῦ, ε ἐγὼ πετροβολίας ἢ ἄλλου τινος βιαίου ἐξάρχω, τῆ
16 ἐσχάτης δίκης ἄξιος εἶναι, καὶ ὑφέξω [1] τὴν δίκην. Φημ δὲ καὶ εἴ τινα ἄλλον αἰτιᾶται, χρῆναι ἑαυτὸν παρασχεῖ Κλεάνδρῳ κρῖναι· οὕτω γὰρ ἂν ὑμεῖς ἀπολελυμένο τῆς αἰτίας εἴητε. Ὡς δὲ νῦν ἔχει, χαλεπὸν εἰ οἰόμενο ἐν τῇ Ἑλλάδι καὶ ἐπαίνου καὶ τιμῆς τεύξεσθαι ἀντ δὲ τούτων οὐδ' ὅμοιοι τοῖς ἄλλοις ἐσόμεθα, ἀλλ' εἰρξόμεθα ἐκ τῶν Ἑλληνίδων πόλεων.»

---

[1]) Μέλλ. τοῦ ὑπέχω, ἀφίνω τι ὅλως διόλου εἰς τὴν ἐξουσία (τὴν διάκρισιν) τινός, παραδίδω. (Συχν. δὲ) Δίκην («Εὐθύνας» Λόγοι ὑπέχειν τινί, Ξεν., Δμ., = Διδόναι. Ὑφέξω τοῖς κακίοσι δίκη «Εὐρ., θέλω γένῃ ὑπόδικος, θέλουν μὲ τιμωρήσῃ. (καὶ γεν. ἐλλ.) Ἀπάτης δίκην ὑπέχοιτε, «Ξεν., θέλετε κριθῆν, ὑπεύθυνοι (ἔνοχοι)»

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ

ΚΑΤΑΣΤΗΜΑΤΑ

ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ

Εὑρίσκονται καὶ πωλοῦνται ἅπαντα τὰ ἐν τῷ τελευτέῳ διαγωνισμῷ βραβευθέντα βιβλία.

Τιμᾶται λεπτῶν 90.

ΕΛΛΗΝΙΚΗ
ΧΡΗΣΤΟΜΑΘΕΙΑ

ΕΚ ΤΩΝ

ΔΟΚΙΜΩΤΕΡΩΝ ΕΛΛΗΝΩΝ ΠΕΖΟΓΡΑΦΩΝ

ΣΥΝΤΑΧΘΕΙΣΑ

ΚΑΤΑ ΤΟ ΝΕΟΝ ΠΡΟΓΡΑΜΜΑ ΤΗΣ 23 ΙΟΥΝΙΟΥ 1884 ΤΟΥ ΕΠΙ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΑΣ ΕΚΠΑΙΔΕΥΣΕΩΣ ΥΠΟΥΡΓΕΙΟΥ

ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΧΟΛΕΙΩΝ

ΥΠΟ

ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ

ΤΟΜΟΣ Γ'.

ΔΙΑ ΤΗΝ ΤΡΙΤΗΝ ΤΑΞΙΝ

Ἔκδοσις τετάρτη

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΑ ΚΑΙ ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ

ΠΛΟΥΤΑΡΧΟΥ

ΘΕΜΙΣΤΟΚΛΗΣ ΚΑΙ ΑΡΙΣΤΕΙΔΗΣ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ

ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ

1892

ΕΛΛΗΝΙΚΗ

ΧΡΗΣΤΟΜΑΘΕΙΑ

ΕΚ ΤΩΝ

ΔΟΚΙΜΩΤΕΡΩΝ ΕΛΛΗΝΩΝ ΠΕΖΟΓΡΑΦΩΝ

ΣΥΝΤΑΧΘΕΙΣΑ

ΚΑΤΑ ΤΟ ΝΕΟΝ ΠΡΟΓΡΑΜΜΑ ΤΗΣ 23 ΙΟΥΝΙΟΥ 1884 ΤΟΥ ΕΠΙ ΤΩΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΚΑΙ ΤΗΣ ΔΗΜΟΣΙΑΣ ΕΚΠΑΙΔΕΥΣΕΩΣ ΥΠΟΥΡΓΕΙΟΥ

ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΧΟΛΕΙΩΝ

ΥΠΟ

ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ

ΤΟΜΟΣ Γ'.

ΔΙΑ ΤΗΝ ΤΡΙΤΗΝ ΤΑΞΙΝ

Ἔκδοσις τετάρτη

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΑ ΚΑΙ ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ

ΠΛΟΥΤΑΡΧΟΥ

ΘΕΜΙΣΤΟΚΛΗΣ ΚΑΙ ΑΡΙΣΤΕΙΔΗΣ

ΕΝ Α[illegible]ΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑ[illegible]ΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ

ΑΝΕΣΤΗ ΚΩ[illegible]ΝΤΙΝΙΔΟΥ

188[illegible]

ΞΕΝΟΦΩΝΤΟΣ

ΕΛΛΗΝΙΚΑ

Τὰ Ἑλληνικὰ Ξενοφῶντος, ἤτοι Ἑλληνικὴ Ἱστορία, ἀπαρτιζόμενα ἐξ ἑπτὰ βιβλίων, διαιροῦνται εἰς δύω μέρη. Τούτων τὸ μέν, ἐκ τῶν δύο πρώτων βιβλίων ἀποτελούμενον, εἶνε συνέχεια καὶ τέλος τῆς τοῦ Θουκυδίδου ἱστορίας, ἣν ἐξέδοτο συγχρόνως μετ' αὐτῶν ὁ ἴδιος Ξενοφῶν. Ἡ ὑπὸ τοῦ Θουκυδίδου ἐξιστόρησις τῶν κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, διαρκέσαντα, ὡς γνωστόν, ἐπὶ 27 ἔτη, φθάνει μέχρι τοῦ 21ου ἔτους ἤτοι μέχρι τοῦ 411 π. χ., διὸ ἡ ὑπὸ τοῦ Ξενοφῶντος συνεχιζομένη ἄρχεται ἐντεῦθεν καὶ λήγει μέχρι τέλους τοῦ πολέμου, (411—404 π. Χ.) Τὸ δεύτερον μέρος τῶν Ἑλληνικῶν, ἤτοι τὰ πέντε ἄλλα βιβλία, περιλαμβάνει τὴν ἱστορίαν τῶν μετὰ τὸν Πελοποννησιακὸν πόλεμον γενομένων ἐν Ἑλλάδι, ἤτοι μέχρι τῆς ἐν Μαντινείᾳ μάχης, (403—362 π. Χ.)

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ναυμαχίαι περὶ Ἄβυδον καὶ Κύζικον (§ 1—26).—Ἐξορία καὶ ἀντικατάστασις τῶν Συρακουσίων στρατηγῶν (§ 27—31). — Ἀπέλασις Ἄγιδος ἐκ Δεκελείας. Στρατολογία Θρασύλλου (§ 32—35).

Μετὰ δὲ ταῦτα[1] οὐ πολλαῖς ἡμέραις ὕστερον ἦλθεν ἐξ Ἀθηνῶν Θυμοχάρης[2] ἔχων ναῦς ὀλίγας· καὶ εὐθὺς ἐναυμάχησαν αὖθις Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι, ἐνί-

---

[1]) Τὸ μετὰ δὲ ταῦτα ἀναφέρεται εἰς τὴν ἐν τέλει τοῦ ὀγδόου βιβλίου τῆς Θουκυδίδου συγγραφῆς ἐξιστορουμένην νίκην τῶν Ἀθηναίων κατὰ τῶν Λακεδαιμονίων, γενομένην τῷ 411 π. Χ. εἰς Κυνὸς σῆμα, ἀκρωτήριον τῆς Θρᾳκικῆς Χερσονήσου, καθόσον τὰ Ἑλληνικὰ Ξενοφῶντος εἰσὶ συνέχεια τῆς ἱστορίας τοῦ Θουκυδίδου. [2]) Στρατηγὸς τῶν Ἀθηναίων σταλεὶς μετὰ στόλου πρὸς

κησαν δὲ Λακεδαιμόνιοι ἡγουμένου Ἀγησανδρίδου.
2 Μετ' ὀλίγον δὲ τούτων Δωριεὺς ὁ Διαγόρου ἐκ Ῥόδου
εἰς Ἑλλήσποντον εἰσέπλει ἀρχομένου χειμῶνος τέτταρσι
καὶ δέκα ναυσὶν ἅμα[1] ἡμέρᾳ. Κατιδὼν δὲ ὁ τῶν Ἀθη-
ναίων ἡμεροσκόπος[2] ἐσήμηνε τοῖς στρατηγοῖς. Οἱ δὲ
ἀνηγάγοντο[3] ἐπ' αὐτὸν εἴκοσι ναυσίν, ἃς ὁ Δωριεὺς
φυγὼν πρὸς τὴν γῆν ἀνεβίβαζε τὰς αὑτοῦ τριήρεις, ὡς
3 ἤνοιγε, περὶ τὸ Ῥοίτειον[4]. Ἐγγὺς δὲ γενομένων[5] τῶν
Ἀθηναίων ἐμάχοντο ἀπό τε τῶν νεῶν καὶ[6] τῆς γῆς μέ-
χρι οἱ Ἀθηναῖοι ἀπέπλευσαν εἰς Μάδυτον[7] πρὸς τὸ
4 ἄλλο στρατόπεδον οὐδὲν πράξαντες. Μίνδαρος[8] δὲ κα-
τιδὼν τὴν μάχην ἐν Ἰλίῳ[9] θύων τῇ Ἀθηνᾷ, ἐβοήθει[10]
ἐπὶ τὴν θάλατταν, καὶ καθελκύσας τὰς ἑαυτοῦ τριήρεις
5 ἀπέπλει, ὅπως ἀναλάβοι τὰς μετὰ Δωριέως. Οἱ δὲ Ἀ-
θηναῖοι ἀνταναγαγόμενοι ἐναυμάχησαν περὶ Ἄβυδον
κατὰ τὴν ἠόνα[11] μέχρι δείλης ἐξ ἑωθινοῦ[12]. Καὶ τὰ

ὑπεράσπισιν τῆς Εὐβοίας, ἀπειλουμένης ὑπὸ τοῦ ναυάρχου τῶν Λακεδαιμονίων Ἀγησανδρίδου, ὑποστὰς ὅμως ἧτταν καὶ ἱκανὴν τῶν πλοίων ἀπώλειαν. [1]) Τὸ χρ. ἐπίρ. ἅμα λαμβ. ὡς πρόθ. καὶ συντάσσεται μετὰ δοτ. [2]) Φύλαξ ἀπὸ ὑψηλοῦ σημείου κατοπτεύων τὰς κινήσεις τῶς ἐχθρῶν [3]) Ἀνάγομαι = βγαίνω ἐκ τοῦ λιμένος εἰς τὰ ἀνοικτὰ (= εἰς τὸ πέλαγος). Τὸ ἀντίθ. κατάγομαι = καταπλέω ἐκ τῆς ἀνοικτῆς θαλάσσης εἰς τὸν λιμένα. Ταὐτόσημον τῷ ἀνάγομαι ἐστὶ καὶ τὸ κατωτέρω ὡς ἤνοιγε· ἀνοίγω (φρ. ναυτ. καὶ παρ' ἡμῖν σωζομένη) = βγαίνω ἀνοικτά, εἰς ἀνοικτὸν πέλαγος. [4]) Ἀκρωτήριον τῆς Τροίας ἐν Ἑλλησπόντῳ. [5]) Πλησιασάντων. [6]) Ἐνν. ἡ πρθ. ἀπό. [7]) Πόλ. τῆς Θρακ. χερσον. (νῦν Μάυτο). [8]) Ναύαρχος, ἐκ Λακεδαίμονος. [9]) Ἐν Τροίᾳ. [10]) Ἔτρεξεν εἰς βοήθειαν. [11]) Ἠὼν καὶ ἠϊὼν (παρὰ ποιητ. ἀπαντ.) = αἰγιαλός. Κατὰ τὴν ἠόνα = πρὸς τὸ μέρος τοῦ αἰγιαλοῦ. [12]) Σχ. πρωθύστ. ἐξ ἑωθ. μέχρι δείλης.

μὲν νικώντων, τὰ δὲ[1] νικωμένων, Ἀλκιβιάδης ἐπεισ-
πλεῖ[2] δυοῖν δεούσαις[3] εἴκοσι ναυσίν. Ἐντεῦθεν δὲ 6
φυγὴ τῶν Πελοποννησίων[4] ἐγένετο πρὸς τὴν Ἄβυδον·
καὶ ὁ Φαρνάβαζος[5] παρεβοήθει, καὶ ἐπεισβαίνων τῷ
ἵππῳ εἰς τὴν θάλατταν μέχρι δυνατὸν ἦν[6] ἐμάχετο,
καὶ τοῖς ἄλλοις τοῖς αὑτοῦ ἱππεῦσι καὶ πεζοῖς παρε-
κελεύετο[7]. Συμφράξαντες[8] δὲ τὰς ναῦς οἱ Πελοποννή-
σιοι καὶ παραταξάμενοι πρὸς τῇ γῇ[9] ἐμάχοντο. Ἀθη- 7
ναῖοι δὲ ἀπέπλευσαν, τριάκοντα ναῦς τῶν πολεμίων
λαβόντες κενὰς καὶ ἃς αὐτοὶ ἀπώλεσαν κομισάμενοι[10],
εἰς Σηστόν[11]. Ἐντεῦθεν πλὴν τεσσαράκοντα νεῶν ἄλλαι 8
ἄλλῃ[12] ᾤχοντο ἐπ' ἀργυρολογίαν[13] ἔξω τοῦ Ἑλλησπόν-
του· καὶ ὁ Θράσυλλος, εἷς ὢν τῶν στρατηγῶν, εἰς
Ἀθήνας ἔπλευσε ταῦτα ἐξαγγελῶν καὶ στρατιὰν καὶ
ναῦς αἰτήσων. Μετὰ δὲ ταῦτα Τισσαφέρνης ἦλθεν εἰς 9
Ἑλλήσποντον· ἀφικόμενον δὲ παρ' αὐτὸν μιᾷ τριήρει Ἀλ-
κιβιάδην ξένιά[14] τε καὶ δῶρα ἄγοντα συλλαβὼν εἶρξεν ἐν
Σάρδεσι, φάσκων[15] κελεύειν βασιλέα πολεμεῖν Ἀθηναίοις.
Ἡμέραις δὲ τριάκοντα ὕστερον Ἀλκιβιάδης ἐκ Σάρδεων 10

---

[1]) Τὰ μὲν — τὰ δὲ ἄλλοτε μὲν = ἄλλοτε δέ. [2]) Ἱστορ. ἐνεστ. ἀντὶ ἐπεισέπλευσε. [3]) Δυοῖν δέουσαις εἴκοσι (φρ.) = εἴκοσι πλὴν (δεούσαις) δύο, ἤτοι 18. [4]) Ὑποκμ. τοῦ φυγή. [5]) Πέρσης σατράπης τῆς Φρυγίας. [6]) Ἐνν. τὸ ἐπεισβαίνειν. [7]) Ἐξυπακ. τὸ μάχεσθαι. [8]) Συμπυκνώσαντες, ὡσεὶ φραγμὸν ποιήσαντες. [9]) Ἐγγὺς τῆς ξηρᾶς. [10]) Λαβόντες. [11]) Πόλ. ἀντικρὺ τῆς Ἀβύδου. [12]) Ἐπίῤ. τοπ. = ἀλλαχοῦ, εἰς ἄλλο μέρος. [13]) Ἐπὶ τῷ σκοπῷ εἰσπράξεως χρημάτων. [14]) Τὰ πρὸς ξενίαν (τροφὴν) χρειώδη. [15]) Ἐντθ. εἰς τὴν ἔνν. τοῦ ψευδῶς λέγων, ὅτι ὁ βασιλεὺς κελεύει (διατάττει) νὰ πολεμῇ (ὁ Τισφρ. δηλ.) τοὺς Ἀθηναίους.

μετὰ Μαντιθέου τοῦ ἁλόντος[1] ἐν Καρίᾳ ἵππων εὐπο-
11 ρήσαντες νυκτὸς ἀπέδρασαν[2] εἰς Κλαζομενάς[3]· οἱ δ' ἐν Σηστῷ Ἀθηναῖοι, αἰσθόμενοι Μίνδαρον πλεῖν ἐπ' αὐτοὺς μέλλοντα ναυσὶν ἑξήκοντα, νυκτὸς ἀπέδρασαν εἰς Καρδίαν. Ἐνταῦθα δὲ καὶ Ἀλκιβιάδης ἧκεν ἐκ τῶν Κλαζομενῶν σὺν πέντε τριήρεσι καὶ ἐπακτρίδι[4]. Πυθόμενος δὲ ὅτι αἱ τῶν Πελοποννησίων νῆες ἐξ Ἀβύδου ἀνηγμέναι εἶεν εἰς Κύζικον, αὐτὸς μὲν πεζῇ ἦλθεν εἰς
12 Σηστόν, τὰς δὲ ναῦς περιπλεῖν ἐκεῖσε ἐκέλευσεν. Ἐπεὶ δ' ἦλθον, ἀνάγεσθαι ἤδη αὐτοῦ μέλλοντος ὡς ἐπὶ ναυμαχίαν ἐπεισπλεῖ Θηραμένης[5] εἴκοσι ναυσὶν ἀπὸ Μακεδονίας, ἅμα δὲ καὶ Θρασύβουλος[6] εἴκοσιν ἑτέραις ἐκ
13 Θάσου, ἀμφότεροι ἠργυρολογηκότες. Ἀλκιβιάδης δὲ εἰπὼν[7] καὶ τούτους διώκειν[8] αὐτὸν ἐξελομένοις[9] τὰ μεγάλα ἱστία αὐτὸς ἔπλευσεν εἰς Πάριον[10]· ἀθρόαι δὲ γενόμεναι αἱ νῆες ἅπασαι ἐν Παρίῳ ἓξ καὶ ὀγδοήκοντα τῆς ἐπιούσης νυκτὸς ἀνηγάγοντο, καὶ τῇ ἄλλῃ ἡμέρᾳ
14 περὶ ἀρίστου ὥραν[11] ἧκον εἰς Προκόννησον[12]. Ἐκεῖ δ'

---

1) Πθ. ἀόρ. τοῦ ἁλίσκομαι (τὸ ἐνεργ. αἱρῶ).=Συλληφθέντος. 2) Σχ. κατὰ σύνεσιν ἀντὶ ἀπέδρα (γ'. ἑν. πρ. σύμφ. τῷ ὑποκμ. Ἀλκιβ.). Ἀλλ' ὑπονοοῦνται ὡς ὑποκμ. τοῦ ἀπέδρασαν Ἀλκιβ. καὶ Μαντίθεος. 3) Πόλ. τῆς Ἰωνίας εἰς τὸν κόλπον τῆς Σμύρνης. 4) Ἐπακτρὶς (ἐπὶ — ἀκτὴ = παραλία) μικρὸν ταχύπλουν σκάφος διὰ τοὺς παρακτίους πλόας. 5) Στρατηγὸς καὶ δημαγωγὸς τῶν Ἀθηναίων, εἷς τῶν 30 τυράννων, ὑφ' ὧν βραδύτερον κατεδικάσθη εἰς θάνατον. 6) Ὁ ἐλευθερώσας τὰς Ἀθήνας ὑπὸ τῆς τυραννίας τῶν 30. 7) Διατάξας. 8) = Ἀκολουθεῖν. 9) Ἀόρ. τοῦ ἐξαιροῦμαι = ἀφαιρῶ. 10) Πόλ. εἰς τὴν εἴσοδον τῆς Προποντίδος. 11) Κατὰ τὴν ὥραν τοῦ προγεύματος, ἤτοι τὴν μεσημβρίαν. Δεῖπνον ἢ δόρπος ἦτο τὸ ἑσπερινὸν φαγητὸν καὶ ἀκράτισμα τὸ πρωϊνόν. 12) Ἡ νῦν τοῦ Μαρμαρᾶ νῆσος τῆς Προποντίδος ἀντικρὺ τῆς Κυζίκου.

ἐπύθοντο ὅτι Μίνδαρος ἐν Κυζίκῳ εἴη καὶ Φαρνάβαζος
μετὰ τοῦ πεζοῦ. Ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ
ἔμειναν, τῇ δὲ ὑστεραίᾳ Ἀλκιβιάδης ἐκκλησίαν ποιήσας
παρεκελεύετο αὐτοῖς ὅτι ἀνάγκη εἴη καὶ ναυμαχεῖν καὶ
πεζομαχεῖν καὶ τειχομαχεῖν· Οὐ γὰρ ἔστιν, ἔφη, χρή-
ματα ἡμῖν, τοῖς δὲ πολεμίοις[1] ἄφθονα παρὰ βασιλέως[2].
Τῇ δὲ προτεραίᾳ, ἐπειδὴ ὡρμίσαντο[3], τὰ πλοῖα πάντα 15
καὶ[4] τὰ μικρὰ συνήθροισε παρ' ἑαυτόν, ὅπως μηδεὶς
ἐξαγγείλαι[5] τοῖς πολεμίοις τὸ πλῆθος τῶν νεῶν, ἐπε-
κήρυξέ τε[6], ὃς ἂν ἁλίσκηται εἰς τὸ πέραν διαπλέων,
θάνατον τὴν ζημίαν[7]. Μετὰ δὲ τὴν ἐκκλησίαν παρα- 16
σκευασάμενος ὡς ἐπὶ ναυμαχίαν ἀνηγάγετο ἐπὶ τὴν Κύ-
ζικον ὕοντος[8] πολλῷ. Ἐπειδὴ δ' ἐγγὺς τῆς Κυζίκου
ἦν, αἰθρίας γενομένης καὶ τοῦ ἡλίου ἐκλάμψαντος κα-
θορᾷ τὰς τοῦ Μινδάρου ναῦς γυμναζομένας πόρρω ἀπὸ
τοῦ λιμένος καὶ ἀπειλημμένας[9] ὑπ' αὐτοῦ, ἑξήκοντα
οὔσας. Οἱ δὲ Πελοποννήσιοι ἰδόντες τὰς τῶν Ἀθηναίων 17
τριήρεις οὔσας πλείους τε πολλῷ ἢ πρότερον καὶ πρὸς
τῷ λιμένι, ἔφυγον πρὸς τὴν γῆν· καὶ συνορμίσαντες[10]
τὰς ναῦς ἐμάχοντο ἐπιπλέουσι τοῖς ἐναντίοις. Ἀλκι- 18
βιάδης δὲ ταῖς εἴκοσι τῶν νεῶν περιπλεύσας[11] ἀπέβη
εἰς τὴν γῆν. Ἰδὼν δὲ ὁ Μίνδαρος, καὶ αὐτὸς ἀποβὰς

---

1) Ἐνν. ἐστὶ χρήματα. 2) Ἐνν. διδόμενα, προσφερόμενα παρὰ βασιλέως. 3) Ἀφοῦ εἰσῆλθον εἰς τὸν λιμένα (=ὅρμος, ἐξ οὗ ὁρμίζω=ἀράζω, ἐλλιμενίζομαι) τῆς Προκον. 4) Ὁ καὶ ἐπιδοτ.=ἀκόμη καὶ τὰ μικρά. 5) Ἐγκλ. εὐκτική. 6) Ἐνν. ἐκείνῳ, ὃς ἂν ἁλίσκηται. 7) Ποινὴν θανάτου. 8) Τὸ ὑποκμ. Διός· ὕει=βρέχει. 9) Ἀποκεχωρισμένας ἀπ' αὐτοῦ (τοῦ Ἀλκιβ.) ἀπὸ τὴν ξηράν. 10) Συμπυκνώσαντες. 11) Πλεύσας πέριξ τοῦ ἐν τῇ μάχῃ στόλου.

ἐν τῇ γῇ μαχόμενος ἀπέθανεν· οἱ δὲ μετ' αὐτοῦ ὄντες ἔφυγον. Τὰς δὲ ναῦς οἱ Ἀθηναῖοι ᾤχοντο ἄγοντες[1] ἁπάσας εἰς Προκόννησον πλὴν τῶν Συρακοσίων· ἐκεί-
19 νας δὲ αὐτοὶ κατέκαυσαν οἱ Συρακόσιοι. Ἐκεῖθεν δὲ τῇ ὑστεραίᾳ ἔπλεον οἱ Ἀθηναῖοι ἐπὶ Κύζικον. Οἱ δὲ Κυζικηνοὶ τῶν Πελοποννησίων καὶ Φαρναβάζου ἐκλι-
20 πόντων αὐτὴν[2] ἐδέχοντο τοὺς Ἀθηναίους. Ἀλκιβιάδης δὲ μείνας αὐτοῦ εἴκοσιν ἡμέρας καὶ χρήματα πολλὰ λαβὼν παρὰ τῶν Κυζικηνῶν οὐδὲν ἄλλο κακὸν ἐργασά-
21 μενος ἐν τῇ πόλει ἀπέπλευσεν εἰς Προκόννησον. Ἐκεῖθεν δ' ἔπλευσεν εἰς Πέρινθον καὶ Σηλυβρίαν. Καὶ Περίνθιοι μὲν εἰσεδέξαντο εἰς τὸ ἄστυ τὸ στρατόπεδον· Σηλυβριανοὶ δὲ ἐδέξαντο μὲν οὔ, χρήματα δὲ ἔδοσαν.
22 Ἐντεῦθεν δ' ἀφικόμενοι τῆς Καλχηδονίας εἰς Χρυσόπολιν[3] ἐτείχισαν αὐτήν, καὶ δεκατευτήριον[4] κατεσκεύασαν ἐν αὐτῇ, καὶ τὴν δεκάτην ἐξέλεγον[5] τῶν ἐκ τοῦ Πόντου πλοίων, καὶ φυλακὴν ἐγκαταλιπόντες ναῦς τριάκοντα καὶ στρατηγὼ δύο, Θηραμένη καὶ Εὔμαχον, τοῦ τε χωρίου ἐπιμελεῖσθαι καὶ τῶν ἐκπλεόντων πλοίων καὶ εἴ τι ἄλλο δύναιντο βλάπτειν τοὺς πολεμίους. Οἱ δ'
23 ἄλλοι στρατηγοὶ εἰς τὸν Ἑλλήσποντον ᾤχοντο. Παρὰ δὲ Ἱπποκράτους τοῦ Μινδάρου ἐπιστολέως[6] εἰς Λακε-

---

1) Τὸ οἴχομαι μετὰ μετοχῆς ἔχει καὶ επιρρημ. σημασίαν τοῦ ταχέως γίγνεσθαι τὴν ὑπὸ τῆς μετοχῆς δηλουμένην πρᾶξιν, ὡς ᾤχοντο ἄγοντες = ταχὺ ἦγον. 2) Τὴν Κύζικον. 3) Τὸ νῦν Σκούταρι ἐν Βοσπόρῳ. 4) Δεκατευτήριον, τὸ μέρος ὅπου ἀπεταμιεύετο ἡ δεκάτη, φόρος δηλ. εἰσπραττόμενος ἀπὸ τῶν πλοίων 5) Εἰσέπραττον, ἐλάμβανον. 6) Ἐπιστολεὺς καὶ ἐπιστολιαφόρος ἐλέγετο ὁ ὑποναύαρχος ἐν τῷ στόλῳ τῶν Σπαρτιατῶν

δαίμονα γράμματα πεμφθέντα ἑάλω εἰς 'Αθήνας[1] λέ-
γοντα τάδε· Ἔρρει[2] τὰ κᾶλα[3]. Μίνδαρος ἀπεσσύα[4].
Πεινῶντι[5] τὤνδρες[6]. 'Απορίομες[7] τί χρὴ δρᾶν. Φαρ- 24
νάβαζος δὲ παντὶ τῷ τῶν Πελοποννησίων στρατεύματι
καὶ τοῖς συμμάχοις παρακελευσάμενος μὴ ἀθυμεῖν ἕνεκα
ξύλων[8], ὡς ὄντων πολλῶν ἐν τῇ[9] βασιλέως, ἕως ἂν[10]
τὰ σώματα σᾶ ᾖ, ἱμάτιόν τ' ἔδωκεν ἑκάστῳ καὶ ἐφόδιον
δυοῖν μηνοῖν, καὶ ὁπλίσας τοὺς ναύτας φύλακας κατέ-
στησε τῆς ἑαυτοῦ παραθαλαττίας γῆς. Καὶ συγκαλέσας 25
τούς τε ἀπὸ τῶν πόλεων στρατηγοὺς καὶ τριηράρχους
ἐκέλευε ναυπηγεῖσθαι τριήρεις ἐν 'Αντάνδρῳ ὅσας ἕκα-
στοι ἀπώλεσαν, χρήματά τε διδοὺς καὶ ὕλην ἐκ τῆς
Ἴδης κομίζεσθαι φράζων. Ναυπηγουμένων[11] δὲ οἱ Συ- 26
ρακόσιοι ἅμα τοῖς 'Ανтανδρίοις τοῦ τείχους τι ἐπετέ-
λεσαν, καὶ ἐν τῇ φρουρᾷ[12] ἤρεσαν πάντων μάλιστα. Διὰ
ταῦτα δὲ εὐεργεσία τε καὶ πολιτεία[13] Συρακουσίοις ἐν
'Αντάνδρῳ ἐστί. Φαρνάβαζος μὲν οὖν ταῦτα διατάξας
εὐθὺς εἰς Καλχηδόνα ἐβοήθει[14].

Ἐν δὲ τῷ χρόνῳ τούτῳ ἠγγέλθη τοῖς τῶν Συρακο- 27
σίων στρατηγοῖς οἴκοθεν ὅτι φεύγοιεν ὑπὸ τοῦ δήμου[15].

---

1) Βραχυλογ. ἀντὶ ἁλόντα ἐκομίσθη εἰς 'Αθήνας. 2) Πᾶνε, ἐχάθησαν. 3) Λακων.=τὰ ξύλα, τὰ πλοῖα. 4) 'Απεσσύα (δωρ. ἀντὶ ἀπεσύη) β'. πθτ. ἀόρ. τοῦ ἀποσοῦμαι (ἀττ. ἀποσεύομαι) =ἐχάθη, ἀπέθανε. 5) Δωρ. ἀντὶ πεινῶσι. 6) Τὤνδρες κατὰ κρᾶσιν, ἀντὶ τοι (=οἱ) ἄνδρες. 7) Δωρ. =ἀποροῦμεν, δὲν ἠξεύρομεν τί πρέπει νὰ κάμωμεν. 8) Πλοίων. 9) 'Ενν. χώρᾳ. 10) 'Εφ' ὅσον ὑπῆρχον οἱ ἄνδρες σῶοι (=τὰ σώματα σᾶ). 11) Τῶν τριήρεων. 12) Ἡ ἐν δηλοῖ τὸν χρόνον· ὅτε ἦσαν ἐν φρουρᾷ, ὅτε ἐφρούρουν. 13) Οἱ 'Αντάνδριοι δηλ. ἐκήρυξαν εὐεργέτας καὶ πολίτας τοὺς Συρακουσίους. 14) Ἦλθε πρὸς βοήθειαν. 15) Ὅτι ἐξωρίσθησαν ὑπὸ τοῦ λαοῦ (τοῦ δήμου).

Συγκαλέσαντες οὖν τοὺς ἑαυτῶν στρατιώτας Ἑρμοκράτους[1] προηγοροῦντος ἀπωλοφύροντο[2] τὴν ἑαυτῶν συμφοράν, ὡς ἀδίκως φεύγοιεν ἅπαντες παρὰ τὸν νόμον[3]· παρῄνεσάν[4] τε προθύμους εἶναι καὶ τὰ λοιπὰ[5], ὥσπερ τὰ πρότερα, καὶ ἄνδρας ἀγαθοὺς πρὸς τὰ ἀεὶ[6] παραγγελλόμενα, μεμνημένους ὅσας τε ναυμαχίας αὐτοὶ καθ' αὑτοὺς[7] νενικήκατε καὶ ναῦς εἰλήφατε, ὅσα τε μετὰ τῶν ἄλλων ἀήττητοι γεγόνατε ἡμῶν ἡγουμένων, τάξιν ἔχοντες τὴν κρατίστην διά τε τὴν ἡμετέραν ἀρετὴν καὶ διὰ τὴν ὑμετέραν προθυμίαν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑπάρχουσαν. Ἑλέσθαι δὲ ἐκέλευον ἄρχοντας,
28 μέχρι ἂν ἀφίκωνται οἱ ᾑρημένοι ἀντ' ἐκείνων. Οἱ δ' ἀναβοήσαντες ἐκέλευον ἐκείνους ἄρχειν, καὶ μάλιστα οἱ τριήραρχοι[8] καὶ οἱ ἐπιβάται[9] καὶ οἱ κυβερνῆται[10]. Οἱ δ' οὐκ ἔφασαν δεῖν[11] στασιάζειν πρὸς τὴν ἑαυτῶν πόλιν· εἰ δέ τις ἐπικαλοίη[12] τι αὐτοῖς, λόγον ἔφασαν χρῆναι
29 διδόναι[13]. Οὐδενὸς δὲ οὐδὲν ἐπαιτιωμένου[14], δεομένων ἔμειναν ἕως ἀφίκοντο οἱ ἀντ' ἐκείνων στρατηγοί, Δήμαρχός τε Ἐπιδόκου καὶ Μύσκων Μενεκράτους καὶ Πό–

---

1) Στρατηγὸς τῶν Συρακ. 2) Ἐθρήνουν. 3) Ὅτι ἡ ἐξορία των ἦτο ἄδικος (ἀδίκως φεύγοιεν) καὶ παράνομος (παρὰ τὸν νόμον). 4) Ἐνν. ἀντικμ. τοὺς στρατιώτας. 5) Ἐπίρ. = καὶ τοῦ λοιποῦ. 6) Ἑκάστοτε, πρὸς τὰ κάθε φορὰν παραγγελλόμενα. 7) Μόνοι σας. 8) Οἱ τῶν τριήρων ἄρχοντες, ἐλέγοντο ἐν Ἀθήναις οἱ ἐξ ἰδίων δαπανῶντες καὶ διατηροῦντες ἀνὰ ἓν πλοῖον. 9) Στρατιῶται ναυτικοὶ ἐπιβαίνοντες τῶν πλοίων πρὸς ὑπεράσπισιν. 10) Οἱ διοικοῦντες τὰ πλοῖα. 11) = Ἔφασαν οὐ δεῖν. 12) = Ἐγκαλοίη τι (ἔγκλημα σύστ. ἀντκμ.), κατηγοροίη αὐτοὺς (τοὺς στρατηγούς). 13) Διδόναι λόγον = ἀπολογηθῆναι. 14) Οὐδὲν ἐπαιτιωμένου = οὐδεμίαν αἰτίαν ἀποδίδοντος.

ταμις Γνώσιος. Τῶν δὲ τριηράρχων ὀμόσαντες οἱ πλεῖ-
στοι κατάξειν[1] αὐτούς, ἐπὰν εἰς Συρακούσας ἀφίκων-
ται, ἀπεπέμψαντο ὅποι ἐβούλοντο πάντας ἐπαινοῦντες·
ἰδίᾳ δὲ οἱ πρὸς Ἑρμοκράτη προσομιλοῦντες[2] μάλιστα ἐπό- 30
θησαν τήν τε ἐπιμέλειαν καὶ προθυμίαν καὶ κοινότητα[3].
Ὧν γὰρ ἐγίγνωσκε τοὺς ἐπιεικεστάτους καὶ τριηράρχων
καὶ κυβερνητῶν καὶ ἐπιβατῶν, ἑκάστης ἡμέρας πρῴ καὶ
πρὸς ἑσπέραν συναλίζων[4] πρὸς τὴν σκηνὴν τὴν ἑαυτοῦ
ἀνεξυνοῦτο[5] ὅ,τι ἔμελλεν ἢ λέγειν ἢ πράττειν, κἀκείνους
ἐδίδασκε κελεύων λέγειν τὰ μὲν ἀπὸ τοῦ παραχρῆμα[6],
τὰ δὲ βουλευσαμένους. Ἐκ τούτων[7] Ἑρμοκράτης τὰ 31
πολλὰ[8] ἐν τῷ συνεδρίῳ εὐδόξει λέγειν τε δοκῶν καὶ
βουλεύειν τὰ κράτιστα. Κατηγορήσας δὲ Τισσαφέρνους
ἐν Λακεδαίμονι Ἑρμοκράτης, μαρτυροῦντος καὶ Ἀστυ-
όχου, καὶ δόξας τὰ ὄντα[9] λέγειν, ἀφικόμενος παρὰ
Φαρνάβαζον, πρὶν αἰτῆσαι χρήματα λαβών, παρεσκευά-
ζετο πρὸς τὴν εἰς Συρακούσας κάθοδον ξένους τε καὶ
τριήρεις. Ἐν τούτῳ[10] δὲ ἧκον οἱ διάδοχοι τῶν[11] Συρα-
κοσίων εἰς Μίλητον καὶ παρέλαβον τὰς ναῦς καὶ τὸ
στράτευμα.
Ἐν Θάσῳ δὲ κατὰ τὸν καιρὸν τοῦτον στάσεως γενο- 32

---

1) Μέλ. τοῦ κατάγω = ἐπαναφέρω (τινὰ ἐκ τῆς ἐξορίας) καὶ κατάγομαι = ἐπανέρχομαι ἐκ τῆς ἐξορίας, τὸ ἀντίθ. τοῦ φεύγω = ἐξορίζομαι. 2) Οἱ συχνάκις συναναστρεφόμενοι πρὸς τὸν Ἑρμ. 3) Ἐνν. αὐτοῦ. Κοινότης = (ἐντθ.) τὸ εὐπροσήγορον τοῦ κοινωνικοῦ (ὡς παρ' ἡμῖν λέγεται) ἀνθρώπου, δημοτικότης. 4) Συναθροίζων. 5) Ἐκ τοῦ δωρ. ξυνὸς = κοινός. Ἀνεκοινοῦντο. 6) Ἐκ τοῦ προχείρου 7) Ἕνεκεν τούτων. 8) Ἐπίρ. = ὡς ἐπὶ τὸ πλεῖστον. 9) Τὰ πραγματικά, τὰ ἀληθινά. 10) Ἐνν. τῷ χρόνῳ, ἐν τῷ μεταξύ. 11) Δηλ. τῶν στρατηγῶν τῶν Σαρακουσίων.

μένης ἐκπίπτουσιν[1] οἱ λακωνισταὶ καὶ ὁ Λάκων ἁρμοστής[2] Ἐτεόνικος. Καταιτιαθεὶς δὲ ταῦτα πρᾶξαι[3] σὺν Τισσαφέρνει Πασιππίδας ὁ Λάκων ἔφυγεν[4] ἐκ Σπάρτης· ἐπὶ δὲ τὸ ναυτικόν, ὃ ἐκεῖνος ἠθροίκει ἀπὸ τῶν συμμάχων, ἐξεπέμφθη Κρατησιππίδας, καὶ παρέλα-
33 βεν[5] ἐν Χίῳ. Περὶ δὲ τούτους τοὺς χρόνους Θρασύλλου ἐν Ἀθήναις ὄντος Ἆγις ἐκ τῆς Δεκελείας[6] προνομὴν ποιούμενος[7] πρὸς αὐτὰ τὰ τείχη ἦλθε τῶν Ἀθηναίων· Θράσυλλος δὲ ἐξαγαγὼν Ἀθηναίους καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ πόλει ὄντας ἅπαντας παρέταξε παρὰ τὸ Λύκειον [γυμνάσιον], ὡς μαχούμενος, ἂν προσίωσιν.
34 Ἰδὼν δὲ ταῦτα Ἆγις ἀπήγαγε ταχέως, καί τινες αὐτῶν ὀλίγοι τῶν ἐπὶ πᾶσιν ὑπὸ τῶν ψιλῶν ἀπέθανον. Οἱ οὖν Ἀθηναῖοι τῷ Θρασύλλῳ διὰ ταῦτα ἔτι προθυμότεροι ἦσαν ἐφ' ἃ ἧκε[8], καὶ ἐψηφίσαντο ὁπλίτας τε αὐτὸν καταλέξεσθαι[9] χιλίους, ἱππέας δὲ ἑκατόν, τριήρεις δὲ
35 πεντήκοντα. Ἆγις δὲ ἐκ τῆς Δεκελείας ἰδὼν πλοῖα πολλὰ σίτου[10] εἰς Πειραιᾶ καταθέοντα, οὐδὲν ὄφελος ἔφη εἶναι τοὺς μετ' αὐτοῦ πολὺν ἤδη χρόνον Ἀθηναίους εἴργειν τῆς γῆς, εἰ μή τις σχήσοι[11] καὶ ὅθεν[12] ὁ κατὰ

---

1) Ἐξορίζονται οἱ ὄντες μὲ τὸ κόμμα τῶν Λακώνων (= λακωνισταί). 2) Ἁρμοστὴς ἐλέγετο ὁ ὑπὸ τῶν Λακεδ. στελλόμενος διοικητὴς εἰς τὰς ὑποτελεῖς χώρας. 3) Ὅτι διενήργησε (= πρᾶξαι) ταῦτα. 4) Ἀπῆλθε ἐξόριστος. 5) Ἐνν. αὐτό, τὴν διεύθυνσιν αὐτοῦ (τοῦ ναυτικοῦ). 6) Δεκέλεια, τὸ νῦν ὀνομαζ. Τατόϊ, κώμη καὶ δῆμος τῆς Ἀττ. 7) Προνομὴν ποιούμενος = προνομεύων = διαρπάζων τὰ τῆς χώρας. 8) Βραχυλγ. ἐπὶ ταῦτα, ἐφ' ἃ ἧκε. 9) = Στρατολογῆσαι. 10) Πλοῖα πολλὰ περιέχοντα σῖτον. Τὸ σίτου εἶνε γεν. τοῦ περιεχομένου. 11) Εἰ μή τις σχήσοι, ὑποθετ. λόγος, οὗ ἡ ἀπόδ. τὸ ἀνωτέρω ἔφη εἶναι. 12) Καὶ ὅθεν = καὶ (προσθετ.) τὰ χωρία, ἐξ ὧν (ὅθεν) κτλ.

θάλατταν σῖτος φοιτᾷ· κράτιστόν τε εἶναι[1] [καὶ] Κλέαρ-
χον τὸν Ῥαμφίου πρόξενον ὄντα Βυζαντίων πέμψαι εἰς
Καλχηδόνα τε καὶ Βυζάντιον[2]. Δόξαντος δὲ τούτου[3], 36
πληρωθεισῶν νεῶν ἔκ τε Μεγάρων καὶ παρὰ τῶν ἄλλων
συμμάχων πεντεκαίδεκα στρατιωτίδων[4] μᾶλλον ἢ τα-
χειῶν[5] ᾤχετο[6]. Καὶ αὐτοῦ τῶν νεῶν τρεῖς ἀπόλλυνται
ἐν τῷ Ἑλλησπόντῳ ὑπὸ τῶν Ἀττικῶν ἐννέα νεῶν, αἳ
ἀεὶ ἐνταῦθα τὰ πλοῖα διεφύλαττον, αἱ δ' ἄλλαι ἔφυγον
εἰς Σηστόν, ἐκεῖθεν δὲ εἰς Βυζάντιον ἐσώθησαν. [Καὶ ὁ 37
ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδόνιοι Ἀννίβα ἡγουμένου
στρατεύσαντες ἐπὶ[7] Σικελίαν δέκα μυριάσι στρατιᾶς
αἱροῦσιν[8] ἐν τρισὶ μησὶ δύο πόλεις Ἑλληνίδας Σελι-
νοῦντα καὶ Ἱμέραν.]

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Θάνατος Ἱπποκράτους ἐν τῇ πρὸς Θράσυλλον μάχῃ (§ 1—7). — Ὅρκια Ἀλκιβιάδου καὶ Φαρναβάζου περὶ ὑποτελείας Καλχηδονίων (§ 8—14). — Πολιορκία καὶ εἰσβολὴ τῶν Ἀθηναίων εἰς Βυζάντιον (§ 15 — 22)

[Τοῦ δ' ἐπιόντος ἔτους[9] ὁ ἐν Φωκαίᾳ νεὼς τῆς Ἀθηνᾶς ἐνεπρήσθη πρηστῆρος[10] ἐμπεσόντος]. Ἐπεὶ δ' ὁ χειμὼν ἔληγε, [Πανταλέους μὲν ἐφορεύοντος, ἄρχοντος

---

1) Τὸ εἶναι εἰδ. ἀπαρέμφ. ἐκ τοῦ ἔφη. 2) Ἡ νῦν Κωνσταντινούπολις. 3) Ἀντὶ αἰτιατ. ἀπολύτου: δόξαν τοῦτο. 4) Στρατιώτιδες (νῆες) ἐλέγοντο τὰ πρὸς μεταφορὰν τῶν στρατιωτῶν προωρισμένα πλοῖα, ὁπλιταγωγοί. 5) Ταχεῖαι (νῆες) = πολεμικὰ πλοῖα. 6) Ὁ Κλ. 7) Ἐναντίον τῆς Σικ. 8) Ἱστορ. ἐνεστώς, ἀντὶ εἷλον, ὡς καὶ ἀνωτέρω ἀπόλλυνται = ἀπώλοντο. 9) Ἤτοι τὸ 23ον ἔτος τοῦ πολ. τῷ 409 π. Χ. 10) Κεραυνοῦ καταπεσόντος ἐν αὐτῷ (τῷ ναῷ). Ἀλλαχοῦ ὁ Ξεν. γράφει καὶ σκηπτὸν τὸν κεραυνόν.

δ' 'Αντιγένους], ἔαρος ἀρχομένου, [δυοῖν καὶ εἴκοσιν ἐτῶν τῷ πολέμῳ παρεληλυθότων], οἱ 'Αθηναῖοι ἔπλευσαν εἰς
2 Προκόννησον παντὶ τῷ στρατοπέδῳ. 'Εκεῖθεν δ' ἐπὶ Καλχηδόνα καὶ Βυζάντιον ὁρμήσαντες ἐστρατοπεδεύσαντο πρὸς Καλχηδόνι. Οἱ δὲ Καλχηδόνιοι προσιόντας αἰσθόμενοι τοὺς 'Αθηναίους, τὴν λείαν[1] ἅπασαν κατέθεντο εἰς τοὺς Βιθυνοὺς Θρᾶκας ἀστυγείτονας ὄντας.
3 'Αλκιβιάδης δὲ λαβὼν τῶν τε ὁπλιτῶν ὀλίγους καὶ τοὺς ἱππέας, καὶ τὰς ναῦς παραπλεῖν κελεύσας, ἐλθὼν εἰς τοὺς Βιθυνοὺς ἀπῄτει τὰ τῶν Καλχηδονίων χρήματα· εἰ δὲ μή[2], πολεμήσειν ἔφη αὐτοῖς. Οἱ δὲ ἀπέδοσαν.
4 'Αλκιβιάδης δ' ἐπεὶ ἧκεν εἰς τὸ στρατόπεδον τήν τε λείαν ἔχων καὶ πίστεις πεποιημένος[3], ἀπετείχιζε[4] τὴν Καλχηδόνα παντὶ τῷ στρατοπέδῳ ἀπὸ θαλάττης εἰς θάλατταν[5] καὶ τοῦ ποταμοῦ ὅσον οἷόν τ' ἦν[6] ξυλίνῳ τείχει.
5 'Ενταῦθα Ἱπποκράτης μὲν ὁ Λακεδαιμόνιος ἁρμοστὴς ἐκ τῆς πόλεως ἐξήγαγε τοὺς στρατιώτας, ὡς μαχούμενος[7]· οἱ δὲ 'Αθηναῖοι ἀντιπαρετάξαντο αὐτῷ, Φαρνάβαζος δὲ ἔξω τῶν περιτειχισμάτων προσεβοήθει στρατιᾷ
6 τε καὶ ἵπποις πολλοῖς. Ἱπποκράτης μὲν οὖν καὶ Θράσυλλος ἐμάχοντο ἑκάτερος τοῖς ὁπλίταις χρόνον πολύν, μέχρι 'Αλκιβιάδης ἔχων ὁπλίτας τέ τινας καὶ τοὺς ἱππέας ἐβοήθησε. Καὶ Ἱπποκράτης μὲν ἀπέθανεν, οἱ δὲ

---

[1]) Λεία = λάφυρον. 'Αλλ' ἐντθ. ἐννοεῖ πᾶν ὅ,τι ἠδύνατο νὰ γίνῃ λεία, νὰ λαφυραγωγηθῇ ὑπὸ τῶν ἐχθρῶν. [2]) 'Ενν. ἀπεδίδοσαν ταῦτα (τὰ χρ.). [3]) 'Ενν. πρὸς τοὺς Βιθυνούς. Πίστεις ποιοῦμαι =δίδω ἔνορκον συμφωνίαν, πιστά. [4]) Περιετείχιζε. [5]) 'Από τοῦ Βοσπόρου μέχρι τῆς Προποντίδος. [6]) 'Ενν. ἀποτειχίσαι. [7]) Τελ. μετοχή, μὲ τὸν σκοπὸν νὰ (= ὡς) πολεμήσῃ.

μετ' αὐτοῦ ὄντες ἔφυγον εἰς τὴν πόλιν. Ἅμα δὲ καὶ 7
Φαρνάβαζος, οὐ δυνάμενος συμμῖξαι[1] πρὸς τὸν Ἱπποκράτη διὰ τὴν στενοπορίαν[2], τοῦ ποταμοῦ καὶ τῶν ἀποτειχισμάτων ἐγγὺς ὄντων, ἀπεχώρησεν εἰς τὸ Ἡράκλειον[3] τὸ τῶν Καλχηδονίων οὗ[4] ἦν αὐτῷ τὸ στρατόπεδον. Ἐκ τούτου δὲ Ἀλκιβιάδης μὲν ᾤχετο εἰς τὸν 8
Ἑλλήσποντον καὶ εἰς Χερρόνησον[5] χρήματα πράξων[6]· οἱ δὲ λοιποὶ στρατηγοὶ συνεχώρησαν[7] πρὸς Φαρνάβαζον ὑπὲρ Καλχηδόνος εἴκοσι τάλαντα[8] δοῦναι Ἀθηναίοις Φαρνάβαζον καὶ ὡς[9] βασιλέα πρέσβεις Ἀθηναίων ἀναγαγεῖν, καὶ ὅρκους ἔδοσαν καὶ ἔλαβον παρὰ Φαρναβάζου 9
ὑποτελεῖν[10] τὸν φόρον Καλχηδονίους Ἀθηναίοις ὅσον περ εἰώθεσαν καὶ τὰ ὀφειλόμενα χρήματα ἀποδοῦναι, Ἀθηναίους δὲ μὴ πολεμεῖν Καλχηδονίοις, ἕως ἂν οἱ παρὰ βασιλέως πρέσβεις ἔλθωσιν. Ἀλκιβιάδης δὲ τοῖς 10
ὅρκοις οὐκ ἐτύγχανε παρών, ἀλλὰ περὶ Σηλυβρίαν ἦν· ἐκείνην δ' ἑλὼν πρὸς τὸ Βυζάντιον ἧκεν, ἔχων Χερρονησίτας τε πανδημεὶ καὶ ἀπὸ Θρᾴκης στρατιώτας καὶ ἱππέας πλείους τριακοσίων. Φαρνάβαζος δὲ ἀξιῶν δεῖν 11
κἀκεῖνον ὀμνύναι, περιέμενεν ἐν Καλχηδόνι, μέχρι ἔλθοι ἐκ τοῦ Βυζαντίου· ἐπειδὴ δ' ἦλθεν, οὐκ ἔφη ὀμεῖσθαι[11] εἰ μὴ κἀκεῖνος αὐτῷ ὀμεῖται. Μετὰ ταῦτα ὤμοσεν ὁ μὲν[12] 12
ἐν Χρυσοπόλει οἷς Φαρνάβαζος ἔπεμψε Μιτροβάτει καὶ

---

[1]) Νὰ ἑνωθῇ. [2]) Διὰ τὸ στενὸν τοῦ περάσματος. [3]) Ναὸν τοῦ Ἡρακλέους. [4]) Ὅπου. [5]) Τὴν Θρᾳκικήν. [6]) Τελ. μετχ. = διὰ νὰ εἰσπράξῃ χρ. [7]) Συνεφώνησαν. [8]) Τὸ τάλαντον ἦν ποσὸν χρηματ. ἐκ μνῶν 60. Ἡ μνᾶ = 100 δρ. καὶ ἡ δραχμὴ = 6 ὀβολούς. [9]) Πρθ. = πρός. [10]) Νὰ εἶνε ὑποκείμενοι εἰς φόρον. [11]) = Ἔφη οὐκ ὀμεῖσθαι. [12]) Ἀλκιβ.

Ἀρνάπει, ὁ δ'[1] ἐν Καλχηδόνι τοῖς παρ' Ἀλκιβιάδου
Εὐρυπτολέμῳ καὶ Διοτίμῳ τόν τε κοινὸν ὅρκον[2] καὶ ἰδίᾳ
13 ἀλλήλοις πίστεις ἐποιήσαντο. Φαρνάβαζος μὲν οὖν εὐθὺς
ἀπῄει, καὶ τοὺς παρὰ βασιλέα πορευομένους πρέσβεις
ἀπαντᾶν ἐκέλευσεν εἰς Κύζικον[3]. Ἐπέμφθησαν δὲ Ἀθη-
ναίων μὲν Δωρόθεος, Φιλοδίκης, Θεογένης, Εὐρυπτό-
λεμος, Μαντίθεος, σὺν δὲ τούτοις Ἀργεῖοι Κλεόστρα-
τος, Πυρρόλοχος· ἐπορεύοντο δὲ καὶ Λακεδαιμονίων
πρέσβεις Πασιππίδας καὶ ἕτεροι, μετὰ δὲ τούτων καὶ
Ἑρμοκράτης, ἤδη φεύγων[4] ἐκ Συρακουσῶν, καὶ ὁ ἀδελ-
14 φὸς αὐτοῦ Πρόξενος. Καὶ Φαρνάβαζος μὲν τούτους ἦγεν·
οἱ δὲ Ἀθηναῖοι τὸ Βυζάντιον ἐπολιόρκουν περιτειχί-
σαντες, καὶ πρὸς τὸ τεῖχος ἀκροβολισμοὺς καὶ προσβο-
15 λὰς ἐποιοῦντο. Ἐν δὲ τῷ Βυζαντίῳ ἦν Κλέαρχος Λα-
κεδαιμόνιος ἁρμοστὴς καὶ σὺν αὐτῷ τῶν περιοίκων[5] τινὲς
καὶ τῶν νεοδαμωδῶν[6] οὐ πολλοὶ καὶ Μεγαρεῖς καὶ ἄρ-
χων αὐτῶν Ἕλιξος Μεγαρεὺς καὶ Βοιωτοὶ καὶ τούτων
16 ἄρχων Κοιρατάδας. Οἱ δ' Ἀθηναῖοι ὡς οὐδὲν ἐδύναντο
διαπράξασθαι κατ' ἰσχύν, ἔπεισάν τινας τῶν Βυζαντίων
17 προδοῦναι τὴν πόλιν. Κλέαρχος δὲ ὁ ἁρμοστὴς οἰόμενος
οὐδένα ἂν τοῦτο ποιῆσαι[7], καταστήσας δὲ ἅπαντα ὡς
ἐδύνατο κάλλιστα καὶ ἐπιτρέψας τὰ ἐν τῇ πόλει Κοι-

---

1) Φαρνβζ. 2) **Κοινὸς ὅρκος**, ὁ ἀφορῶν τὰ κοινά. Τὸ ἀντίθ. **ἰδίᾳ πίστεις** = ἡ ἔνορκος ὑπόσχεσις περὶ τῆς ἀτομικῆς φιλίας. 3) Νὰ μεταβῶσι καὶ νὰ τὸν συναντήσωσιν εἰς Κύζικον. 4) = Ὢν ἐξόριστος. 5) **Περίοικοι** = αἱ ἀρχαῖοι τῆς Λακωνικῆς κάτοικοι. 6) Νεοδαμώδης = ὁ νεωστὶ καταταχθεὶς εἰς τὸν δῆμον (= δωρ. δᾶμος). Οὕτως ἐκαλοῦντο οἱ ἀπελεύθεροι Εἵλωτες ἐν Σπάρτῃ. 7) Ὅτι οὐδεὶς ἂν τοῦτο ποιήσειε.

ρατάδα καὶ Ἑλίξῳ, διέβη παρὰ τὸν Φαρνάβαζον εἰς τὸ πέραν, μισθόν τε τοῖς στρατιώταις παρ' αὐτοῦ ληψόμενος καὶ ναῦς συλλέξων, αἳ ἦσαν ἐν τῷ Ἑλλησπόντῳ ἄλλαι καταλελειμμέναι φρουρίδες ὑπὸ Πασιππίδου καὶ ἐν Ἀντάνδρῳ καὶ ἃς Ἀγησανδρίδας εἶχεν ἐπὶ Θρᾴκης, ἐπιβάτης[1] ὢν Μινδάρου, καὶ ὅπως ἄλλαι ναυπηγηθείησαν[2], ἀθρόαι δὲ γενόμεναι πᾶσαι κακῶς τοὺς συμμάχους τῶν Ἀθηναίων ποιοῦσαι[3] ἀποσπάσειαν τὸ στρατόπεδον ἀπὸ τοῦ Βυζαντίου. Ἐπεὶ δ' ἐξέπλευσεν ὁ 18
Κλέαρχος, οἱ προδιδόντες[4] τὴν πόλιν τῶν Βυζαντίων[5] Κύδων καὶ Ἀρίστων καὶ Ἀναξικράτης καὶ Λυκοῦργος καὶ Ἀναξίλαος, ὃς ὑπαγόμενος θανάτου[6] ὕστερον ἐν 19
Λακεδαίμονι διὰ τὴν προδοσίαν ἀπέφυγεν[7], ὅτι οὐ προδοίη τὴν πόλιν, ἀλλὰ σῶσαι, παῖδας ὁρῶν καὶ γυναῖκας λιμῷ ἀπολλυμένας, Βυζάντιος ὢν καὶ οὐ Λακεδαιμόνιος· τὸν γὰρ ἐνόντα σῖτον Κλέαρχον τοῖς Λακεδαιμονίων στρατιώταις διδόναι· διὰ ταῦτ' οὖν τοὺς πολεμίους ἔφη εἰσέσθαι[8], οὐκ ἀργυρίου ἕνεκα οὐδὲ διὰ τὸ μισεῖν Λακε-

---

1) Ἐνταῦθ. εἰς τὴν σημασ. τοῦ τοποτηρητής, ὑποστράτηγος. 2) Ὅπως ναυπηγηθείησαν... ἀποσπάσειαν δέ· τελ. λόγος ἐξαρτ. ἐκ τοῦ διέβη (καθὸ κινήσ. σημαντ.), ἐξ οὗ ἐξαρτῶνται καὶ αἱ ἀνωτέρω τελ. μετοχαὶ ληψόμενος καὶ συλλέξων. 3) Κακῶς... ποιοῦσαι = βλάπτουσαι. Τὸ πθτ. κακῶς πάσχω = βλάπτομαι, τὸ ἀντίθ. εὖ πάσχω = εὐεργετοῦμαι. 4) Οἱ προδιδόντες = (κατ' ἐνεστ.) οἱ σκοποῦντες προδοῦναι, κατὰ σχῆμα ἀνακόλουθον, διότι ἡ μετοχὴ μένει ἄνευ παρεμφατικοῦ ῥήματος. 5) Γεν. διαιρετ. τοῦ προδιδόντες. 6) Ὑπαγόμενος θανάτου = δικαζόμενος ὅπως καταδικασθῇ εἰς τὴν ποινὴν τοῦ θανάτου. 7) Ἀπηλλάγη, ἠθωώθη (εἰπὼν) ὅτι οὐ προδοίη ἀλλὰ (ὅτι) σῶσαι (εὐκτ. ἐγκλ.). 8) = Εἰσαγαγεῖν. Μέσ. ἀόρ. β'. τοῦ εἰσίημι.

20 δαιμονίους· ἐπεὶ δὲ αὐτοῖς παρεσκεύαστο[1], νυκτὸς ἀνοίξαντες τὰς πύλας τὰς ἐπὶ τὸ Θρᾴκιον καλουμένας
21 εἰσήγαγον τὸ στράτευμα καὶ τὸν Ἀλκιβιάδην. Ὁ δὲ Ἕλιξος καὶ ὁ Κοιρατάδας οὐδὲν τούτων εἰδότες ἐβοήθουν μετὰ πάντων εἰς τὴν ἀγοράν· ἐπεὶ δὲ πάντῃ οἱ πολέμιοι κατεῖχον, οὐδὲν ἔχοντες ὅ,τι ποιήσειαν, παρέ-
22 δοσαν σφᾶς αὐτούς. Καὶ οὗτοι μὲν ἀπεπέμφθησαν εἰς Ἀθήνας, καὶ ὁ Κοιρατάδας ἐν τῷ ὄχλῳ ἀποβαινόντων ἐν Πειραιεῖ ἔλαθεν ἀποδρὰς[2] καὶ ἀπεσώθη εἰς Δεκέλειαν.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ναυαρχία Λυσάνδρου καὶ ἄφιξις αὐτοῦ εἰς Ἔφεσον.— Προσφοραὶ χρηματικαὶ Κύρου πρὸς Λακεδαιμονίους (§ 1 —8). — Ναυμαχία ἐν τῷ λιμένι Ἐφέσου καὶ ἧττα τῶν Ἀθηναίων (§ 8—15). — Ἐκλογὴ ἐν Ἀθήναις δέκα ἄλλων στρατηγῶν. Ἀπόπλους Κόνωνος εἰς Σάμον πρὸς διοίκησιν τοῦ στόλου (§ 15—21).

Οἱ δὲ Λακεδαιμόνιοι πρότερον τούτων[3] οὐ πολλῷ χρόνῳ Κρατησιππίδᾳ τῆς ναυαρχίας παρεληλυθυίας Λύσανδρον ἐξέπεμψαν ναύαρχον. Ὁ δὲ ἀφικόμενος εἰς Ῥόδον καὶ ναῦς ἐκεῖθεν λαβών, εἰς Κῶ καὶ Μίλητον ἔπλευσεν, ἐκεῖθεν δ' εἰς Ἔφεσον, καὶ ἐκεῖ ἔμεινε ναῦς ἔχων ἑβδομήκοντα μέχρι οὗ Κῦρος εἰς Σάρδεις ἀφί-

---

[1]) Ἀπροσώπως: = ἐπεὶ δὲ αὐτοῖς ἐγένετο ἡ παρασκευὴ = ἀφοῦ οὗτοι προητοιμάσθησαν. [2]) = Ἀπέδρα κρυφίως. Τὸ ἔλαθεν μετὰ τῆς μετχ. ἔχει ἐπιῤῥημ. σημασίαν. [3]) Πρὶν ἢ ἐκπλεύσῃ ὁ Ἀλκιβ. εἰς τὸ Γαύρειον τῆς Ἄνδρου.

κετο. Ἐπεὶ δ' ἧκεν[1], ἀνέβη[2] πρὸς αὐτὸν σὺν τοῖς ἐκ 2
Λακεδαίμονος πρέσβεσιν. Ἐνταῦθα δὴ κατά τε Τισ-
σαφέρνους ἔλεγον ἃ πεποιηκὼς εἴη, αὐτοῦ τε Κύρου
ἐδέοντο ὡς προθυμοτάτου πρὸς τὸν πόλεμον γενέσθαι.
Κῦρος δὲ τόν τε πατέρα ἔφη ταῦτα ἐπεσταλκέναι καὶ 3
αὐτὸς οὐκ ἄλλ' ἐγνωκέναι[3], ἀλλὰ πάντα ποιήσειν· ἔχων
δὲ ἥκειν[4] τάλαντα πεντακόσια· ἐὰν δὲ ταῦτα ἐκλίπῃ[5],
τοῖς ἰδίοις χρήσεσθαι ἔφη, ἃ ὁ πατὴρ αὐτῷ ἔδωκεν· ἐὰν
δὲ καὶ ταῦτα[6], καὶ τὸν θρόνον κατακόψειν ἐφ' οὗ ἐκά-
θητο, ὄντα ἀργυροῦν καὶ χρυσοῦν. Οἱ δὲ ταῦτ' ἐπῄνουν 4
καὶ ἐκέλευον αὐτὸν τάξαι τῷ ναύτῃ[7] δραχμὴν Ἀττικήν,
διδάσκοντες ὅτι ἂν οὗτος ὁ μισθὸς γένηται, οἱ τῶν
Ἀθηναίων ναῦται ἀπολείψουσι τὰς ναῦς, καὶ μείω χρή-
ματα ἀναλώσει. Ὁ δὲ καλῶς μὲν ἔφη αὐτοὺς λέγειν, 5
οὐ δυνατὸν δ' εἶναι παρ' ἃ[8] βασιλεὺς ἐπέστειλεν αὐτῷ
ἄλλα ποιεῖν. Εἶναι δὲ καὶ τὰς συνθήκας οὕτως ἐχού-
σας, τριάκοντα μνᾶς ἑκάστῃ νηὶ τοῦ μηνὸς διδόναι,
ὁπόσας ἂν βούλωνται τρέφειν Λακεδαιμόνιοι. Ὁ δὲ 6
Λύσανδρος τότε μὲν ἐσιώπησε· μετὰ δὲ τὸ δεῖπνον, ἐπεὶ
αὐτῷ προπιὼν ὁ Κῦρος ἤρετο τί ἂν μάλιστα χαρίζοιτο
ποιῶν[9], εἶπεν ὅτι[10]· Εἰ πρὸς τὸν μισθὸν ἑκάστῳ ναύτῃ
ὀβολὸν προσθείης. Ἐκ δὲ τούτου τέτταρες ὀβολοὶ ἦν 7

---

[1]) Ὑποκμ. ὁ Κῦρος. [2]) Ὁ Λύσανδρος. [3]) Οὐκ ἄλλα ἐγνωκέναι = οὐκ ἔχει ἄλλην γνώμην. [4]) Ἤρτηται ἐκ τοῦ ἔφη. [5]) Ἐὰν δὲν ἀρκέσωσι ταῦτα. [6]) Ἐνν. τὸ ἐκλίπῃ. [7]) Ἑκάστῳ ναύτῃ. [8]) Ἢ ταῦτα ἅ. Ἔφη οὐ δυνατὸν εἶναι ποιεῖν ἄλλα παρ' ἃ (ἢ ταῦτα, ἃ) βασιλεὺς ἐπέστειλεν αὐτῷ. [9]) = Τί εἰ ποιείη, χαρίζοιτο ἄν. Τί ἐὰν ἔπραττε θὰ τὸν ηὐχαρίστει. [10]) Τὸ ὅτι ἠδύνατο καὶ νὰ παραλειφθῇ διότι ὁ δι' αὐτοῦ ἐκφερόμενος λόγος εἶνε ὀρθός.

ὁ μισθός, πρότερον δὲ τριώβολον[1]. Καὶ τόν τε προυφειλόμενον[2] ἀπέδωκε καὶ ἔτι μηνὸς προύδωκεν[3], ὥστε
8 τὸ στράτευμα πολὺ προθυμότερον εἶναι. Οἱ δὲ Ἀθηναῖοι ἀκούοντες ταῦτα ἀθύμως μὲν εἶχον, ἔπεμπον δὲ
9 πρὸς τὸν Κῦρον πρέσβεις διὰ Τισσαφέρνους. Ὁ δὲ οὐ προσεδέχετο, δεομένου[4] Τισσαφέρνους καὶ λέγοντος, ἅπερ αὐτὸς ἐποίει πεισθεὶς ὑπ' Ἀλκιβιάδου, σκοπεῖν ὅπως τῶν Ἑλλήνων μηδὲ οἵτινες[5] ἰσχυροὶ ὦσιν, ἀλλὰ
10 πάντες ἀσθενεῖς, αὐτοὶ ἐν αὐτοῖς[6] στασιάζοντες. Καὶ ὁ μὲν Λύσανδρος, ἐπεὶ αὐτῷ τὸ ναυτικὸν συνετέτακτο, ἀνελκύσας τὰς ἐν τῇ Ἐφέσῳ οὔσας ναῦς ἐνενήκοντα
11 ἡσυχίαν ἦγεν[7], ἐπισκευάζων καὶ ἀναψύχων αὐτάς[8]. Ἀλκιβιάδης δὲ ἀκούσας Θρασύβουλον ἐξ Ἑλλησπόντου ἥκοντα τειχίζειν Φώκαιαν διέπλευσε πρὸς αὐτόν, καταλιπὼν ἐπὶ ταῖς ναυσὶν[9] Ἀντίοχον τὸν αὑτοῦ κυβερνήτην, ἐπιστείλας[10] μὴ ἐπιπλεῖν ἐπὶ τὰς Λυσάνδρου ναῦς.
12 Ὁ δὲ Ἀντίοχος τῇ τε αὑτοῦ νηὶ καὶ ἄλλῃ ἐκ Νοτίου εἰς τὸν λιμένα τῶν Ἐφεσίων εἰσπλεύσας παρ' αὐτὰς
13 τὰς πρῴρας τῶν Λυσάνδρων νεῶν παρέπλει[11]. Ὁ δὲ Λύσανδρος τὸ μὲν πρῶτον ὀλίγας τῶν νεῶν καθελκύ-

---

1) Τρεῖς ὀβολοὶ = ἡμισεία δραχμή. 2) Ἐνν. μισθόν. 3) = Προεπλήρωσε (μισθὸν ἑνὸς) μηνός. 4) Γεν. ἀπόλ. αναλυσ. διὰ ἄν καὶ ἐναντιωμ. 5) Μηδὲ οἵτινες = μηδένες, διόλου κανείς. 6) Μόνοι μεταξύ των. 7) Ἡσυχίαν ἄγω φρ. συνών. τῇ «ἡσυχίαν φέρω» = μένω ἥσυχος. 8) Αὐτὰς (τὰς ναῦς), ἀντὶ τοὺς ἐν αὐταῖς (ἄνδρας, τὰ πληρώματα τῶν πλοίων). Ἐτέθη τὸ περιέχον ἀντὶ τοῦ περιεχομένου. Ἀναψύχων = ἀναπαύων. 9) Εἰς τὴν διοίκησιν τοῦ στόλου. 10) Διατάξας. 11) Παρέπλεεν, ἵνα προκαλέσῃ τὸν Λύσ. εἰς ναυμαχίαν.

σας[1] ἐδίωκεν αὐτὸν, ἐπεὶ δὲ οἱ Ἀθηναῖοι τῷ Ἀντιόχῳ
ἐβοήθουν πλείοσι ναυσὶ, τότε δὴ καὶ πάσας συντάξας[2]
ἐπέπλει. Μετὰ δὲ ταῦτα καὶ οἱ Ἀθηναῖοι ἐκ τοῦ Νο-
τίου καθελκύσαντες τὰς λοιπὰς τριήρεις ἀνήχθησαν
ὡς ἕκαστος ἤνοιξεν[3]. Ἐκ τούτου δ' ἐναυμάχησαν οἱ 14
μὲν ἐν τάξει, οἱ δὲ Ἀθηναῖοι διεσπαρμέναις ταῖς ναυσὶ,
μέχρι οὗ ἔφυγον ἀπολέσαντες πεντεκαίδεκα τριήρεις.
Τῶν δὲ ἀνδρῶν οἱ μὲν πλεῖστοι ἐξέφυγον, οἱ δ' ἐζω-
γρήθησαν[4]. Λύσανδρος δὲ τάς τε ναῦς[5] ἀναλαβὼν καὶ
τρόπαιον στήσας ἐπὶ τοῦ Νοτίου διέπλευσεν εἰς Ἔφε-
σον, οἱ δ' Ἀθηναῖοι εἰς Σάμον. Μετὰ δὲ ταῦτα Ἀλκι- 15
βιάδης ἐλθὼν εἰς Σάμον ἀνήχθη ταῖς ναυσὶν ἁπάσαις
ἐπὶ τὸν λιμένα τῶν Ἐφεσίων, καὶ πρὸ τοῦ στόματος[6]
παρέταξεν, εἴ τις βούλοιτο ναυμαχεῖν[7]. Ἐπειδὴ δὲ
Λύσανδρος οὐκ ἀντανήγαγε διὰ τὸ πολλαῖς ναυσὶν ἐλατ-
τοῦσθαι[8], ἀπέπλευσεν εἰς Σάμον. Λακεδαιμόνιοι δὲ
ὀλίγῳ ὕστερον αἱροῦσι Δελφίνιον καὶ Ἠιόνα[9]. Οἱ δὲ 16
ἐν οἴκῳ[10] Ἀθηναῖοι, ἐπειδὴ ἠγγέλθη ἡ ναυμαχία, χαλεπῶς

---

1) Καθελκύσας ἀπὸ τῆς ξηρᾶς, ὅπου τὰς εἶχεν ἀνελκύσει, εἰς τὴν θάλασσαν. 2) Παρατάξας. 3) Ὡς ἕκαστος ἤνοιξεν = ὡς ἔτυχεν ἕκαστος, δηλ. ἀτάκτως, (ὡς κατωτ. διεσπαρμέναις ταῖς ναυσίν), ἐνῶ αἱ τοῦ Λυσ. ἦσαν ἐν τάξει. 4) Συνελήφθησαν ζῶντες. Οἱ δὲ = ὀλίγοι δὲ ἄλλοι κατ' ἀντίθ. πρὸς τὸ οἱ μὲν πλεῖστοι. 5) Δηλ. τὰς πεντεκαίδεκα ἀπολεσθείσας τῶν Ἀθ. ναῦς λαβὼν μεθ' ἑαυτοῦ (= ἀναλαβών). 6) = Πρὸ τοῦ στομίου, τῆς εἰσόδου τοῦ λιμένος. 7) Παρέταξεν (ἕτοιμος ὢν) νὰ ναυμαχήσῃ πρὸς ὅντινα ἤθελε. 8) Διὰ τὸ ὅτι εἶχεν ὀλιγώτερα (ἐλάσσονα, ἐλαττοῦσθαι) πλοῖα. 9) Δελφίνιον· φρούριον ἐν Χίῳ. Ἠιών· ἐπίνειον τῆς Ἀμφιπόλεως ἐν Θρᾴκῃ ἐγγὺς τῶν ἐκβολῶν τοῦ Στρυμόνος ποταμοῦ. 10) Οἱ ἐν οἴκῳ = οἴκοι = οἱ ἐν τῇ πατρίδι (ἐν Ἀθήναις) αὐτῶν.

εἶχον[1] τῷ Ἀλκιβιάδῃ, οἰόμενοι δι' ἀμέλειάν τε καὶ ἀκρά-
τειαν[2] ἀπολωλεκέναι τὰς ναῦς, καὶ στρατηγοὺς εἵλοντο
ἄλλους δέκα, Κόνωνα, Διομέδοντα, Λέοντα, Περικλέα,
Ἐρασινίδην, Ἀριστοκράτη, Ἀρχέστρατον, Πρωτόμαχον,
17 Θράσυλλον, Ἀριστογένη. Ἀλκιβιάδης μὲν οὖν πονήρως
καὶ ἐν τῇ στρατιᾷ φερόμενος[3], λαβὼν τριήρη μίαν ἀπέ-
18 πλευσεν εἰς Χερρόνησον εἰς τὰ ἑαυτοῦ τείχη[4]. Μετὰ δὲ
ταῦτα Κόνων ἐκ τῆς Ἄνδρου σὺν αἷς εἶχε ναυσὶν εἴκοσι
ψηφισαμένων Ἀθηναίων εἰς Σάμον ἔπλευσεν ἐπὶ τὸ ναυ-
τικόν[5]. Ἀντὶ δὲ Κόνωνος εἰς Ἄνδρον ἔπεμψαν Φανο-
19 σθένη, τέτταρας ναῦς ἔχοντα. Οὗτος περιτυχὼν δυοῖν
τριήροιν Θουρίαιν ἔλαβεν αὐτοῖς ἀνδράσι[6]· καὶ τοὺς
μὲν αἰχμαλώτους ἅπαντας ἔδησαν Ἀθηναῖοι, τὸν δὲ ἄρ-
χοντα αὐτῶν Δωριέα, ὄντα μὲν Ῥόδιον, πάλαι δὲ φυ-
γάδα[7] ἐξ Ἀθηνῶν καὶ Ῥόδου ὑπὸ Ἀθηναίων κατεψηφι-
σμένων αὐτοῦ θάνατον καὶ τῶν ἐκείνου συγγενῶν, πο-
λιτεύοντα παρ' αὐτοῖς[8], ἐλεήσαντες ἀφεῖσαν[9] οὐδὲ
20 χρήματα πραξάμενοι[10]. Κόνων δ' ἐπεὶ εἰς τὴν Σάμον
ἀφίκετο καὶ τὸ ναυτικὸν κατέλαβεν ἀθύμως ἔχον, συμ-
πληρώσας τριήρεις ἑβδομήκοντα ἀντὶ τῶν προτέρων,

---

1) = Ἐχαλέπαινον, καὶ ἠγανάκτουν. 2) Δι' ἀκράτειαν = δι' ἀκολασίαν, διότι κατὰ τὸν Πλούταρχον ὁ Ἀλκιβ. ἐμεθύσκετο καὶ συνεχρωτίζετο μεθ' ἑταιρῶν. 3) Πονήρως φερόμενος φρ. = ἀπολαύων (πονηρᾶς) κακῆς φήμης μεταξὺ τῶν στρατιωτῶν (= ἐν τῇ στρατιᾷ). 4) Εἰς τὸ ἐν Πακτύῃ τῆς Θρᾳκ. Χερσον. φρούριόν του. 5) = Ἐπὶ (διὰ νὰ ἀναλάβῃ) τὴν διοίκησιν τοῦ ναυτικοῦ. 6) Ἔλαβεν αὐτοῖς ἀνδράσι = συνέλαβεν αὐτάνδροις, μὲ ὅλον τὸ πλήρωμά των. 7) Ἐξορισθέντα ὑπὸ τῶν Ἀθ. 8) Ὄντα πολίτην Θούριον (παρ' αὐτοῖς = τοῖς Θουρίοις). 9) Τὸν ἀπέλυσαν. 10) Μηδὲ λύτρα λαβόντες παρ' αὐτοῦ.

ούσῶν πλέον ἢ ἑκατὸν, καὶ ταύταις ἀναγαγόμενος μετὰ τῶν ἄλλων στρατηγῶν, ἄλλοτε ἄλλῃ[1] ἀποβαίνων τῆς τῶν πολεμίων χώρας ἐλῄζετο[2]. [Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, 21
ἐν ᾧ Καρχηδόνιοι εἰς Σικελίαν στρατεύσαντες εἴκοσι καὶ ἑκατὸν τριήρεσι καὶ πεζῆς στρατιᾶς δώδεκα μυριάσιν εἷλον Ἀκράγαντα λιμῷ, μάχῃ μὲν ἡττηθέντες, προσκαθεζόμενοι[3] δὲ ἑπτὰ μῆνας.]

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Ὁ Καλλικρατίδας ἀποστελλόμενος διάδοχος τοῦ ναυάρχου Λυσάνδρου, καὶ ἀποσοβῶν τὰς καθ' ἑαυτοῦ ἀντιδράσεις(§ 1—8).—Χρηματισμὸς παρὰ τοῖς Μιλησίοις καὶ λεηλασία τῆς Μηθύμνης(§ 9—15).—Ναυμαχία ἐν Ἀργινούσαις καὶ ἧττα τῶν Ἀθηναίων. Θάνατος Καλλικρατίδα (§ 16—38).

Τῷ δ' ἐπιόντι ἔτει[4] [ᾧ ἥ τε σελήνη ἐξέλιπεν[5] ἑσπέρας καὶ ὁ παλαιὸς[6] τῆς Ἀθηνᾶς νεὼς ἐν Ἀθήναις ἐνεπρήσθη, Πιτύα μὲν ἐφορεύοντος, ἄρχοντος δὲ Καλλίου Ἀθήνησιν,] οἱ Λακεδαιμόνιοι τῷ Λυσάνδρῳ παρεληλυθότος ἤδη τοῦ χρόνου[7] [καὶ τῷ πολέμῳ τεττάρων καὶ εἴκοσιν ἐτῶν] ἔπεμψαν ἐπὶ τὰς ναῦς[8] Καλλικρατί-

---

1) Ἄλλῃ τῆς χώρας = ἀλλαχοῦ (εἰς ἄλλο μέρος) τῆς χώρας. 2) Ἐλεηλάτει. 3) = Πολιορκοῦντες. 4) Τὸ 406 π. Χ. ἤτοι τὸ 26ον ἔτος τοῦ Πελοπον. πολέμου. 5) Κατὰ τὸ ὁποῖον (ἔτος) ἐγένετο ἔκλειψις τῆς σελήνης, περὶ τὰ μέσα τοῦ μηνὸς Ἀπριλίου(15—16). 6) Κατ' ἀντίθεσιν πρὸς τὸν Παρθενῶνα, ὅστις ἦτο νεώτερος, ἀνοικοδομηθεὶς ὑπὸ τοῦ Περικλέους μετὰ τὴν ὑπὸ τῶν Περσῶν τῷ 480 π. Χ. καταστροφὴν τοῦ παλαιοῦ. 7) Ληξάσης τῆς διορίας τῆς ναυαρχίας τοῦ Λυσάνδρου. 8) Εἰς τὴν διοίκησιν τοῦ στόλου (=ἐπὶ τὰς ναῦς).

2 δαν. Ὅτε δὲ παρεδίδου ὁ Λύσανδρος τὰς ναῦς, ἔλεγε
τῷ Καλλικρατίδᾳ ὅτι θαλαττοκράτωρ τε παραδιδοίη καὶ
ναυμαχίᾳ νενικηκώς. Ὁ δὲ αὐτὸν ἐκέλευσεν ἐξ Ἐφέσου
ἐν ἀριστερᾷ Σάμου παραπλεύσαντα, οὗ ἦσαν αἱ τῶν
Ἀθηναίων νῆες, ἐν Μιλήτῳ παραδοῦναι τὰς ναῦς, καὶ
3 ὁμολογήσειν[1] θαλαττοκρατεῖν. Οὐ φαμένου[2] δὲ τοῦ
Λυσάνδρου πολυπραγμονεῖν ἄλλου ἄρχοντος, αὐτὸς ὁ
Καλλικρατίδας πρὸς αἷς[3] παρὰ Λυσάνδρου ἔλαβε ναυσὶ
προσεπλήρωσεν ἐκ Χίου καὶ Ῥόδου καὶ ἄλλοθεν ἀπὸ
τῶν συμμάχων πεντήκοντα ναῦς. Ταύτας δὲ πάσας
ἀθροίσας, οὔσας τετταράκοντα καὶ ἑκατὸν, παρεσκευά-
4 ζετο ὡς[4] ἀπαντησόμενος τοῖς πολεμίοις. Καταμαθὼν
δ' ὑπὸ τῶν Λυσάνδρου φίλων καταστασιαζόμενος[5], οὐ
μόνον ἀπροθύμως ὑπηρετούντων, ἀλλὰ καὶ διαθροούν-
των[6] ἐν ταῖς πόλεσιν ὅτι Λακεδαιμόνιοι μέγιστα παρα-
πίπτοιεν[7] ἐν τῷ διαλλάττειν[8] τοὺς ναυάρχους, πολλά-
κις ἀντ' ἐπιτηδείων γενομένων καὶ ἄρτι[9] συνιέντων τὰ
ναυτικὰ καὶ ἀνθρώποις ὡς χρηστέον[10] γιγνωσκόντων

---

[1]) Καὶ τότε θὰ ἀναγνωρίσῃ (ὁ Καλλικρ.) ὅτι θαλασσοκρατεῖ (ὁ Λύσ. δηλ.). [2])=Φαμένου δὲ οὐ πολυπραγμονεῖν = ἀποκριθέντος ὅτι δὲν τὸν μέλλει, δὲν σκοτίζεται, ἐνῷ ἄλλος ἤδη ἔλαβε τὴν ἀρχὴν (τὴν διοίκησιν τῶν πλοίων). [3]) Πρὸς αἷς ἔλαβε ναυσί· ἕλξις ἀντί· πρὸς ταῖς ναυσὶν ἃς ἔλαβε. [4]) Τὸ ὡς σημ. τὸν σκοπόν. Διὰ νὰ ἔλθῃ εἰς προϋπάντησιν τῶν πολεμίων. [5]) Καταμαθὼν...καταστασιαζόμενος = ὅτε δὲ κατέμαθεν ὅτι κατερραδιουργεῖτο ὑπὸ τῶν φίλων τοῦ Λυσ., (ἔκαμνον στάσεις κατ' αὐτοῦ =καταστασιαζόμενος). [6]) Διαδιδόντων. [7]) Ὅτι εἰς μέγιστα (παραπτώματα (σύστοιχ. ἀντικμ.) περιέπιπτον. [8]) Διὰ τῆς ἀντικαταστάσεως τῶν ναυάρ. [9]) Ἐπίρ.=πρὸ ὀλίγου. Σπανίως ὡς ἐνταῦθα σημ. τὸ ἐντελῶς. Ἐντελῶς γνωριζόντων (συνιέντων) τὴν ναυτικὴν τέχνην. [10]) Ὡς χρηστέον = ὡς (πῶς) δεῖ χρῆσθαι ἀνθρώποις.

ἀπείρους θαλάττης πέμποντες καὶ ἀγνῶτας[1] τοῖς ἐκεῖ,
κινδυνεύοιέν τι παθεῖν διὰ τοῦτο, ἐκ τούτου δὲ[2] ὁ
Καλλικρατίδας συγκαλέσας τοὺς Λακεδαιμονίων ἐκεῖ
παρόντας ἔλεγεν αὐτοῖς τοιάδε[3].
Ἐμοὶ μὲν ἀρκεῖ οἴκοι μένειν, καὶ εἴτε Λύσανδρος εἴτε 5
ἄλλος τις ἐμπειρότερος περὶ τὰ ναυτικὰ βούλεται[4] εἶ-
ναι, οὐ κωλύω τὸ κατ' ἐμέ[5]· ἐγὼ δ' ὑπὸ τῆς πόλεως
ἐπὶ τὰς ναῦς πεμφθεὶς οὐκ ἔχω τί ἄλλο ποιῶ[6] ἢ τὰ κε-
λευόμενα ὡς ἂν δύνωμαι[7] κράτιστα. Ὑμεῖς δὲ πρὸς ἃ
ἐγώ τε φιλοτιμοῦμαι καὶ ἡ πόλις ἡμῶν αἰτιάζεται, ἴστε
γὰρ αὐτὰ ὥσπερ καὶ ἐγώ, συμβουλεύετε τὰ ἄριστα ὑμῖν
δοκοῦντα εἶναι περὶ τοῦ ἐμὲ ἐνθάδε μένειν ἢ οἴκαδε ἀπο-
πλεῖν ἐροῦντα[8] τὰ καθεστῶτα ἐνθάδε.
Οὐδενὸς δὲ τολμήσαντος ἄλλο τι εἰπεῖν ἢ τοῖς οἴκοι[9] 6
πείθεσθαι ποιεῖν τε ἐφ' ἃ ἥκει, ἐλθὼν παρὰ Κῦρον ᾔτει
μισθὸν τοῖς ναύταις· ὁ δὲ αὐτῷ εἶπε δύο ἡμέρας ἐπι- 7
σχεῖν[10]. Καλλικρατίδας δὲ ἀχθεσθεὶς τῇ ἀναβολῇ[11] καὶ
ταῖς ἐπὶ τὰς θύρας φοιτήσεσιν, ὀργισθεὶς καὶ εἰπὼν ἀθλι-
ωτάτους εἶναι τοὺς Ἕλληνας, ὅτι[12] βαρβάρους κολα-

---

[1]) Ἀγνὼς — ῶτος = ὁ ἄγνωστος (ἐνεργ. σημ.) ἢ ὁ ἀγνοῶν (παθ. σημ.). [2]) Διὰ τοῦτο λοιπόν. Ὁ δὲ συνδέει συνεχίζων τὸν ἄνωθ. λόγον καταμαθὼν κτλ: [3]) Τοιάδε = τοιαῦτα περίπου, ἐνῷ τὸ τάδε σημ. ταῦτα αὐτολεξεί. [4]) Βούλεται = ἔχει τὴν ἀξίωσιν. [5]) Ἡ κατὰ μετ' αἰτιατκ. ἐντθ. σημαίνει τὸ ὅσον ἐξαρτᾶται. Τὸ κατ' ἐμὲ = ὅσον ἐξαρτᾶται ἀπ' ἐμὲ δὲν τὸν ἐμποδίζω. [6]) Τὸ ποιῶ εἶνε ὑποτακτ. ἔγκλ. διότι δηλοῖ ἀπορίαν τοῦ δέοντος γενέσθαι. [7]) Τὸ ὡς ἂν δύνωμαι (= ὅσον τὸ δυνατὸν) ἐτέθη ἀντὶ ἐπίρ. ἐπιτατικοῦ τοῦ κράτιστα. [8]) Τελ. μετχ. = διὰ νὰ ἀναγγείλω τὰ διατρέχοντα. [9]) Τοῖς οἴκοι = τοῖς ἐν τῇ πατρίδι ἄρχουσι. [10]) Νὰ περιμείνῃ. [11]) Τῇ (καὶ ἔμπρθ. Ἐπὶ τῇ) ἀναβολῇ τὸ ἠθικὸν πάθος τοῦ ἀχθεσθείς. [12]) Ὅτι = διότι.

κεύουσιν ἕνεκα ἀργυρίου, φάσκων τε, ἢν σωθῇ οἴκαδε,
κατά γε τὸ αὑτοῦ δυνατὸν διαλλάξειν Ἀθηναίους καὶ
8 Λακεδαιμονίους, ἀπέπλευσεν εἰς Μίλητον· κἀκεῖθεν
πέμψας τριήρεις εἰς Λακεδαίμονα ἐπὶ χρήματα[1], ἐκκλη-
σίαν ἀθροίσας τῶν Μιλησίων τάδε εἶπεν.

Ἐμοὶ μέν, ὦ Μιλήσιοι, ἀνάγκη[2] τοῖς οἴκοι ἄρχουσι
πείθεσθαι· ὑμᾶς δὲ ἐγὼ ἀξιῶ προθυμοτάτους εἶναι εἰς
τὸν πόλεμον διὰ τὸ οἰκοῦντας ἐν βαρβάροις[3] πλεῖστα
9 κακὰ ἤδη ὑπ' αὐτῶν πεπονθέναι. Δεῖ δ' ὑμᾶς ἐξηγεῖσθαι[4]
τοῖς ἄλλοις συμμάχοις ὅπως ἂν τάχιστά τε καὶ μάλιστα
βλάπτωμεν τοὺς πολεμίους, ἕως ἂν οἱ ἐκ Λακεδαίμονος
ἥκωσιν, οὓς ἐγὼ ἔπεμψα χρήματα ἄξοντας, ἐπεὶ τὰ ἐν-
θάδε ὑπάρχοντα Λύσανδρος Κύρῳ ἀποδοὺς ὡς[5] περιτ-
10 τὰ ὄντα οἴχεται[6]. Κῦρος δὲ ἐλθόντος ἐμοῦ ἐπ' αὐτὸν
ἀεὶ ἀνεβάλλετό μοι διαλεχθῆναι, ἐγὼ δ' ἐπὶ τὰς ἐκείνου
11 θύρας φοιτᾶν οὐκ ἐδυνάμην ἐμαυτὸν πεῖσαι. Ὑπισχνοῦ-
μαι δ' ὑμῖν ἀντὶ τῶν συμβάντων ἡμῖν ἀγαθῶν ἐν τῷ
χρόνῳ ᾧ[7] ἂν ἐκεῖνα προσδεχώμεθα χάριν ἀξίαν ἀπο-
δώσειν. Ἀλλὰ σὺν[8] τοῖς θεοῖς δείξομεν τοῖς βαρβά-
ροις ὅτι καὶ ἄνευ τοῦ ἐκείνους θαυμάζειν[9] δυνάμεθα
τοὺς ἐχθροὺς τιμωρεῖσθαι[10].

---

[1]) Πρὸς ζήτησιν χρημάτων. [2]) Ἐνν. ἐστί. [3]) Μεταξὺ (=ἐν) τῶν βαρβ. [4]) Νὰ δώσητε τὸ καλὸν παράδειγμα. [5]) Τὸ ὡς αἰτιολογ. μετὰ μετοχ. διότι ἡ αἰτία εἶνε ἐξ ὑποκειμένου, ὡς γνώμη τοῦ ὑποκειμ. [6]) Ἐνεστ. ἀντὶ παρακμ. Ἀπῆλθε. [7]) = Ἐν τῷ χρόνῳ ἐν ᾧ = ἐφ' ὅσον χρόνον θὰ περιμένωμεν (= προσδεχώμεθα) ἐκεῖνα (δηλ. τὰ ἀναμενόμενα χρήματα). [8]) Μὲ τὴν βοήθειαν (= σὺν) τῶν Θεῶν. [9]) ἐμπρθ. ὀνομαστ. ἀπαρέμ. χωρὶς νὰ τοὺς προσκυνῶμεν, νὰ τοὺς περιποιώμεθα. [10]) Τιμωροῦμαί τινα = ἐκδικοῦμαι. Τιμωρῶ τινι = βοηθῶ τινα ἀδικούμενον.

Ἐπεὶ δὲ ταῦτ' εἶπεν, ἀνιστάμενοι πολλοὶ καὶ μάλιστα 12
οἱ αἰτιαζόμενοι[1] ἐναντιοῦσθαι δεδιότες εἰσηγοῦντο[2] πό-
ρον χρημάτων καὶ αὐτοὶ ἐπαγγελλόμενοι[3] ἰδίᾳ. Λαβὼν
δὲ ταῦτα ἐκεῖνος καὶ ἐκ Χίου πεντεδραχμίαν ἑκάστῳ
τῶν ναυτῶν ἐφοδιασάμενος ἔπλευσε τῆς Λέσβου ἐπὶ
Μήθυμναν πολεμίαν οὖσαν. Οὐ βουλομένων δὲ τῶν 13
Μηθυμναίων προσχωρεῖν[4], ἀλλ' ἐμφρούρων ὄντων Ἀθη-
ναίων καὶ τῶν τὰ πράγματα ἐχόντων[5] ἀττικιζόντων,
προσβαλὼν αἱρεῖ τὴν πόλιν κατὰ κράτος. Τὰ μὲν οὖν 14
χρήματα πάντα διήρπασαν οἱ στρατιῶται, τὰ δὲ ἀν-
δράποδα πάντα συνήθροισεν ὁ Καλλικρατίδας εἰς τὴν
ἀγορὰν, καὶ κελευόντων τῶν συμμάχων ἀποδόσθαι[6]
καὶ τοὺς Μηθυμναίους οὐκ[7] ἔφη ἑαυτοῦ γε ἄρχοντος[8]
οὐδένα Ἑλλήνων εἰς τὸ ἐκείνου δυνατὸν[9] ἀνδραποδι-
σθῆναι. Τῇ δ' ὑστεραίᾳ τοὺς μὲν[10] ἐλευθέρους ἀφῆκε, 15
τοὺς δὲ τῶν Ἀθηναίων φρουροὺς καὶ τὰ ἀνδράποδα τὰ
δοῦλα[11] πάντα ἀπέδοτο· Κόνωνι δὲ εἶπεν[12] ὅτι παύσει
αὐτὸν μοιχῶντα[13] τὴν θάλατταν. Κατιδὼν δὲ αὐτὸν

---

[1]) Οἱ καταγγελλόμενοι ὅτι ἦσαν ἐναντίοι αὐτοῦ (τοῦ Καλλικρ.) δηλ. οἱ ὀπαδοὶ τοῦ Λυσ. [2]) Προέτεινον. [3]) Ὑποσχόμενοι αὐθορμήτως (= ἐπαγγελλόμενοι). [4]) Παραδοθῆναι. [5]) Οἱ τὰ πράγματα ἔχοντες, φρ. = οἱ ἐν τοῖς πράγμασι, οἱ διευθύνοντες τὰ τῆς πολιτείας· τὸ τῶν τὰ πράγ. ἐχόντ. εἶνε ὑποκμ. τοῦ ἀττικιζόντων = ὄντων φίλων (συμπαθούντων) πρὸς τοὺς Ἀθην. [6]) Νὰ πωλήσῃ καὶ τοὺς Μηθ. [7]) Τὸ οὐκ εἰς τὸ ἀνδραποδισθῆναι. [8]) Ἐνόσῳ αὐτὸς τοὐλάχιστον (= γε) εἶνε ἄρχων. [9]) Ὅσον τῷ εἶνε δυνατόν. Ἐκείνου — ἑαυτοῦ. [10]) Μηθυμναίους, ἀπέλυσεν ἐλευθέρους (κατηγ. = νὰ εἶνε ἐλεύθ.). [11]) Τὰ ὄντα δηλ. αἰχμάλωτα πρὸ τῆς ἁλώσεως τῆς πόλεως. [12]) Εἶπε = διέταξε νὰ εἴπωσι. [13]) Τελ. μετχ. τοῦ παύσει (ὡς παύσεως σημαντ.) μοιχῶντα· ἔχει μεταφορ. σημασ. = νὰ ἰδιοποιῆται δολίως τὴν

ἀναγόμενον ἅμα τῇ ἡμέρᾳ, ἐδίωκεν ὑποτεμνόμενος[1]
16 τὸν εἰς Σάμον πλοῦν, ὅπως μὴ ἐκεῖσε φύγοι[2]. Κόνων
δ' ἔφευγε ταῖς ναυσὶν εὖ πλεούσαις[3] διὰ τὸ ἐκ πολλῶν
πληρωμάτων εἰς ὀλίγας ἐκλελέχθαι τοὺς ἀρίστους ἐρέ-
τας[4], καὶ καταφεύγει εἰς Μυτιλήνην τῆς Λέσβου καὶ
σὺν αὐτῷ τῶν δέκα στρατηγῶν Λέων καὶ Ἐρασινίδης.
Καλλικρατίδας δὲ συνεισέπλευσεν εἰς τὸν λιμένα, διώ-
17 κων ναυσὶν ἑκατὸν καὶ ἑβδομήκοντα. Κόνων δὲ ὡς
ἔφθη ὑπὸ τῶν πολεμίων κατακωλυθεὶς[5], ἠναγκάσθη
ναυμαχῆσαι πρὸς[6] τῷ λιμένι, καὶ ἀπώλεσε ναῦς τριά-
κοντα· οἱ δὲ ἄνδρες εἰς τὴν γῆν ἀπέφυγον[7]· τὰς δὲ
λοιπὰς τῶν νεῶν, τετταράκοντα οὔσας, ὑπὸ τῷ τεί-
18 χει ἀνείλκυσε[8]. Καλλικρατίδας δὲ ἐν τῷ λιμένι ὁρμι-
σάμενος ἐπολιόρκει ἐνταῦθα, τὸν ἔκπλουν ἔχων[9]. Καὶ
κατὰ γῆν[10] μεταπεμψάμενος τοὺς Μηθυμναίους πανδη-
μεὶ καὶ ἐκ τῆς Χίου τὸ στράτευμα διεβίβασε· χρήματά
19 τε παρὰ Κύρου αὐτῷ ἦλθεν. Ὁ δὲ Κόνων ἐπεὶ ἐπο-
λιορκεῖτο καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ σίτου
οὐδαμόθεν ἦν εὐπορῆσαι[11], οἱ δὲ ἄνθρωποι πολλοὶ ἐν
τῇ πόλει ἦσαν καὶ οἱ Ἀθηναῖοι οὐκ ἐβοήθουν διὰ τὸ

κυριαρχίαν τῆς θαλάσσης, ἐνῷ θαλασσοκράτωρ εἶνε ἄλλος. 1) Ἐνεστὼς τῆς βουλήσεως· = θέλων νὰ ὑποτέμνῃ, νὰ κόψῃ. 2) Ὁ τελ. λόγ. ἐκφέρεται εἰς εὐκτικήν, καθὸ ἐξηρτημένος ἀπὸ ῥήμ. ἱστορικοῦ χρόνου. 3) Μὲ τὰ ταχύπλοα πλοῖα. 4) Ἐρέτης (ἐρέσσω) = κωπηλάτης. 5) Κατηγορ. μετοχ. τοῦ ὡς (ἐπειδὴ) ἔφθη κατακωλυθεὶς (ἐνν. τὸ ἀνελκῦσαι τὰς ναῦς ὑπὸ τῷ τείχει, ὅπερ παραλαμβάνεται ἐκ τῶν κατωτέρω. 6) Ἐν. 7) Διέφυγον εἰς τὴν ξηράν. 8) Ἀνεβίβασε. 9) Κατέχων τὸ στόμιον τοῦ λιμένος (τὸ μέρος δηλ. δι' οὗ ἐκπλέουσι τὰ πλοῖα). 10) Διὰ ξηρᾶς. 11) Ἀπὸ κανὲν μέρος ἦτο δυνατὸν νὰ προμηθευθῇ.

μὴ πυνθάνεσθαι ταῦτα, καθελκύσας τῶν νεῶν τὰς ἄρι-
στα πλεούσας δύο ἐπλήρωσε πρὸ ἡμέρας, ἐξ ἁπασῶν τῶν
νεῶν τοὺς ἀρίστους ἐρέτας ἐκλέξας καὶ τοὺς ἐπιβάτας
εἰς κοίλην ναῦν[1] μεταβιβάσας καὶ τὰ παραρύματα[2]
παραβαλών. Τὴν μὲν οὖν ἡμέραν οὕτως ἀνεῖχον[3], εἰς δὲ 20
τὴν ἑσπέραν, ἐπεὶ σκότος εἴη[4], ἐξεβίβαζεν, ὡς μὴ
καταδήλους εἶναι τοῖς πολεμίοις ταῦτα ποιοῦντας. Πέμ-
πτῃ δὲ ἡμέρᾳ εἰσθέμενοι σῖτα μέτρια[5], ἐπειδὴ ἤδη
μέσον ἡμέρας ἦν καὶ οἱ ἐφορμοῦντες[6] ὀλιγώρως εἶχον
καὶ ἔνιοι ἀνεπαύοντο, ἐξέπλευσαν ἔξω τοῦ λιμένος, καὶ
ἡ μὲν[7] ἐπὶ Ἑλλησπόντου ὥρμησεν, ἡ δὲ εἰς τὸ πέλα-
γος. Τῶν δ' ἐφορμούντων ὡς ἕκαστοι ἤνοιγον, τάς τε 21
ἀγκύρας ἀποκόπτοντες καὶ ἐγειρόμενοι ἐβοήθουν τετα-
ραγμένοι, τυχόντες ἐν τῇ γῇ ἀριστοποιούμενοι[8]· εἰσβάν-
τες δὲ ἐδίωκον τὴν εἰς τὸ πέλαγος ἀφορμήσασαν, καὶ
ἅμα τῷ ἡλίῳ δύνοντι κατέλαβον, καὶ κρατήσαντες μάχῃ,
ἀναδησάμενοι[9] ἀπῆγον εἰς τὸ στρατόπεδον αὐτοῖς ἀν-
δράσιν. Ἡ δ' ἐπὶ τοῦ Ἑλλησπόντου φυγοῦσα ναῦς διέ- 22
φυγε, καὶ ἀφικομένη εἰς τὰς Ἀθήνας ἐξαγγέλλει τὴν πο-
λιορκίαν. Διομέδων δὲ βοηθῶν Κόνωνι πολιορκουμένῳ
δώδεκα ναυσὶν ὡρμίσατο εἰς τὸν εὔριπον[10] τὸν τῶν Μυ-

---

1) Εἰς κοίλην ναῦν = εἰς τὸ κοῖλον (μέρος, ὑποκάτω τοῦ καταστρώματος) τῆς νεώς. 2) Παραπετάσματα ἐκ δέρματος ἢ τριχόπλεκτα ἔνθεν καὶ ἔνθεν τῶν πλευρῶν τοῦ πλοίου πρὸς ἀπόκρουσιν τῶν κυμάτων ἢ τῶν ἐχθρικῶν βελῶν. 3) Ἡσύχαζον. 4) Ὅταν ἐσκοτείνιαζε. 5) Ὀλίγας τροφάς. 6) Ἐφορμῶ (ἐπὶ — ὅρμος) = φυλάττω τὸν λιμένα, κατὰ τὸ συνών. ἐφεδρεύω = παραμονεύω. Τὸ μὲν λέγεται ἐπὶ θαλάσσης τὸ δὲ ἐπὶ ξηρᾶς. 7) Ἡ μὲν (μία ναῦς...) ἡ δὲ (ἄλλη...). 8) Διότι ἔτυχε νὰ ποιῶνται — ἄριστον = νὰ προγευματίζωσι. 9) Δέσαντες. 10) Εἰς τὸν πορθμόν, εἰς τὸ στενόν.

23 τιληναίων. Ὁ δὲ Καλλικρατίδας ἐπιπλεύσας αὐτῷ ἐξαί-
φνης δέκα μὲν τῶν νεῶν ἔλαβε, Διομέδων δ' ἔφυγε τῇ
24 τε αὐτοῦ[1] καὶ ἄλλῃ. Οἱ δὲ Ἀθηναῖοι τὰ γεγενημένα καὶ
τὴν πολιορκίαν ἐπεὶ ἤκουσαν, ἐψηφίσαντο βοηθεῖν ναυσὶν
ἑκατὸν καὶ δέκα, εἰσβιβάζοντες τοὺς ἐν τῇ ἡλικίᾳ ὄντας[2]
ἅπαντας καὶ δούλους[3] καὶ ἐλευθέρους· καὶ πληρώσαντες[4]
τὰς δέκα καὶ ἑκατὸν ἐν τριάκοντα ἡμέραις ἀπῆραν. Εἰσ-
25 έβησαν δὲ καὶ τῶν ἱππέων πολλοί. Μετὰ ταῦτα ἀνή-
χθησαν εἰς Σάμον, κἀκεῖθεν Σαμίας ναῦς ἔλαβον δέκα·
ἤθροισαν δὲ καὶ ἄλλας πλείους ἢ τριάκοντα παρὰ τῶν
ἄλλων συμμάχων, εἰσβαίνειν ἀναγκάσαντες ἅπαντας,
ὁμοίως δὲ καὶ εἴ τινες[5] αὐτοῖς ἔτυχον ἔξω οὖσαι. Ἐγέ-
νοντο δὲ αἱ πᾶσαι[6] πλείους ἢ πεντήκοντα καὶ ἑκατόν.
26 Ὁ δὲ Καλλικρατίδας ἀκούων τὴν βοήθειαν ἤδη ἐν Σάμῳ
οὖσαν, αὐτοῦ μὲν κατέλιπε πεντήκοντα ναῦς καὶ ἄρ-
χοντα Ἐτεόνικον, ταῖς δὲ εἴκοσι καὶ ἑκατὸν ἀναχθεὶς
ἐδειπνοποιεῖτο τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ[7] ἀντίον
27 τῆς Μυτιλήνης. Τῇ δ' αὐτῇ ἡμέρᾳ ἔτυχον καὶ οἱ Ἀθη-
ναῖοι δειπνοποιούμενοι ἐν ταῖς Ἀργινούσαις[8]· αὗται δ'
28 εἰσὶν ἀντίον τῆς Λέσβου. Τῆς δὲ νυκτὸς ἰδὼν τὰ πυρὰ,
καί τινων αὐτῷ ἐξαγγειλάντων ὅτι οἱ Ἀθηναῖοι εἶεν[9]

---

1) Ἐνν. νηΐ. 2) Τοὺς ἐν ἡλικίᾳ (νομίμῳ) ὄντας = τοὺς ἐνηλίκους πρὸς στράτευσιν, ἤτοι 18—60 ἐτῶν. Οἱ ἔξω τῆς ἡλικίας λεγόμ. ἤτοι οἱ πέραν τοῦ 60ου ἔτους ἀπηλλάσσοντο τῆς στρατ. ὑποχρεώσεως. 3) Διότι οἱ δοῦλοι δὲν ἐστρατολογοῦντο εἰμὴ εἰς τὴν ἐσχάτην ἀνάγκην τῆς πατρίδος. 4) Ἐνν. ἀνδρῶν. 5) = Ὅσαι. 6) Ὅλαι ὁμοῦ συνεποσοῦντο (= ἐγένοντο). 7) = Ἀκρωτήριον εἰς τὸ νότ. τῆς Λέσβου, ἀντικρὺ (= ἀντίον) τῆς Μυτιλήνης. 8) Τρεῖς μικραὶ νῆσοι κείμεναι μεταξὺ Λέσβου καὶ Μ. Ἀσίας. 9) Τὸ ὅτι (μετ' εὐκτ.) εἶεν, διότι ἐξήρτηται ἐκ ῥήμ. χρ. ἱστορικοῦ.

ἀνήγετο περὶ μέσας νύκτας[1], ὡς ἐξαπιναίως προσπέσοι· ὕδωρ δ' ἐπιγενόμενον πολὺ καὶ βρονταὶ διεκώλυσαν τὴν ἀναγωγήν. Ἐπεὶ δὲ ἀνέσχεν[2], ἅμα τῇ ἡμέρᾳ ἔπλει ἐπὶ τὰς Ἀργινούσας. Οἱ δ' Ἀθηναῖοι ἀντανήγοντο εἰς τὸ 29
πέλαγος τῷ εὐωνύμῳ[3], παρατεταγμένοι ὧδε. Ἀριστοκράτης μὲν τὸ εὐώνυμον ἔχων ἡγεῖτο πεντεκαίδεκα ναυσί, μετὰ δὲ ταῦτα Διομέδων ἑτέραις πεντεκαίδεκα· ἐπετέτακτο[4] δὲ Ἀριστοκράτει μὲν Περικλῆς, Διομέδοντι δὲ Ἐρασινίδης· παρὰ δὲ Διομέδοντα οἱ Σάμιοι δέκα ναυσὶν ἐπὶ μιᾶς[5] τεταγμένοι· ἐστρατήγει δὲ αὐτῶν Σάμιος ὀνόματι Ἱππεύς· ἐχόμεναι[6] δ' αἱ τῶν ταξιάρχων[7] δέκα, καὶ αὐταὶ ἐπὶ μιᾶς· ἐπὶ δὲ ταύταις αἱ τῶν ναυάρχων τρεῖς, καὶ εἴ τινες ἄλλαι ἦσαν συμμαχίδες. Τὸ δὲ δεξιὸν κέρας 30
Πρωτόμαχος εἶχε πεντεκαίδεκα ναυσί· παρὰ δ' αὐτὸν Θράσυλλος ἑτέραις πεντεκαίδεκα· ἐπετέτακτο δὲ Πρωτομάχῳ μὲν Λυσίας, ἔχων τὰς ἴσας ναῦς, Θρασύλλῳ δὲ 31
Ἀριστογένης. Οὕτω δ' ἐτάχθησαν, ἵνα μὴ διέκπλουν διδοῖεν[8]· χεῖρον γὰρ ἔπλεον[9]. Αἱ δὲ των Λακεδαιμονιων ἀντιτεταγμέναι ἦσαν ἅπασαι ἐπὶ μιᾶς ὡς πρὸς διέκπλουν καὶ περίπλουν[10] παρεσκευασμέναι, διὰ τὸ βέλτιον πλεῖν. Εἶχε δὲ τὸ δεξιὸν κέρας Καλλικρατίδας.

---

[1]) Περὶ τὸ μεσονύκτιον. [2]) Ἐσταμάτησεν ἡ βροχὴ (τὸ ὕδωρ). [3]) Ἐνν. κέρᾳ=πτέρυγι. Εὐώνυμος, ὁ ἔχων καλὸν ὄνομα· ἀλλ' ἐδῶ κατ' εὐφημισμὸν=ἀριστερός. [4]) Κατόπιν τοῦ Ἀριστοκρ. ἦτο παρατεταγμένος ὁ Περ. [5]) Εἰς μίαν σειράν. [6]) Ἑπόμεναι. [7]) Οἱ ταξίαρχοι ἦσαν δέκα, εἷς ἐξ ἑκάστης φυλῆς, ἄρχοντες τῶν πεζῶν ἑκάστης. [8]) Διὰ νὰ ἐμποδίσωσι τὸν ἐχθρὸν τοῦ νὰ διασπάσῃ τὴν τάξιν τῶν πλοίων. [9]) Ὑποκμ. τὰ πλοῖα, ἔπλεον δυσκόλως (=χεῖρον). [10]) Ἕτοιμοι νὰ διασπάσωσι τὴν τάξιν καὶ περικυκλώσωσιν αὐτοὺς (= περίπλουν).

32 Ἕρμων δὲ Μεγαρεὺς ὁ τῷ Καλλικρατίδᾳ κυβερνῶν[1] εἶπε πρὸς αὐτὸν ὅτι εἴη καλῶς ἔχον[2] ἀποπλεῦσαι· αἱ γὰρ τριήρεις τῶν Ἀθηναίων πολλῷ πλείονες ἦσαν. Καλλικρατίδας δὲ εἶπεν ὅτι ἡ Σπάρτη οὐδὲν μὴ[3] κάκιον οἰκεῖται αὐτοῦ ἀποθανόντος, φεύγειν δὲ αἰσχρὸν ἔφη

33 εἶναι. Μετὰ δὲ ταῦτα ἐναυμάχησαν χρόνον πολὺν, πρῶτον μὲν ἀθρόαι, ἔπειτα δὲ διεσκεδασμέναι. Ἐπεὶ δὲ Καλλικρατίδας τε ἐμβαλούσης τῆς νεὼς ἀποπεσὼν εἰς τὴν θάλατταν ἠφανίσθη Πρωτόμαχός τε καὶ οἱ μετ' αὐτοῦ τῷ δεξιῷ τὸ εὐώνυμον ἐνίκησαν, ἐντεῦθεν φυγὴ[4] τῶν Πελοποννησίων ἐγένετο εἰς Χίον, πλείστων δὲ καὶ εἰς Φώκαιαν· οἱ δὲ Ἀθηναῖοι πάλιν εἰς τὰς Ἀργινούσας κατέπλευσαν. Ἀπώλοντο δὲ τῶν μὲν Ἀθη-

34 ναίων νῆες πέντε καὶ εἴκοσιν αὐτοῖς ἀνδράσιν ἐκτὸς ὀλίγων τῶν πρὸς τὴν γῆν προσενεχθέντων[5], τῶν δὲ Πελοποννησίων Λακωνικαὶ μὲν ἐννέα, τῶν πασῶν οὐσῶν δέκα, τῶν δ' ἄλλων συμμάχων πλείους ἢ ἑξήκοντα. Ἔδοξε δὲ [καὶ] τοῖς τῶν Ἀθηναίων στρατη-

35 γοῖς ἑπτὰ μὲν καὶ τετταράκοντα ναυσὶ Θηραμένη τε καὶ Θρασύβουλον τριηράρχους ὄντας καὶ τῶν ταξιάρχων τινὰς πλεῖν ἐπὶ τὰς καταδεδυκυίας[6] ναῦς καὶ τοὺς ἐπ' αὐτῶν ἀνθρώπους, ταῖς δὲ ἄλλαις ἐπὶ τὰς μετ' Ἐ-

---

1) Κυβερνήτης (διοικητὴς) τοῦ πλοίου τοῦ Καλλικρ. 2) Εἴη ἔχον=ἔχοι. 3) Τὸ οὐ μὴ (οὐδὲν μὴ) σημαῖνον ἄρνησιν ἐμφαντικὴν, συντάσσ. μετὰ μέλλοντος. Οὐ μὴ οἰκεῖται ἀντὶ οἰκήσεται (κατὰ παράλειψιν τοῦ σ καὶ συναίρ.). Δὲν θὰ εἶνε διόλου εἰς χειροτέραν κατάστασιν (=κάκιον) ἡ Σπάρτη, ἐὰν αὐτὸς ἀποθάνῃ. 4) Φυγὴ ἐγένετο τῶν Πελ.=ἔφυγον οἱ Πελ. 5) Πθ. ἀόρ. τοῦ προσφέρομαι. Ἐκτὸς τῶν ὅσων ἔρριψαν ἑαυτοὺς (ἐρρίφθησαν, κατέφυγον) εἰς τὴν ξηράν. 6) Τὰς διατρηθείσας καὶ (ἑπομ.) μελλούσας καταδῦναι.

τεονίκου τῇ Μυτιλήνῃ ἐφορμούσας. Ταῦτα δὲ βουλο-
μένους ποιεῖν ἄνεμος καὶ χειμὼν διεκώλυσεν αὐτοὺς
μέγας γενόμενος· τρόπαιον δὲ στήσαντες αὐτοῦ[1] ηὐ-
λίζοντο[2]. Τῷ δ' Ἐτεονίκῳ ὁ ὑπηρετικὸς κέλης[3] πάντα 36
ἐξήγγειλε τὰ περὶ τὴν ναυμαχίαν. Ὁ δὲ αὐτὸν πάλιν
ἐξέπεμψεν εἰπὼν τοῖς ἐνοῦσι[4] σιωπῇ ἐκπλεῖν καὶ μηδενὶ
διαλέγεσθαι, παραχρῆμα δὲ αὖθις πλεῖν εἰς τὸ ἑαυτῶν
στρατόπεδον ἐστεφανωμένους[5] καὶ βοῶντας ὅτι Καλ-
λικρατίδας νενίκηκε ναυμαχῶν καὶ ὅτι αἱ τῶν Ἀθηναίων
νῆες ἀπολώλασιν ἅπασαι. Καὶ οἱ μὲν ταῦτ' ἐποίουν· 37
αὐτὸς δ', ἐπειδὴ ἐκεῖνοι κατέπλεον, ἔθυε τὰ εὐαγγέλια[6],
καὶ τοῖς στρατιώταις παρήγγειλε δειπνοποιεῖσθαι, καὶ
τοῖς ἐμπόροις[7] τὰ χρήματα[8] σιωπῇ ἐνθεμένους εἰς τὰ
πλοῖα ἀποπλεῖν εἰς Χίον, ἦν δὲ τὸ πνεῦμα οὔριον[9], καὶ
τὰς τριήρεις τὴν ταχίστην[10]. Αὐτὸς δὲ τὸ πεζὸν ἀπῆγεν 38
εἰς τὴν Μύθημναν, τὸ στρατόπεδον ἐμπρήσας. Κόνων
δὲ καθελκύσας τὰς ναῦς, ἐπεὶ οἵ τε πολέμιοι ἀπεδεδρά-
κεσαν καὶ ὁ ἄνεμος εὐδιαίτερος[11] ἦν, ἀπαντήσας τοῖς
Ἀθηναίοις ἤδη ἀνηγμένοις ἐκ τῶν Ἀργινουσῶν ἔφρασε
τὰ περὶ τοῦ Ἐτεονίκου. Οἱ δὲ Ἀθηναῖοι κατέπλευσαν
εἰς τὴν Μυτιλήνην, ἐκεῖθεν δ' ἐπανήχθησαν εἰς τὴν
Χίον, καὶ οὐδὲν διαπραξάμενοι ἀπέπλευσαν ἐπὶ Σάμου.

---

1) Ἐπίρ. τοπ. 2) Ἐστρατοπέδευσαν. 1) Κέλης = μικρὸν ταχὺ πλοῖον, τρεχαντῆρι. 4) Τοῖς οὖσιν ἐν (τῷ κέλητι). 5) Στεφανηφοροῦντας. 6) Ἔθυε τὰ εὐαγγέλια = ἐτέλει τὴν θυσίαν ἐπὶ τοῖς εὐαγγελίοις = τῇ καλῇ ἀγγελίᾳ τῆς νίκης. 7) Ἔμποροι ἦσαν οἱ παρακολουθοῦντες τὸν στρατὸν πρὸς πώλησιν, προμήθειαν τῶν ἀναγκαίων ἢ ἀγορὰν τῶν λαφύρων. 8) Τὰ πράγματά των. 9) Πνεῦμα = ἄνεμος, ἐκ τοῦ πνέω. Οὔριος (ἄνεμος) = καλὸς διὰ ταξεῖδι. 10) Ἐπίρ. = τάχιστα. 11). Μᾶλλον εὔδιος = οὔριος.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

ΚΕΦΑΛΑΙΟΝ Α'.

Συνεισφορὰ Χίων, ἀντικατάστασις Ἐτεονίκου καὶ διοίκησις τοῦ στόλου ὑπὸ τοῦ ὑποναυάρχου Λυσάνδρου, (§ 1 — 8). — Κύρου χρηματικαὶ βοήθειαι τοῖς Λακεδαιμονίοις, (§ 10 — 15). — Ἡ ἐν Αἰγὸς ποταμοῖς ναυμαχία. Ἧττα Ἀθηναίων. Τιμωρία αἰχμαλώτων καὶ θανάτωσις Φιλοκλέους, (§ 15 — 32).

Οἱ δὲ ἐν τῇ Χίῳ[1] μετὰ τοῦ Ἐτεονίκου στρατιῶται
ὄντες, ἕως μὲν θέρος ἦν, ἀπό τε τῆς ὥρας[2] ἐτρέφοντο
καὶ ἐργαζόμενοι[3] μισθοῦ[4] κατὰ τὴν χώραν· ἐπεὶ δὲ χει-
μὼν ἐγένετο καὶ τροφὴν οὐκ εἶχον γυμνοί τε ἦσαν καὶ
ἀνυπόδητοι, συνίσταντο[5] ἀλλήλοις καὶ συνετίθεντο[6] ὡς[7]
τῇ Χίῳ ἐπιθησόμενοι· οἷς δὲ ταῦτα ἀρέσκοι κάλαμον φέ-
2 ρειν ἐδόκει[8], ἵνα ἀλλήλους μάθοιεν ὁπόσοι εἴησαν. Πυ-
θόμενος δὲ τὸ σύνθημα[9] ὁ Ἐτεόνικος, ἀπόρως μὲν εἶχε[10]
τί[11] χρῷτο τῷ πράγματι διὰ τὸ πλῆθος τῶν καλαμηφό-

---

[1]) Θανόντος τοῦ ναυάρχου τῶν Λακεδ. Καλλικρατίδα κατὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν(τῷ 406 π. Χ.), ἡ ναυαρχία ἀνετέθη τῷ Ἐτεονίκῳ, ὅστις καταλιπὼν τὴν Μήθυμναν τῆς Λέσβου ἀπέπλευσε μετὰ τοῦ στόλου εἰς Χίον. [2]) Ἀπὸ τῆς ὥρας=ἀπὸ τῶν καρπῶν τῆς ὥρας (=τῆς ἐποχῆς) τοῦ ἔτους. [3]) Τὸ καὶ ἐργαζόμενοι (=ἀπὸ τῆς ἐργασίας) συνδέεται πρὸς τὸ ἀπὸ τῆς ὥρας καὶ σημ. τὸ μέσον δι' οὗ ἐτρέφ. [4])=Ἀντὶ μισθοῦ (γεν. τοῦ τιμήμ.). [5]) Συνηθροίζοντο. [6]) Καὶ συνεφώνουν. [7]) Τελικ.=ἵνα. [8]) Ἡ κανον. σύντξ. ἐδόκει δ' αὐτοῖς φέρειν κάλαμον ἐκείνους (ἐξ αὐτῶν), οἷς ἀρέσκει ταῦτα(δηλ. τὸ ἐπιθέσθαι τῇ Χίῳ). [9]) Δηλ. τὸ καλαμηφορεῖν. [10]) Εὑρίσκετο εἰς ἀπορίαν. [11]) Τί σύστοιχ. ἀντικμ. τοῦ (=τίνα χρῆσιν)

ρων· τό τε γὰρ ἐκ τοῦ ἐμφανοῦς[1] ἐπιχειρῆσαι[2] σφα-
λερὸν ἐδόκει εἶναι, μή[3] εἰς τὰ ὅπλα ὁρμήσωσι καὶ τὴν
πόλιν κατασχόντες καὶ πολέμιοι γενόμενοι ἀπολέσωσι
πάντα τὰ πράγματα, ἂν κρατήσωσι, τό τ' αὖ ἀπολ-
λύναι ἀνθρώπους συμμάχους πολλοὺς δεινὸν ἐφαίνετο
εἶναι, μή τινα καὶ εἰς τοὺς ἄλλους Ἕλληνας διαβολὴν
σχοῖεν καὶ οἱ στρατιῶται δύσνοι[4] πρὸς τὰ πράγματα
ὦσιν· ἀναλαβὼν δὲ μεθ' ἑαυτοῦ ἄνδρας πεντεκαίδεκα 3
ἐγχειρίδια ἔχοντας ἐπορεύετο κατὰ[5] τὴν πόλιν, καὶ ἐν-
τυχών τινι ὀφθαλμιῶντι[6] ἀνθρώπῳ ἀπιόντι ἐξ ἰατρείου,
κάλαμον ἔχοντι, ἀπέκτεινε. Θορύβου δὲ γενομένου καὶ 4
ἐρωτώντων τινῶν διὰ τί ἀπέθανεν ὁ ἄνθρωπος, παραγ-
γέλλειν ἐκέλευεν ὁ Ἐτεόνικος, ὅτι[7] τὸν κάλαμον εἶχε.
Κατὰ δὲ τὴν παραγγελίαν[8] ἐρρίπτουν πάντες ὅσοι εἶχον
τοὺς καλάμους, ἀεὶ ὁ ἀκούων δεδιὼς μὴ ὀφθείη ἔχων.
Μετὰ δὲ ταῦτα ὁ Ἐτεόνικος συγκαλέσας τοὺς Χίους 5
χρήματα ἐκέλευσε συνενεγκεῖν, ὅπως οἱ ναῦται λάβωσι
μισθὸν καὶ μὴ νεωτερίσωσί τι[10]· οἱ δὲ εἰσήνεγκαν[11]· ἅμα
δὲ εἰς τὰς ναῦς ἐσήμηνεν εἰσβαίνειν· προσιὼν δὲ ἐν μέ-
ρει[12] παρ' ἑκάστην ναῦν παρεθάρρυνέ τε καὶ παρῄνει

χρῷτο = πῶς νὰ συμπεριφερθῇ εἰς τὴν περίστασιν αὐτὴν (= τῷ πράγματι). [1]) Ἐπιρ. φρ. = φανερά. [2]) Ἐνν. αὐτοῖς. [3]) Ἐκ φόβου μὴ (διότι ἡ ἀπορημ. πρότασις ἤρτηται ἐκ τοῦ σφαλερὸν εἶναι (σημαντ. φόβου). Ἐπίσης καὶ τὸ κατωτέρω μὴ (= φόβῳ μὴ) σχοῖεν... [4]) Δύσνοι (συνηρμ. δύσνοοι) τὸ ἀντθ. τοῦ εὖνοι. [5]) = Ἀνὰ (καθ' ὅλην) τὴν πόλιν. [6]) = Πάσχοντι τοὺς ὀφθαλμούς. [7]) = Διότι, κατ' ἀπόκρ. εἰς τὸ διὰ τί... [8]) Τὴν διακήρυξιν. [9]) Ἡ κανον. σύντξ. πάντες ὅσοι εἶχον τοὺς καλάμους ἐρρίπτουν(αὐτούς), δεδιὼς ὁ ἀεὶ (= ἑκάστοτε) ἀκούων (τὴν παραγγ.) μὴ ὀφθείη ἔχων(τὸν κάλαμ.). [10]) Μὴ ἀποπειραθῶσι νέον τι διάβημα, μὴ στασιάσωσιν. [11]) Ἀόρ. α'. τοῦ εἰσφέρω. [12]) Κατὰ σειράν.

πολλά, ὡς[1] τοῦ γεγενημένου οὐδὲν εἰδώς, καὶ μισθὸν
6 ἑκάστῳ μηνὸς διέδωκε[2]. Μετὰ δὲ ταῦτα οἱ Χῖοι καὶ οἱ
ἄλλοι σύμμαχοι συλλεγέντες εἰς Ἔφεσον ἐβουλεύσαντο
περὶ τῶν ἐνεστηκότων πραγμάτων πέμπειν εἰς Λακεδαί-
μονα πρέσβεις ταῦτά τε ἐροῦντας[3] καὶ Λύσανδρον αἰτή-
σοντας ἐπὶ τὰς ναῦς[4], εὖ φερόμενον παρὰ τοῖς συμμά-
χοις κατὰ τὴν προτέραν ναυαρχίαν, ὅτε καὶ τὴν ἐν
7 Νοτίῳ ἐνίκησε ναυμαχίαν. Καὶ ἀπεπέμφθησαν πρέσβεις,
σὺν αὐτοῖς δὲ καὶ παρὰ Κύρου ταὐτὰ λέγοντες ἄγγελοι[5].
Οἱ δὲ Λακεδαιμόνιοι ἔδοσαν τὸν Λύσανδρον ὡς ἐπιστο-
λέα[6], ναύαρχον δὲ Ἄρακον· οὐ γὰρ[7] νόμος αὐτοῖς[8] δὶς
τὸν αὐτὸν ναυαρχεῖν· τὰς μέντοι ναῦς παρέδοσαν Λυ-
σάνδρῳ [ἐτῶν ἤδη τῷ πολέμῳ πέντε καὶ εἴκοσι παρε-
ληλυθότων].

10 Τῷ δ' ἐπιόντι ἔτει[9] [ἐπὶ Ἀρχύτα μὲν ἐφορεύοντος[10],
ἄρχοντος δ' ἐν Ἀθήναις Ἀλεξίου], Λύσανδρος ἀφικό-
μενος εἰς Ἔφεσον μετεπέμψατο Ἐτεόνικον ἐκ Χίου σὺν
ταῖς ναυσί, καὶ τὰς ἄλλας πάσας συνήθροισεν, εἴ πού τις
ἦν, καὶ ταύτας τ' ἐπεσκεύαζε καὶ ἄλλας ἐν Ἀντάνδρῳ
11 ἐναυπηγεῖτο[11]. Ἐλθὼν δὲ παρὰ Κῦρον χρήματα ᾔτει[12].
ὁ δ' αὐτῷ εἶπεν, ὅτι τὰ μὲν παρὰ βασιλέως ἀνηλωμένα[13]

[1]) Ὡς οὐδὲν εἰδὼς = ὡς νὰ μὴ ἤξευρε τίποτε. [2]) Διένειμε. [3]) Τελικὴ μετοχικὴ ἐκ τοῦ πέμπειν (ὡς καὶ τὸ αἰτήσοντας). [4]) Ἐπὶ τὴν διοίκησιν τοῦ στόλου. [5]) Ἐνν. ἀπεπέμφθησαν (σὺν αὐτοῖς). [6]) Ὑποναύαρχον. [7]) Ὁ γὰρ αἰτιολογεῖ διατὶ ἔστειλε τὸν Λύσανδρον ὡς ἐπιστολέα καὶ ὄχι ὡς ναύαρχον. [8]) Ἐνν. ἐστίν. Οὐκ ἔστιν νόμοις αὐτοῖς = δὲν ἐπιτρέπει ἡ νομοθεσία των. [9]) Τῷ 405 π. Χ. ἤτοι τὸ 27^ον^ τοῦ πολέμου. [10]) Ὄντος ἐφόρου. [11]) Μέσ. διάμεσ. = ἐναυπήγει διὰ τῶν ναυπηγῶν. [12]) Ἐνν. αὐτόν. Τὸ αἰτῶ συντάσσεται μετὰ διπλ. αἰτιατχ. [13]) Ἀνηλωμένα εἴη· περιφραστ. παρακμ. τοῦ ἀναλίσκω = ἐξοδεύω, δαπανῶ.

εἴη, καὶ ἔτι πλείω πολλῷ, δεικνύων ὅσα ἕκαστος τῶν
ναυάρχων ἔχοι[1], ὅμως δ' ἔδωκε. Λαβὼν δὲ ὁ Λύσανδρος 12
τἀργύριον, ἐπὶ[2] τὰς τριήρεις τριηράρχους ἐπέστησε καὶ
τοῖς ναύταις τὸν ὀφειλόμενον μισθὸν ἀπέδωκε. Παρε-
σκευάζοντο δὲ καὶ οἱ τῶν Ἀθηναίων στρατηγοὶ πρὸς τὸ
ναυτικὸν[3] ἐν τῇ Σάμῳ.

Κῦρος δ' ἐπὶ τούτοις[4] μετεπέμψατο Λύσανδρον, ἐπεὶ 13
αὐτῷ παρὰ τοῦ πατρὸς ἧκεν ἄγγελος λέγων ὅτι ἀρρω-
στῶν ἐκεῖνον καλοίη, ὢν ἐν Θαμνηρίοις τῆς Μηδίας
ἐγγὺς Καδουσίων[5], ἐφ' οὓς[6] ἐστράτευσεν ἀφεστῶτας[7].
Ἥκοντα[8] δὲ Λύσανδρον οὐκ εἴα ναυμαχεῖν πρὸς Ἀθη- 14
ναίους, ἐὰν μὴ πολλῷ πλείους ναῦς ἔχῃ· εἶναι[9] γὰρ
χρήματα πολλὰ καὶ βασιλεῖ καὶ αὐτῷ, ὥστε τούτου ἕνε-
κεν πολλὰς πληροῦν[10]. Παρέδειξε δ' αὐτῷ πάντας τοὺς
φόρους τοὺς ἐκ τῶν πόλεων, οἳ αὐτῷ ἴδιοι ἦσαν, καὶ
τὰ περιττὰ χρήματα ἔδωκε· καὶ ἀναμνήσας ὡς εἶχε φι-
λίας[11] πρός τε τὴν τῶν Λακεδαιμονίων πόλιν καὶ πρὸς
Λύσανδρον ἰδίᾳ, ἀνέβαινε παρὰ τὸν πατέρα.

Λύσανδρος δ', ἐπεὶ αὐτῷ Κῦρος πάντα παραδοὺς 15
τὰ αὐτοῦ πρὸς τὸν πατέρα ἀρρωστοῦντα μετάπεμπτος[12]

---

1) Ὅσα...ἔχοι = πόσα ἔχει λάβει. 2) Ἡ ἐπὶ δηλοῖ τὴν ἐξουσίαν. Ἐπέστησε = διώρισε. 3) Πρὸς ναυμαχίαν. 4) Κατόπιν τούτων. 5) Καδούσιοι, ἔθνος τῆς Μηδίας εἰς τὰ δυτ. παράλια τῆς Κασπίας. Θαμνήριοι, χωρίον τῆς Μηδ. 6) Καθ' ὧν, ἐναντίον. 7) Ἀποστατήσαντας. 8) Ἐλθόντα. 9) Εἰδ. ἀπαρέμφ. ἐκ τοῦ ἐννοουμ. ἀνωτ. λέγων. 10) Πολλὰς (ἐνν. ναῦς) πληροῦν (ἐνν. ἀνδρῶν) τούτου ἕνεκεν (ἐφ' ὅσον ἐξηρτᾶτο ἀπὸ τοῦτο, ἀπὸ τὰ χρήματα). 11) Πῶς (=ὡς) διέκειτο φιλικῶς. Τὸ ἔχω, ἥκω, κεῖμαι κτλ. μετὰ τροπ. ἢ ποιοτ. ἐπιρ. συντάσσονται μετὰ γεν. Ὡς ἔχοι φιλίας. 12) Ἐν π[illegible]τ. παρακμ. σημασίᾳ. Ἐνν. ὑπὸ τοῦ πατρὸς (ποιητ. αἴτ.) μετάπεμπτος = προσκληθεὶς δι' ἀπεσταλμένου.

ἀνέβαινε, μισθὸν διαδοὺς τῇ στρατιᾷ ἀνήχθη τῆς Κα-
ρίας εἰς τὸν Κεράμειον κόλπον. Καὶ προσβαλὼν πόλει
τῶν Ἀθηναίων συμμάχῳ ὄνομα[1] Κεδρείαις τῇ ὑστεραίᾳ
προσβολῇ κατὰ κράτος αἱρεῖ[2] καὶ ἐξηνδραπόδισεν.
Ἦσαν δὲ μιξοβάρβαροι[3] οἱ ἐνοικοῦντες. Ἐκεῖθεν δ'
16 ἀπέπλευσεν εἰς Ῥόδον. Οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Σάμου
ὁρμώμενοι τὴν βασιλέως[4] κακῶς ἐποίουν, καὶ ἐπὶ τὴν
Χίον καὶ τὴν Ἔφεσον ἐπέπλεον, καὶ παρεσκευάζοντο
πρὸς ναυμαχίαν, καὶ στρατηγοὺς πρὸς τοῖς ὑπάρχουσι
17 προσείλοντο[5] Μένανδρον, Τυδέα, Κηφισόδοτον. Λύ-
σανδρος δ' ἐκ τῆς Ῥόδου παρὰ τὴν Ἰωνίαν ἐκπλεῖ πρὸς
τὸν Ἑλλήσποντον πρός τε τῶν πλοίων τὸν ἔκπλουν[6]
καὶ ἐπὶ[7] τὰς ἀφεστηκυίας[8] αὐτῶν πόλεις. Ἀνήγοντο
18 δὲ καὶ οἱ Ἀθηναῖοι ἐκ τῆς Χίου πελάγιοι[9]· ἡ γὰρ Ἀσία
πολεμία αὐτοῖς ἦν· Λύσανδρος δ' ἐξ Ἀβύδου παρέπλει
εἰς Λάμψακον σύμμαχον οὖσαν Ἀθηναίων· καὶ οἱ Ἀβυ-
δηνοὶ καὶ οἱ ἄλλοι παρῆσαν[10] πεζῇ· ἡγεῖτο δὲ Θώραξ
19 Λακεδαιμόνιος. Προσβαλόντες δὲ τῇ πόλει αἱροῦσι κατὰ
κράτος, καὶ διήρπασαν οἱ στρατιῶται οὖσαν πλουσίαν

---

[1]) Αἰτιατκ. τοῦ κατά τι = ὀνόματι. [2]) Ἐνεστ. ἀντὶ ἀορ. εἷλεν = ἐκυρίευσε κατὰ κράτος (= ἐξ ἐφόδου). [3]) Μιξοβάρβαροι (μίγνυμι — βάρβαροι) = Ἕλληνες καὶ βάρβαροι ἀναμίξ. [4]) Χώραν. [5]) Καὶ ἄλλους προσέτι ἐξέλεξαν ἐκτὸς τῶν (= πρὸς τοῖς) ὑπαρχόντων. [6]) Πρὸς τῶν πλοίων τὸν ἔκπλουν (ἡ πρὸς σημ. τὸν σκοπὸν) = διὰ νὰ κωλύῃ τὰ πλοῖα τοῦ νὰ ἐκπλέωσιν (ἐκ τοῦ Ἑλλησπόντου δηλ.). [7]) Ἐναντίον. [8]) Ἀπ' αὐτῶν (τῶν Λακεδ.). [9]) Ἐπίθετον (κατηγορούμ. τοῦ Ἀθην.) ἔχον σημ. τοπ. ἐπιρ: ἀντὶ διὰ τοῦ πελάγους, κατ' ἀντίθεσιν πρὸς τὸ κατωτ. παρέπλει = ἔπλεε παρὰ τὴν ἀκτήν. [10]) Παρατ. τοῦ πάρειμι (παρὰ — εἶμι) = πορεύομαι.

καὶ οἴνου καὶ σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων πλήρη· τὰ
δὲ ἐλεύθερα σώματα[1] πάντα ἀφῆκε Λύσανδρος. Οἱ δ' 20
Ἀθηναῖοι κατὰ πόδας[2] πλέοντες ὡρμίσαντο τῆς Χερρο-
νήσου ἐν Ἐλαιοῦντι ναυσὶν ὀγδοήκοντα καὶ ἑκατόν.
Ἐνταῦθα δὴ ἀριστοποιουμένοις αὐτοῖς ἀγγέλλεται τὰ
περὶ Λάμψακον[3], καὶ εὐθὺς ἀνήχθησαν εἰς Σηστόν.
Ἐκεῖθεν δ' εὐθὺς ἐπισιτισάμενοι ἔπλευσαν εἰς Αἰγὸς πο- 21
ταμοὺς[4] ἀντίον[5] τῆς Λαμψάκου· διέχει[6] δ' ὁ Ἑλλή-
σποντος ταύτῃ σταδίους ὡς[7] πεντεκαίδεκα. Ἐνταῦθα
δὲ ἐδειπνοποιοῦντο. Λύσανδρος δὲ τῇ ἐπιούσῃ νυκτί, 22
ἐπεὶ ὄρθρος ἦν, ἐσήμηνεν εἰς τὰς ναῦς ἀριστοποιησα-
μένους εἰσβαίνειν, πάντα δὲ παρασκευασάμενος ὡς[8]
εἰς ναυμαχίαν καὶ τὰ παραβλήματα[9] παραβαλὼν[10], προ-
εῖπεν ὡς μηδεὶς κινήσοιτο ἐκ τῆς τάξεως μηδὲ ἀνάξοιτο.
Οἱ δὲ Ἀθηναῖοι ἅμα τῷ ἡλίῳ ἀνίσχοντι[11] ἐπὶ τῷ λιμένι 23
παρετάξαντο ἐν μετώπῳ[12] ὡς εἰς ναυμαχίαν. Ἐπεὶ δὲ
οὐκ ἀντανήγαγε Λύσανδρος, καὶ τῆς ἡμέρας ὀψὲ[13]
ἦν, ἀπέπλευσαν πάλιν εἰς τοὺς Αἰγὸς ποταμούς. Λύ- 24
σανδρος δὲ τὰς ταχίστας τῶν νεῶν ἐκέλευσεν ἕπεσθαι

---

1) Τὰ σώματα (εἰς πληθ. ἀριθ.) = οἱ σκλάβοι, οἱ δοῦλοι. Τὰ δὲ ἐλεύθερα σώματα = οἱ ἐλεύθεροι ἄνδρες. 2) Κατα — πόδι, ταχέως. 3) Ἐνν. γενόμενα, δηλ. ἡ ὑπὸ τῶν Λακεδ. ἅλωσις τῆς Λαμψάκου. 4) Αἰγὸς ποταμοί· πόλις τῆς Προποντίδος καὶ παρ' αὐτῇ ποτάμιον ἐπὶ τῆς Θρακ. Χερσονήσου. 5) Ἀπέναντι. 6) Ἐν ἀμεταβ. σημ. = ἔχει ἀπόστασιν, πλάτος. 7) Περίπου. 8) Ἕτοιμος ὢν πρὸς (εἰς) ναυμ. 9) Παραβλήματα· ταυτόσ. τῷ παραρρύματα, περὶ ὧν ἴδε ἔμπροσθεν. 10) Κρεμάσας εἰς τὰ πλευρὰ τοῦ πλοίου. 11) Ἀνατέλλοντι 12) Κατὰ μέτωπον, ἐν γραμμῇ. 13) Ὀψέ, = (ἐπίρ. χρον. μετὰ γεν. συντάσσ.) = ἀργά, ἔξωρας.

τοῖς Ἀθηναίοις, ἐπειδὰν δὲ ἐκβῶσι[1], κατιδόντας ὅ,τι[2] ποιοῦσιν ἀποπλεῖν καὶ αὐτῷ ἐξαγγεῖλαι. Καὶ οὐ πρότερον ἐξεβίβασεν ἐκ τῶν νεῶν πρὶν[3] αὗται ἧκον. Ταῦτα δ' ἐποίει τέτταρας ἡμέρας· καὶ οἱ Ἀθηναῖοι ἐπανήγοντο.
25 Ἀλκιβιάδης δὲ κατιδὼν ἐκ τῶν τειχῶν[4] τοὺς μὲν Ἀθηναίους ἐν αἰγιαλῷ[5] ὁρμοῦντας καὶ πρὸς[6] οὐδεμιᾷ πόλει, τὰ δ' ἐπιτήδεια ἐκ Σηστοῦ μετιόντας[7] πεντεκαίδεκα σταδίους ἀπὸ τῶν νεῶν, τοὺς δὲ πολεμίους ἐν λιμένι καὶ πρὸς πόλει ἔχοντας πάντα, οὐκ ἐν καλῷ[8] ἔφη αὐτοὺς ὁρμεῖν, ἀλλὰ μεθορμίσαι[9] εἰς Σηστὸν παρῄνει πρός τε λιμένα καὶ πρὸς πόλιν· οὗ[10] ὄντες ναυμαχήσετε, ἔφη,
26 ὅταν βούλησθε. Οἱ δὲ στρατηγοί, μάλιστα δὲ Τυδεὺς καὶ Μένανδρος, ἀπιέναι αὐτὸν ἐκέλευσαν· αὐτοὶ[11] γὰρ
27 νῦν στρατηγεῖν, οὐκ ἐκεῖνον[12]. Καὶ ὁ μὲν ᾤχετο. Λύσανδρος δ', ἐπεὶ ἦν ἡμέρα πέμπτη ἐπιπλέουσι[13] τοῖς Ἀθηναίοις, εἶπε τοῖς παρ' αὐτοῦ[14] ἑπομένοις, ἐπὴν κατίδωσιν αὐτοὺς ἐκβεβηκότας καὶ ἐσκεδασμένους κατὰ τὴν Χερρόνησον, ὅπερ[15] ἐποίουν πολὺ μᾶλλον καθ' ἑκά-

---

1) Ὑποκμ. Ἀθην. 2) Τί πράττουσιν οἱ Ἀθ. 3) Εἰ μὴ ἀφοῦ. 4) Ἐκ τοῦ ἐν Χερσον. τοῦ Ἑλλησπ. φρουρίου του, ὅπου εἶχε καταφύγει μετὰ τὴν εἰς Ἔφεσον ἧττάν του ὑπὸ τοῦ Λυσ. 5) Δηλ. εἰς ἀνοικτὸν αἰγιαλὸν καὶ ὄχι εἰς λιμένα (ὅρμον), κατ' ἀντίθεσιν πρὸς τὸ κατωτ. ἐν λιμένι τοὺς πολεμ. 6) Πλησίον οὐδεμιᾶς πόλεως, ἀντιτίθεται τῷ κατωτ. πρὸς πόλει... 7) Μετιόντας (μέτειμι, μετὰ—εἶμι) = μεταβαίνοντας εἰς Σηστὸν καὶ ἐκεῖθεν μεταφέροντας τὰς ζωοτροφίας. 8) Ἐνν. τόπῳ. Καλῷ = καταλλήλῳ. 9) Μεθορμίσαι = νὰ φύγωσιν ἐκεῖθεν καὶ νὰ ἐλλιμενισθῶσιν εἰς Σηστόν. 10) Ὅπου. 11) Ἐνν. τὸ ἔφασαν. 12) Ἀλκιβ. 13) Ἀφότου (ἀφ' ἧς ἡμέρας) ἐπέπλεον οἱ Ἀθην. 14) Τοῖς παρ' αὐτοῦ (τῇ διαταγῇ) αὐτοῦ ἑπομένοις = τοῖς διαταχθεῖσιν ὑπ' αὐτοῦ νὰ παρακολουθῶσι (τοὺς Ἀθην. ὡς κατάσκοποι). 15) Δηλ. ἐκβαίνειν καὶ σκεδάννυσθαι.

στην ἡμέραν, τά τε σιτία πόρρωθεν ὠνούμενοι καὶ κατα-
φρονοῦντες δὴ[1] τοῦ Λυσάνδρου, ὅτι οὐκ ἀντανῆγεν,
ἀποπλέοντας τοὔμπαλιν[2] παρ' αὐτὸν ἆραι ἀσπίδα κατὰ
μέσον τὸν πλοῦν[3]. Οἱ δὲ ταῦτα ἐποίησαν ὡς ἐκέλευσε.
Λύσανδρος δ' εὐθὺς ἐσήμηνε τὴν ταχίστην πλεῖν· συμ- 28
παρῄει δὲ καὶ Θώραξ τὸ πεζὸν ἔχων. Κόνων δὲ ἰδὼν τὸν[4]
ἐπίπλουν, ἐσήμηνεν εἰς τὰς ναῦς βοηθεῖν κατὰ κρά-
τος[5]. Διεσκεδασμένων δὲ τῶν ἀνθρώπων, αἱ μὲν τῶν νεῶν
δίκροτοι[6] ἦσαν[7], αἱ δὲ μονόκροτοι, αἱ δὲ παντελῶς
κεναί· ἡ δὲ Κόνωνος καὶ ἄλλαι περὶ αὐτὸν ἑπτὰ πλή-
ρεις[8] ἀνήχθησαν ἀθρόαι[9] καὶ ἡ Πάραλος[10], τὰς δ'
ἄλλας πάσας Λύσανδρος ἔλαβε πρὸς τῇ γῇ. Τοὺς δὲ
πλείστους ἄνδρας ἐν τῇ γῇ συνέλεξεν[11]· οἱ δὲ[12] καὶ ἔφυ-
γον εἰς τὰ τειχύδρια[13]. Κόνων δὲ ταῖς ἐννέα ναυσὶ 29
φεύγων, ἐπεὶ ἔγνω τῶν Ἀθηναίων τὰ πράγματα διε-
φθαρμένα, κατασχὼν ἐπὶ τὴν Ἀβαρνίδα τὴν Λαμψάκου
ἄκραν ἔλαβεν αὐτόθεν τὰ μεγάλα τῶν Λυκάνδρου νεῶν
ἱστία, καὶ αὐτὸς μὲν ὀκτὼ ναυσὶν ἀπέπλευσε παρ' Εὐα-
γόραν[14] εἰς Κύπρον, ἡ δὲ Πάραλος εἰς τὰς Ἀθήνας,
ἀπαγγελοῦσα[15] τὰ γεγονότα. Λύσανδρος δὲ τάς τε ναῦς 30

---

1) Χρον. = ἤδη. 2) Τὸ ἔμπαλιν, τοὔμπαλιν = ὀπίσω. 3) Κατὰ τὸ μέσον τοῦ πλοῦ. 4) Τὸν κατ' αὐτῶν. 5) Ὅλαις δυνάμεσι. 6) Δίκροτοι = μὲ μίαν σειρὰν κωπῶν· μονόκροτοι μὲ μίαν μόνον. 7) Εὑρέθησαν. 8) Ἀνδρῶν, (κατ' ἀντίθ· πρὸς τὸ κενάς). 9) Συμπεπυκνωμέναι. 10) Πάραλος καὶ Σαλαμινία ἦσαν αἱ δύο ἱεραὶ τριήρεις, προωρισμέναι ὑπὸ τῶν Ἀθ. δι' ὑπηρεσίας δημοσίας. 11) Ἐκέλευσε συναθροισθῆναι. 12) Οἱ δὲ = ὀλίγοι δέ τινες (συνάγεται ἐκ τοῦ ἀνωτ. τοὺς πλείστους κτλ.). 13) Μικρὰ τείχη τῆς Σηστοῦ. 14) Τὸν βασιλέα τῆς ἐν Κύπρῳ Σαλαμῖνος. 15) Διὰ νὰ ἀναγγείλῃ τὰ γενόμενα.

καὶ τοὺς αἰχμαλώτους[1] καὶ τἄλλα πάντα εἰς Λάμψακον ἀπήγαγεν, ἔλαβε δὲ καὶ τῶν στρατηγῶν ἄλλους τε καὶ Φιλοκλέα καὶ Ἀδείμαντον. Ἧ δ' ἡμέρᾳ[2] ταῦτα κατειργάσατο, ἔπεμψε Θεόπομπον τὸν Μιλήσιον λῃστὴν εἰς Λακεδαίμονα ἀπαγγελοῦντα τὰ γεγονότα, ὃς ἀφικόμε-
31 νος τριταῖος[3] ἀπήγγειλε. Μετὰ δὲ ταῦτα Λύσανδρος ἀθροίσας τοὺς συμμάχους ἐκέλευσε βουλεύεσθαι περὶ τῶν αἰχμαλώτων. Ἐνταῦθα δὴ[4] κατηγορίαι ἐγίγνοντο[5] πολλαὶ τῶν Ἀθηναίων, ἅ[6] τε ἤδη παρενενομήκεσαν καὶ ἃ ἐψηφισμένοι ἦσαν[7] ποιεῖν, εἰ κρατήσειαν τῇ ναυμαχίᾳ, τὴν δεξιὰν χεῖρα ἀποκόπτειν[8] τῶν ζωγρηθέντων πάντων, καὶ ὅτι[9] λαβόντες δύο τριήρεις, Κορινθίαν καὶ Ἀνδρίαν, τοὺς ἄνδρας ἐξ αὐτῶν πάντας κατακρημνίσειαν· Φιλοκλῆς δ' ἦν στρατηγὸς τῶν Ἀθηναίων,
32 ὃς τούτους διέφθειρεν[10]. Ἐλέγετο δὲ καὶ ἄλλα πολλά[11], καὶ ἔδοξεν ἀποκτεῖναι τῶν αἰχμαλώτων ὅσοι ἦσαν Ἀθηναῖοι πλὴν Ἀδειμάντου, ὅτι[12] μόνος ἐπελάβετο[13] ἐν τῇ ἐκκλησίᾳ τοῦ περὶ τῆς ἀποτομῆς τῶν χειρῶν ψηφίσματος· ᾐτιάθη[14] μέντοι ὑπό τινων προδοῦναι τὰς ναῦς. Λύσανδρος δὲ Φιλοκλέα πρῶτον ἐρωτήσας, ὃς τοὺς

---

1) Τὰ πλοῖα ἦσαν 171, αἰχμάλωτοι δὲ περὶ τοὺς τρισχιλίους καὶ τετρακισχιλίους. 2)=Ἐν δ' ᾗ ἡμέρᾳ=καθ' ἣν ἡμέραν. 3) Τὴν τρίτην ἡμέραν. 4) Τότε λοιπόν. 5) Περιφραστ. ἀντί: πολλὰ κατηγόρουν τῶν Ἀθην. 6) Ἅ τε (συστοιχ. ἀντικ. τοῦ παρενενομήκεσαν) = ἅς τε (= καὶ δι' ἅς) παρανομίας κτλ. 7) Ἀπόδοσις τοῦ ὑποθετ. λόγου εἰ κρατήσειαν. 8) Ἐπεξηγ. τοῦ ποιεῖν, ἐξαρτώμενον ἐκ τοῦ ἐψηφ. ἦσαν. 9) Διότι συλλαβόντες. 10) Ἐγένετο παραίτιος τῆς διαφθορᾶς (= καταστροφῆς) τουτων. 11)=Πολλαὶ κατηγορίαι (παραλαμβ. ἐκ τῶν ἄνωτ.). 12) Διότι. 13) Ἀντέκρουσεν, ἔψεξεν τὸ...ψήφισμα. 14) Κατηγορήθη

Ἀνδρίους καὶ Κορινθίους κατεκρήμνισε, τί εἴη ἄξιος παθεῖν ἀρξάμενος[1] εἰς Ἕλληνας παρανομεῖν, ἀπέσφαξεν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἡ Πάραλος εἰς Πειραιᾶ ἀγγέλλει τὴν καταστροφήν. Ἀπολοφυρμοὶ τῶν Ἀθηναίων, φόβοι καὶ παρασκευαὶ κατ' ἀπειλουμένης πολιορκίας τῶν Ἀθηνῶν, (§ 1 — 5). — Ἀποκλεισμὸς τοῦ Πειραιῶς καὶ θάνατοι ἐκ λιμοῦ. Πολιορκία καὶ παράδοσις τῶν Ἀθηνῶν. Κατεδάφισις τῶν μακρῶν τειχῶν, (§ 6 — 23).

Ἐπεὶ δὲ τὰ ἐν τῇ Λαμψάκῳ κατεστήσατο[2], ἔπλει ἐπὶ τὸ Βυζάντιον καὶ Καλχηδόνα[3]. Οἱ δ'[4] αὐτὸν ὑπεδέχοντο, τοὺς τῶν Ἀθηναίων φρουροὺς ὑποσπόνδους[5] ἀφέντες. Οἱ δὲ προδόντες[6] Ἀλκιβιάδῃ τὸ Βυζάντιον τότε μὲν ἔφυγον εἰς τὸν Πόντον, ὕστερον δ' εἰς Ἀθήνας καὶ ἐγένοντο Ἀθηναῖοι[7]. Λύσανδρος δὲ τούς τε 2
φρουροὺς τῶν Ἀθηναίων καὶ εἴ τινά που ἄλλον ἴδοι Ἀθηναῖον, ἀπέπεμπεν εἰς τὰς Ἀθήνας, διδοὺς ἐκεῖσε[8] μόνον πλέουσιν[9] ἀσφάλειαν, ἄλλοσε δ' οὔ[10], εἰδὼς

---

[1]) Ἀφοῦ πρῶτος ἤρχισε νὰ παρανομῇ. [2]) Ἐτακτοποίησεν, ἔβαλεν εἰς τάξιν, δηλ. διώρισεν ἁρμοστὴν καὶ διερρύθμισε τὴν διοίκησιν. Κατωτέρω λέγει: κατεσκεύαστο. [3]) Τὸ νῦν Κατίκιοϊ. [4]) Οἱ δέ· σχῆμα κατὰ σύνεσιν, διότι ἀναφέρεται εἰς τὸ Βυζ. καὶ Καλχ., ἤτοι οἱ κάτοικοι αὐτῶν. [5]) = ὑπὸ σπονδάς, ὑπὸ συνθήκας. [6]) Ἤτοι οἱ Κώδων, Ἀνεξικράτης, Ἀρίστων, Λυκοῦργος καὶ Ἀνεξίλαος, περὶ ὧν γίνεται μνεία ἐν βιβλ. Δ'., γ'., 18. [7]) Ἐγένοντο πολῖται Ἀθηναῖοι. [8]) Εἰς Ἀθήνας. [9]) Ὑποθ. μετ. εἰ πλέουσι. [10]) Ἡ πρότασις συμπληρ. ὡς ἑξῆς: Οὐ διδοὺς δ' ἀσφάλειαν αὐτοῖς πλέουσιν (= εἰ πλέουσιν) ἄλλοσε.

ὅτι[1] ὅσῳ ἂν πλείους συλλεγῶσιν εἰς τὸ ἄστυ καὶ τὸν Πειραιᾶ, θᾶττον τῶν ἐπιτηδείων ἔνδειαν ἔσεσθαι. Καταλιπὼν δὲ Βυζαντίου καὶ Καλχηδόνος Σθενέλαον ἁρμοστὴν Λάκωνα, αὐτὸς ἀποπλεύσας εἰς Λάμψακον τὰς ναῦς ἐπεσκεύαζεν.

3 Ἐν δὲ ταῖς Ἀθήναις τῆς Παράλου ἀφικομένης νυ-
κτὸς ἐλέγετο ἡ συμφορά, καὶ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς
διὰ τῶν μακρῶν τειχῶν[2] εἰς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ
ἑτέρῳ παραγγέλλων[3]· ὥστ' ἐκείνης τῆς νυκτὸς οὐδεὶς
ἐκοιμήθη, οὐ μόνον τοὺς ἀπολωλότας πενθοῦντες[4],
ἀλλὰ πολὺ μᾶλλον ἔτι αὐτοὶ ἑαυτοὺς[5], πείσεσθαι[6] νο-
μίζοντες οἷα ἐποίησαν[7] Μηλίους τε Λακεδαιμονίων
ἀποίκους ὄντας, κρατήσαντες πολιορκίᾳ, καὶ Ἱστιαιέας[8]
καὶ Σκιωναίους καὶ Τορωναίους[9] καὶ Αἰγινήτας[10] καὶ
4 ἄλλους πολλοὺς τῶν Ἑλλήνων. Τῇ δ' ὑστεραίᾳ ἐκκλη-

---

1) Ὅτι...ἔσεσθαι. Τὸ ὅτι ἐντθ. μετ' ἀπαρεμφ., διότι παρεντίθεται ἡ πρότασις: ὅσῳ ἂν πλείους κτλ. 2) Μακρὰ τείχη ἦσαν δύο τείχη μεγάλα ἀπὸ τοῦ Πειραιῶς μέχρι τῶν Ἀθηνῶν. 3) Ὀνομαστ. ἀπόλυτος ἀντὶ γενικ. 4) Σχῆμα κατὰ σύνεσιν διότι προσδιορίζ. τὸ οὐδεὶς ἐκοιμήθη = πάντες οὐκ ἐκοιμήθησαν. 5) Ἐνν. πενθοῦντες. 6) Μέλ. τοῦ πάσχω. 7) Οἱ Ἀθην. τῷ 415 π. Χ. καθὰ ἱστορεῖ ὁ Θουκυδ., «ἀπέκτειναν Μηλίων ὅσους ἡβῶντας ἔλαβον, παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν». 8) Τοὺς κατοίκους τῆς ἐν Εὐβοίᾳ πόλεως Ἱστιαίας, οὓς ἐξεδίωξαν τῆς πόλεώς των τῷ 445 π. Χ., στρατηγοῦντος Περικλέους. 9) Οἱ Ἀθην. ἐποίησαν τὰ αὐτά, οἷα εἰς τοὺς Μηλίους, καὶ κατὰ τῶν κατοίκων τῆς Σκιώνης καὶ Τορώνης ἐπὶ τῆς Χαλκιδ. Χερσονήσου. 10) Τοὺς Αἰγινήτας, οἱ Ἀθην. φοβούμενοι μὴ ἑνωθῶσι μετὰ τῶν Πελοπον. ἐξεδίωξαν τῆς νήσου των τῷ 431 ἀποστείλαντες αὐτοὶ οἰκήτορας ἐν αὐτῇ· οἱ δὲ Λακεδ. ἔδοσαν αὐτοῖς πρὸς κατοικίαν τὴν εἰς τὰ μεθόρια τῆς Ἀργολίδος καὶ Λακωνικῆς Θυρέαν.

σίαν ἐποίησαν, ἐν ᾗ ἔδοξε τούς τε λιμένας[1] ἀποχῶσαι[2]
πλὴν ἑνὸς καὶ τὰ τείχη εὐτρεπίζειν καὶ φυλακὰς ἐφι-
στάναι καὶ τἄλλα πάντα ὡς εἰς πολιορκίαν παρασκευά-
ζειν τὴν πόλιν. Καὶ οὗτοι μὲν περὶ ταῦτα ἦσαν[3].

Λύσανδρος δ' ἐκ τοῦ Ἑλλησπόντου ναυσὶ διακοσίαις 5
ἀφικόμενος εἰς Λέσβον κατεσκευάσατο[4] τάς τε ἄλλας
πόλεις ἐν αὐτῇ καὶ Μυτιλήνην· εἰς δὲ τἀπὶ Θρᾴκης
χωρία ἔπεμψε δέκα τριήρεις ἔχοντα Ἐτεόνικον, ὃς τὰ
ἐκεῖ πάντα πρὸς Λακεδαιμονίους μετέστησεν[5]. Εὐθὺς 6
δὲ καὶ ἡ ἄλλη[6] Ἑλλὰς ἀφειστήκει Ἀθηναίων μετὰ τὴν
ναυμαχίαν πλὴν Σαμίων· οὗτοι δὲ σφαγὰς τῶν γνωρί-
μων[7] ποιήσαντες κατεῖχον τὴν πόλιν. Λύσανδρος δὲ 7
μετὰ ταῦτα ἔπεμψε πρὸς Ἆγίν τε εἰς Δεκέλειαν καὶ εἰς
Λακεδαίμονα[8] ὅτι προσπλεῖ σὺν διακοσίοις ναυσί. Λα-
κεδαιμόνιοι δ' ἐξῆσαν πανδημεὶ[9] καὶ οἱ ἄλλοι Πελοπον-
νήσιοι πλὴν Ἀργείων, παραγγείλαντος τοῦ ἑτέρου[10] Λα-
κεδαιμονίων βασιλέως Παυσανίου. Ἐπεὶ δ' ἅπαντες ἠθροί- 8
σθησαν, ἀναλαβὼν[11] αὐτοὺς πρὸς τὴν πόλιν ἐστρατοπέ-

---

[1]) Τοὺς πέντε λιμένας τῶν Ἀθηνῶν, ἤτοι τὴν Μουνυχίαν τὴν Ζέαν, τὸ Φάληρον, τὸν ἐμπορικὸν Πειραιᾶ καὶ τὸν πολεμικὸν Κάνθαρον. [2]) Νὰ φράξωσι μὲ χῶμα τὰ στόμια τῶν λιμένων πρὸς παρεμπόδισιν τοῦ εἴσπλου τῶν ἐχθρικῶν πλοίων. [3]) = Εἰς ταῦτα ἐνησχολοῦντο. [4]) Διώρισε τουτέστιν ἁρμοστὴν καὶ μετέβαλεν εἰς ὀλιγαρχικὸν τὸ πολίτευμα. Ἴδε ἀνωτ. ἐν σελ. 43 σημ. 2. [5]) Ὑπήγαγε πρὸς τὸ μέρος τῶν Λακεδαιμον. [6]) Ἡ ἄλλη Ἑλλὰς = τὰ ἐπίλοιπα μέρη τῆς Ἑλλάδος τὰ ὑπήκοα τοῖς Ἀθην. [7]) Τῶν γνωρίμων (γεν. ἀντικμ. τοῦ σφαγὰς ποιήσαντες = σφάξαντες) = τῶν ἀριστοκρατικῶν. [8]) Ἐνν. ἀγγέλους λέγοντας, ὅτι προσπλεῖ κτλ. [9]) Πανστρατιᾷ. [10]) Διότι οἱ Λακεδ. εἶχον δύο βασιλεῖς. [11]) = Λαβὼν αὐτοὺς μεθ' ἑαυτοῦ.

δευσεν ἐν τῇ Ἀκαδημείᾳ[1] [τῷ καλουμένῳ γυμνασίῳ].
9 Λύσανδρος δὲ ἀφικόμενος εἰς Αἴγιναν ἀπέδωκε τὴν πόλιν Αἰγινήταις, ὅσους[2] ἐδύνατο πλείστους αὐτῶν ἀθροίσας, ὡς δ' αὔτως[3] καὶ Μηλίοις καὶ τοῖς ἄλλοις ὅσοι τῆς αὐτῶν[4] ἐστέροντο. Μετὰ δὲ τοῦτο δῃώσας Σαλαμῖνα ὡρμίσατο πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατόν, καὶ τὰ πλοῖα[5] εἶργε τοῦ εἴσπλου.

10 Οἱ δ' Ἀθηναῖοι πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν ἠπόρουν τί χρῆ ποιεῖν, οὔτε νεῶν οὔτε συμμάχων αὐτοῖς ὄντων οὔτε σίτου[6]· ἐνόμιζον δὲ οὐδεμίαν εἶναι σωτηρίαν μὴ παθεῖν ἃ οὐ τιμωρούμενοι[7] ἐποίησαν ἀλλὰ διὰ τὴν ὕβριν[8] ἠδίκουν ἀνθρώπους μικροπολίτας[9] οὐδ' ἐπὶ μιᾷ[10] αἰτίᾳ ἑτέρᾳ ἢ ὅτι ἐκείνοις συνεμάχουν.
11 Διὰ ταῦτα τοὺς ἀτίμους ἐπιτίμους[11] ποιήσαντες ἐκαρτέρουν[12], καὶ ἀποθνησκότων ἐν τῇ πόλει λιμῷ πολλῶν οὐ διελέγοντο περὶ διαλλαγῆς. Ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπελελοίπει, ἔπεμψαν πρέσβεις παρ' Ἆγιν, βουλόμενοι[13] σύμμαχοι εἶναι Λακεδαιμονίοις ἔχοντες[14]

---

[1]) Ἡ Ἀκαδήμεια ἦν περίφημον γυμνάσιον ἐπὶ γραφικωτάτου καὶ καταφύτου τόπου, ἔξω τῶν Ἀθηνῶν πρὸς βορρᾶν, ἐν ᾧ ἐδίδασκεν ὁ Πλάτων, οὗ ἡ σχολὴ ὠνομάσθη ἐντεῦθεν Ἀκαδημαϊκή. [2]) Τὸ ὅσους (ἀντὶ τοῦ ὡς) ἐπιτατικὸν τοῦ πλείστους. [3]) Ὡς δ' αὔτως = ὡσαύτως δέ. [4]) Ἐνν. πόλεως, χώρας. [5]) Τὰ σιταγωγικά. [6]) Τροφῶν. [7]) = Ἐκδικούμενοι διὰ γενομένην αὐτοῖς ἀδικίαν. [8]) Ἀλλ' ἐξ ὑπεροψίας. [9]) Μικροπολίτας = μικρῶν πόλεων κατοίκους, ὡς τοὺς νησιώτας. [10]) Οὐδ' ἐπὶ μιᾷ ἑτέρᾳ = Ἐπ' οὐδεμιᾷ ἑτέρᾳ. [11]) Ἄτιμος (ἐκ τοῦ ἀτιμόω-ῶ) = ὁ στερηθεὶς τῶν πολιτικῶν δικαιωμ. κατ' ἀντίθεσιν πρὸς τὸ ἐπίτιμος = ὁ ἀνακτήσας τὰ πολιτικὰ δικαιώματα. [12]) Ἀνθίστατο μὲ ἐγκαρτέρησιν. [13]) Βουλόμενοι· κανονικώτερον θὰ ἦτο οὕτως = ἐροῦντας ὅτι βούλονται συμμάχους εἶναι, (ὅτι δηλ. ἀναγνωρίζουσι τὴν Ἡγεμονίαν τῆς Σπάρτης. [14]) = Ἐπὶ τῷ ὅρῳ

τὰ τείχη καὶ τὸν Πειραιᾶ, καὶ ἐπὶ τούτοις συνθήκας 12
ποιεῖσθαι. Ὁ δ' αὐτοὺς εἰς Λακεδαίμονα ἐκέλευεν ἰέναι·
οὐ γὰρ εἶναι[1] κύριος αὐτός. Ἐπεὶ δ' ἀπήγγειλαν οἱ πρέ-
σβεις ταῦτα τοῖς Ἀθηναίοις, ἔπεμψαν αὐτοὺς εἰς Λακε-
δαίμονα. Οἱ δ' ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ [πλησίον] τῆς 13
Λακωνικῆς καὶ ἐπύθοντο οἱ ἔφοροι[2] αὐτῶν[3] ἃ ἔλεγον,
ὄντα οἷάπερ καὶ πρὸς Ἆγιν, αὐτόθεν[4] αὐτοὺς ἐκέ-
λευον ἀπιέναι, καὶ εἴ τι[5] δέονται εἰρήνης, κάλλιον
ἥκειν βουλευσαμένους[6]. Οἱ δὲ πρέσβεις ἐπεὶ ἧκον οἴ- 14
καδε καὶ ἀπήγγειλαν ταῦτα εἰς τὴν πόλιν, ἀθυμία ἐνέ-
πεσε πᾶσιν· ᾤοντο γὰρ ἀνδραποδισθήσεσθαι, καὶ ἕως
ἂν πέμπωσιν ἑτέρους πρέσβεις, πολλοὺς τῷ λιμῷ ἀπο-
λεῖσθαι[7]. Περὶ δὲ τῶν τειχῶν τῆς καθαιρέσεως[8] οὐ- 15
δεὶς ἐβούλετο συμβουλεύειν· Ἀρχέστρατος γὰρ εἰπὼν
ἐν τῇ βουλῇ Λακεδαιμονίοις κράτιστον εἶναι ἐφ' οἷς
προυκαλοῦντο εἰρήνην ποιεῖσθαι[9], ἐδέθη[10]· προυκαλοῦντο
δὲ τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους[11] καθελεῖν ἑκα-
τέρου· ἐγένετο δὲ ψήφισμα μὴ ἐξεῖναι περὶ τούτων συμ-

νὰ ἔχωσι (= νὰ διαφυλλάττωσι). [1]) Ἐξαρτᾶται ἐκ τοῦ ἐκέλευεν. [2]) Ἐν Σπάρτῃ ἦσαν πέντε ἔφοροι, ἀντιπρόσωποι τοῦ λαοῦ, ἀσκοῦντες μείζονα ἐξουσίαν τῆς τῶν βασιλέων. [3]) Ἐπύθοντο αὐτῶν (τῶν πρέσβεων). [4]) Χρον. = εὐθύς. [5]) Εἴ τι = ἐὰν κατά τι. [6]) Ἥκειν (ἐκέλευον) βουλευσαμένους (χρον. ἀφοῦ συσκεφθῶσι) κάλλιον. Διότι οἱ Λακεδ. ἠξίουν νὰ κρημνίσωσιν οἱ Ἀθην. τὰ μακρὰ τείχη. [7]) Μέλ. ἀπολέσεσθαι - έεσθαι - εῖσθαι, τοῦ ἀπόλλυμι. [8]) Περὶ τῆς κρημνίσεως τῶν τειχῶν. [9]) Σύνταξαι ὁμαλώτερον οὕτω: Εἰπὼν ἐν τῇ βουλῇ κράτιστον εἶναι ποιεῖσθαι εἰρήνην Λακεδ. ἐφ' οἷς (ὑπὸ τοὺς ὅρους, τοὺς ὁποίους) προυκαλοῦντο (= ἐπρότεινον). [10]) Ἐφυλακίσθη δέσμιος. [11]) Εἰς μῆκος δέκα σταδίων. Τὰ τείχη εἶχον ἔκτασιν 40 σταδίων.

16 βουλεύειν. Τοιούτων δὲ ὄντων[1] Θηραμένης εἶπεν ἐν
ἐκκλησίᾳ ὅτι εἰ βούλονται αὐτὸν πέμψαι παρὰ Λύσαν-
δρον, εἰδὼς ἥξει[2] Λακεδαιμονίους πότερον ἐξανδραπο-
δίσασθαι τὴν πόλιν βουλόμενοι ἀντέχουσι περὶ τῶν τει-
χῶν ἢ πίστεως ἕνεκα. Πεμφθεὶς δὲ διέτριβε παρὰ Λυ-
σάνδρῳ τρεῖς μῆνας καὶ πλέον, ἐπιτηρῶν[3] ὁπότε Ἀθη-
ναῖοι ἔμελλον διὰ τὸ ἐπιλελοιπέναι τὸν σῖτον ἅπαντα
17 ὅ,τι τις λέγοι[4] ὁμολογήσειν. Ἐπεὶ δὲ ἧκε τετάρτῳ μηνί,
ἀπήγγειλεν ἐν ἐκκλησίᾳ ὅτι αὐτὸν Λύσανδρος τέως[5]
μὲν κατέχοι, εἶτα κελεύοι εἰς Λακεδαίμονα ἰέναι· οὐ
γὰρ εἶναι[6] κύριος ὧν ἐρωτῷτο[7] ὑπ' αὐτοῦ, ἀλλὰ τοὺς
ἐφόρους[8]. Μετὰ ταῦτα ᾑρέθη πρεσβευτὴς[9] εἰς Λακε-
18 δαίμονα αὐτοκράτωρ[10] δέκατος αὐτός[11]. Λύσανδρος δὲ
τοῖς ἐφόροις ἔπεμψεν ἀγγελοῦντα μετ' ἄλλων Λακε-
δαιμονίων Ἀριστοτέλη, φυγάδα[12] Ἀθηναῖον ὄντα, ὅτι
ἀποκρίναιτο[13] Θηραμένει ἐκείνους[14] κυρίους εἶναι εἰρή-
19 νης καὶ πολέμου. Θηραμένης δὲ καὶ ἄλλοι πρέσβεις ἐπεὶ
ἦσαν ἐν Σελλασίᾳ, ἐρωτώμενοι δὲ ἐπὶ τίνι λόγῳ ἥκοιεν

---

1) Ἐνν. τὸ πραγμάτων. 2) Ἡ σύντξ: ἥξει εἰδὼς πότερον Λακεδ. ἀντέχουσι (= ἐπιμένουσι) περὶ (ἐνν. τῆς καθαιρέσεως) τῶν τειχῶν βουλόμενοι ἐξανδραποδίσασθαι τὴν πόλιν ἢ ἕνεκα πίστεως (= ἀσφαλείας, δηλ. μὴ ἀπιστήσωσιν οἱ Ἀθην. καὶ ἐπαναστατήσωσι). 3) Ἀναμένων τὸν καιρὸν ὅτε... 4) Ὅ,τι τις τοῖς ἤθελε προτείνει. 5) Ἕως τότε. 6) Ἔφη. 7) Ὧν ἐρωτῷτο ὑπ' αὐτοῦ (τοῦ Θηραμ.) καθ' ἕλξιν ἀντὶ τούτων, ἅ. 8) Ἐνν. εἶναι κυρίους. 9) Βραχυλ. ἰέναι εἰς Λακεδ. 10) Ἐντελῶς ἐξουσιοδοτημένος. 11) Μετ' ἄλλων ἐννέα, ὧν αὐτὸς ἦτο ὁ προεξάρχων. Ἡ ἀντωνυμ. αὐτὸς ἔχει διασταλτικὴν ἔννοιαν διότι τίθεται μετὰ τοῦ τακτ. ἀριθμητικοῦ δέκατος. 12) Ἐξόριστον. 13) Τὸ ὅτι μετ' εὐκτ. καθὸ ἐξαρτώμενον ἐκ ῥήμ. χρόνου παρῳχημ. τοῦ ἔπεμψεν ἀγγελοῦντα. 14) Τοὺς ἐφόρους.

εἶπον ὅτι[1] αὐτοκράτορες περὶ εἰρήνης, μετὰ ταῦτα οἱ ἔφοροι καλεῖν[2] ἐκέλευον αὐτούς. Ἐπεὶ δ' ἧκον[3], ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἀντέλεγον[4] Κορίνθιοι καὶ Θηβαῖοι μάλιστα, πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλήνων, μὴ σπένδεσθαι Ἀθηναίοις, ἀλλ' ἐξαιρεῖν[5]. Λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν[6] πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις κινδύνοις[7] γενομένοις[8] τῇ Ἑλλάδι, ἀλλ' ἐποιοῦντο εἰρήνην[9] ἐφ' ᾧ[10] τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας καὶ τοὺς φυγάδας καθέντας[11] τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας[12] Λακεδαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὅποι ἂν ἡγῶνται[13]. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις ἐπανέφερον ταῦτα εἰς τὰς Ἀθήνας. Εἰσιόντας δ' αὐτοὺς ὄχλος περιεχεῖτο[14] πολύς, φοβούμενοι[15] μὴ ἄπρακτοι[16] ἥκοιεν[17]· οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν[18] διὰ τὸ πλῆθος

---

[1]) Ἐνν. ἥκοιεν. [2]) Καλεῖν εἰς Σπάρτην. [3]) Εἰς Σπάρτην. [4]) = Ἀντέτεινον λέγοντες. [5]) Τὰς Ἀθήνας (ἔξυπον. ἐκ τοῦ Ἀθηναίοις). Ἐξαιρεῖν = ἐξολοθρεῦσαι, καταστρέψαι. [6]) Εἶπον ὅτι δὲν θὰ ἐξανδραποδίσωσι κτλ. [7]) Ἐννοεῖ τὴν ἐποχὴν τῶν Περσικῶν πολέμων. [8]) Ἀντὶ: τοῖς γενομένοις. Παρελείφθη τὸ ἄρθρον διότι ἡ μετοχ. ἐτέθη μετὰ τὸ οὐσιαστ. κινδύνους. [9]) Βουλητ. ἐνεστὼς = ἐβούλοντο ποιήσασθαι εἰρήνην. [10]) Ἐπὶ τῷ ὅρῳ. [11]) Τοὺς φυγάδας καθέντας (καθίημι) = ἐπιτρέψαντας κατελθεῖν (εἰς τὰς πατρίδας των) τοὺς ἐξορίστους. [12]) Νομίζοντας τὸν αὐτὸν ἐχθρὸν καὶ φῖλον, φράσις συνήθης εἰς τὰς συνθήκας, δηλ. = νὰ ποιήσωνται συμμαχίαν. [13]) Ἕπεσθαι...ὅποι ἂν ἡγῶνται = νὰ τοὺς ἀκολουθῶσιν ὅπου ἤθελον τοὺς ὁδηγήσει, δηλ. νὰ ἀναγνωρίσωσι τοὺς Λακεδ. ὡς ἡγεμόνας τῆς Ἑλλάδος. [14]) Ἐχεῖτο περὶ αὐτοὺς = περιεκύκλωνε. [15]) Τὸ ὄχλος (καθὸ περιληπτ.) ὑποκμ. τοῦ φοβούμενος. [16]) Ἄπρακτοι (ἐν τῇ ἐνεργητ. σημασ.) = μηδὲν πράξαντες. [17]) Ἐνν. οἱ πρέσβεις. [18]) Οὐκ ἐνεχώρει

22 τῶν ἀπολλυμένων τῷ λιμῷ. Τῇ δὲ ὑστεραίᾳ ἀπήγγελλον
οἱ πρέσβεις ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρή-
νην· προηγόρει[1] δὲ αὐτῶν Θηραμένης, λέγων ὡς χρὴ
πείθεσθαι Λακεδαιμονίοις καὶ τὰ τείχη περιαιρεῖν. Ἀντ-
ειπόντων δέ τινων αὐτῷ, πολὺ δὲ πλειόνων συνεπαινεσάν-
23 των[2], ἔδοξε[3] δέχεσθαι τὴν εἰρήνην. Μετὰ δὲ ταῦτα
Λύσανδρός τε κατέπλει[4] εἰς τὸν Πειραιᾶ καὶ οἱ φυγά-
δες κατῇσαν[5] καὶ τὰ τείχη κατέσκαπτον[6] ὑπ' αὐλη-
τρίδων[7] πολλῇ προθυμίᾳ, νομίζοντες ἐκείνην τὴν ἡμέ-
ραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας[8].

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐκλογὴ τῶν τριάκοντα καὶ τυραννικαὶ αὐτῶν προδιαθέσεις, (§ 1—13).—Ἀποστολὴ φρουρᾶς Λακεδαιμονίων ἐν Ἀκροπόλει ὑπὸ τὸν ἁρμοστὴν Καλλίβιον. Ἐγγραφὴ τρισχιλίων πολιτῶν, ὡς κοινωνῶν τῆς πολιτείας, ἀφοπλισμὸς καὶ προγραφὴ τῶν ἐκτὸς τοῦ καταλόγου. Διαμαρτυρίαι Θηραμένους καὶ διαφωνία πρὸς Κριτίαν καὶ τοὺς λοιποὺς τῶν 30, (§ 13—24). — Κατηγορητήριον Κριτίου καὶ ἀπολογία Θηραμένους ἐν τῇ βουλῇ, (§ 24—30).—Θάνατος Θηραμένους, (§ 30—56).

Τῷ δ' ἐπιόντι ἔτει[9] [ᾧ ἦν Ὀλυμπιὰς[10], ᾗ τὸ στάδιον ἐνίκα[11] Κροκίνας Θετταλός, Ἐνδίου ἐν Σπάρτῃ

(αὐτοῖς) μέλλειν = δὲν τοῖς ἐπέτρεπεν ὁ καιρὸς νὰ ἀργοπορῶσι. [1]) Ὡμίλει ἐν ὀνόματι ὅλων. [2]) Ἐπιδοκιμασάντων. [3]) Τῇ ἐκκλησίᾳ τοῦ δήμου. [4]) Ἐκ Σάμου, κατ' Ἀπρίλιον τοῦ 404 π. Χ. = τῇ 16ῃ Μουνυχιῶνος. [5]) Κατῇσαν (παρτ. κατὰ — εἶμι) = κατήρχοντο. [6]) Ὑποκμ. οἱ Λακεδ. [7]) Ὑπ' αὐλητρίδων (ἡ ὑπὸ μετὰ γεν. σημ. συνοδίαν) = ἐνῷ ηὔλουν αὐλητρίδες. [8]) Εἶνε ἀρχὴ τῆς ἐλευθερίας διὰ τὴν Ἑλλάδα (καθότι οἱ Ἀθην. ἐφέροντο τυραννικῶς πρὸς τοὺς συμμάχους). [9]) Τῷ 404 π. Χ. [10]) Καθ' ὅ, δηλ., ἤρχιζε νέα Ὀλυμπιάς, ἤτοι ἡ 94η. Ἡ Ὀλυμπιὰς διήρκει 4 ἔτη, καθ' ἕκαστον δὲ πρῶτον ἔτος αὐτῆς ἐτελοῦντο τὰ Ὀλύμπια, ἤτοι οἱ ἐν Ὀλυμπίᾳ τῆς Ἤλιδος γυμνικοὶ ἀγῶνες. [11]) Ἐνί-

ἐφορεύοντος, Πυθοδώρου δ' ἐν 'Αθήναις ἄρχοντος, ὃν
'Αθηναῖοι, ὅτι ἐν ὀλιγαρχίᾳ ἡρέθη [1], οὐκ ὀνομάζουσιν [2],
ἀλλ' ἀναρχίαν [3] τὸν ἐνιαυτὸν καλοῦσιν. 'Εγένετο δὲ
αὕτη ἡ ὀλιγαρχία ὧδε.] Ἔδοξε τῷ δήμῳ τριάκοντα ἄν- 2
δρας ἑλέσθαι, οἳ τοὺς πατρίους νόμους συγγράψουσι [4],
καθ' οὓς πολιτεύσουσι. Καὶ ἡρέθησαν οἵδε, Πολυχάρης,
Κριτίας, Μηλόβιος, Ἱππόλοχος, Εὐκλείδης, Ἱέρων,
Μνησίλοχος, Χρέμων, Θηραμένης, 'Αρεσίας, Διοκλῆς,
Φαιδρίας, Χαιρέλεως, 'Αναίτιος, Πείσων, Σοφοκλῆς,
'Ερατοσθένης, Χαρικλῆς, 'Ονομακλῆς, Θέογνις, Αἰ-
σχίνης, Θεογένης, Κλεομήδης, 'Ερασίστρατος, Φεί-
δων, Δρακοντίδης, Εὐμάθης, 'Αριστοτέλης, Ἱππόμαχος,
Μνησιθείδης. Τούτων δὲ πραχθέντων ἀπέπλει Λύσαν-
δρος πρὸς Σάμον, Ἆγις δ' ἐκ τῆς Δεκελείας ἀπαγαγὼν
τὸ πεζὸν στράτευμα διέλυσε κατὰ πόλεις [5] ἑκάστους.

Οἱ δὲ τριάκοντα ἡρέθησαν [6] μὲν ἐπεὶ τάχιστα [7] τὰ 11
μακρὰ τείχη καὶ τὰ περὶ τὸν Πειραιᾶ καθῃρέθη· αἱρε-
θέντες δ' ἐφ' ᾧτε [8] συγγράψαι νόμους, καθ' οὕστινας πο-
λιτεύσοιντο, τούτους μὲν ἀεὶ ἔμελλον [9] συγγράφειν τε
καὶ ἀποδεικνύναι [10], βουλὴν δὲ καὶ τὰς ἄλλας ἀρχὰς κα-

κα τὸ στάδιον = ἐνίκα νίκην σταδίου (τρεξίματος δρόμου). [1]) = Διότι ἐξελέγη ἐν καιρῷ τῆς ὀλιγαρχ. τῶν 30. [2]) Δηλ. δὲν ἀναφέρουσι τὸ ἔτος μὲ τὸ ὄνομά του. [3]) Ἄνευ ἄρχοντος. [4]) Οἵ... συγγράψουσι (οἵτινες νὰ συγγράψωσι) εἰδ. κῶλον ἀντὶ τελικοῦ. [5]) Ἡ κατὰ σημ. διανομὴν = ἑκάστους (τῶν συμμάχων) εἰς τὰς πόλεις των. [6]) Ἡρέθησαν = ἐξελέγησαν· τὸ ἐνεργ. Εἵλοντο = ἐξέλεξαν. [7]) = Τάχιστα ἐπεὶ... καθῃρέθη. Τὸ ἐπεὶ μετὰ τοῦ τάχιστα σημ. εὐθὺς ἀφοῦ, εὐθὺς καθώς. [8]) 'Επὶ τῷ ὅρῳ (ἐπὶ τῷ σκοπῷ, ἵνα συντάξωσι. [9]) 'Ανέβαλλον, ἐβράδυνον νὰ τοὺς συντάξ. [10]) Καὶ νὰ τοὺς δημοσιεύσωσιν.

12 έστησαν ώς έδόκει αύτοΐς[1]. Έπειτα πρώτον μέν ούς
πάντες ήδεσαν[2] έν τη δημοκρατία[3] άπό συκοφαντίας[4]
ζώντας καί τοΐς καλοΐς κάγαθοΐς[5] βαρεΐς[6] όντας,
συλλαμβάνοντες ύπήγον θανάτου[7]· καί ή τε βουλή ήδέως[8]
αύτών κατεψηφίζετο[9] οί τε άλλοι όσοι συνήδεσαν
13 έαυτοΐς μή όντες[10] τοιοΰτοι ούδέν[11] ήχθοντο. Έπεί δέ
ήρξαντο βουλεύεσθαι όπως άν έξείη[12] αύτοΐς τη πόλει
χρήσθαι όπως βούλοιντο, έκ τούτου[13] πρώτον μέν πέμ-
ψαντες είς Λακεδαίμονα Αίσχίνην τε καί Άριστοτέλη[14]
έπεισαν Λύσανδρον φρουρούς σφίσι[15] συμπράξαι έλθεΐν,
έως δή[16] τούς πονηρούς[17] έκποδών[18] ποιησάμενοι κατα-
στήσαιντο[19] τήν πολιτείαν· θρέψειν[20] δέ αύτοί ύπισ-
14 χνοΰντο. Ό δέ πεισθείς τούς τε φρουρούς καί Καλλί-
βιον άρμοστήν συνέπραξεν αύτοΐς πεμφθήναι. Οί δ' έπεί

---

[1]) Όπως τοΐς έφαίνετο καλόν, συμφέρον. [2]) Ύπερσυντ. άντί παρατ. τοΰ οϊδα. [3]) Έν καιρώ τής δημοκρ. [4]) Ή άπό σημ. τό μέσον, δι' ού. [5]) = Άριστοκρατικοΐς. [6]) = Έπαχθεΐς, κακοποιούς. [7]) Ύπήγον (ένν. είς δίκην) θανάτου = κατήγγελον ώς άξίους τής ποινής τοΰ θανάτου. [8]) Εύχαρίστως, προθύμως. [9]) Τούς κατεδίκαζεν είς θάνατ. [10]) Κατηγορημ. μετοχή τοΰ συνήδεσαν (ώς γνώσεως σημαντικοΰ). Όντες ετέθη κατ' όνομαστ. ώς προσδιορισμός τοΰ ύποκμ. όσοι, ήδύνατο όμως νά άφομοιωθή καί πρός τήν πτώσιν τοΰ ύποκμ. έαυτοΐς, (μή ούσιν τοιούτοις). [11]) Ούδέν = ούδόλως, έδυσανασχέτουν, έλυποΰντο. [12]) Όπως (= πώς, τροπικόν) άν έξείη, πλαγ. έρώτησις έκ τοΰ βουλεύεσθαι (= έβουλεύοντο) = διά τίνος τρόπου θά τοΐς έπετρέπετο. [13]) Τοΰ χρόνου δηλ., έκτοτε. [14]) Δύο έκ τών 30. [15]) Σφίσιν = αύτοΐς, δηλ. τοΐς 30. [16]) Δή = δήθεν, τάχα. [17]) Ένν. ένταΰθ. = τούς δημοκρατικούς κατ' άντίθεσιν πρός τό άνωθι καλοΐς κάγαθοΐς = άριστοκρ. [18]) Έκποδών έπίρ. = έκ(= έξω) ποδών. [19]) Καταστήσαιντο (μέσ. περιποιητ.) = καταστήσειεν έαυτοΐς (ένν. ώφέλιμον). [20]) Άντικμ. αύτούς, τούς φρουρούς.

τὴν φρουρὰν ἔλαβον, τὸν μὲν Καλλίβιον ἐθεράπευον
πάσῃ θεραπείᾳ, ὡς[1] πάντα ἐπαινοίη ἃ πράττοιεν, τῶν δὲ
φρουρῶν[2] τούτου συμπέμποντος[3] αὐτοῖς οὓς ἐβούλοντο[4]
συνελάμβανον οὐκέτι τοὺς πονηρούς τε καὶ ὀλίγου
ἀξίους, ἀλλ' ἤδη οὓς ἐνόμιζον ἥκιστα μὲν παρωθουμέ-
νους[5] ἀνέχεσθαι, ἀντιπράττειν δέ τι[6] ἐπιχειροῦντας[7] 15
πλείστους ἂν τοὺς συνεθέλοντας λαμβάνειν. Τῷ μὲν οὖν
πρώτῳ χρόνῳ ὁ Κριτίας τῷ Θηραμένει ὁμογνώμων τε
καὶ φίλος ἦν· ἐπεὶ[8] δὲ αὐτὸς μὲν προπετὴς[9] ἦν ἐπὶ τὸ
πολλοὺς ἀποκτείνειν, ἅτε καὶ φυγὼν[10] ὑπὸ τοῦ δήμου,
ὁ δὲ Θηραμένης ἀντέκοπτε[11], λέγων ὅτι οὐκ εἰκὸς εἴη
θανατοῦν, εἴ τις[12] ἐτιμᾶτο ὑπὸ τοῦ δήμου, τοὺς δὲ κα-
λοὺς κἀγαθοὺς μηδὲν κακὸν εἰργάζετο, ἐπεὶ καὶ ἐγὼ,
ἔφη[13], καὶ σὺ πολλὰ δὴ[14] τοῦ ἀρέσκειν ἕνεκα τῇ πόλει
καὶ εἴπομεν καὶ ἐπράξαμεν· ὁ δὲ[15], ἔτι γὰρ οἰκείως 16
ἐχρῆτο τῷ Θηραμένει, ἀντέλεγεν ὅτι οὐκ ἐγχωροίη τοῖς
πλεονεκτεῖν[16] βουλομένοις μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς
ἱκανωτάτους διακωλύειν· εἰ δὲ, ὅτι[17] τριάκοντά ἐσμεν

---

1) Ὡς (τελ.) = ἵνα. 2) = Ἐκείνους δὲ τῶν φρουρῶν οὓς κτλ. 3) Τοῦ Καλλιβίου. 4) Οἱ 30. 5) Ὑποθετ. μετχ. = εἰ παρωθοῖντο (ἐὰν περιεφρονοῦντο) ἥκιστ' ἂν ἀνέχεσθαι (οὐδόλως ἤθελον τὸ ὑπομένει). 6) Τι (σύστ. ἀντικμ.) = ἀντίπραξίν τινα. 7) Ὑποθ. μετχ. = εἰ δ' ἐπιχειροῖεν...λαμβάνειν ἄν. 8) Τὸ ἐπεὶ ἀνανταπόδοτον, ἐλλειπούσης τῆς κυρίας προτάσεως. 9) = Ὁ ἔχων κλίσιν, πρόθυμος. 10) Ἐξορισθείς. Τὸ φυγὼν εἶνε αἰτιολογ. μετοχή, ἧς ἡ αἰτία, καθὸ πραγματικὴ (αἰτία ἐξ ἀντικειμένου), ἐπιτείνεται διὰ τοῦ μορίου ἅτε. 11) Ἀντέκρουεν αὐτόν. 12) Εἴ τις = ὅστις, (πάντας, ὅσους). 13) Ἐπεὶ καὶ ἐγώ, ἔφη. Ἐνταῦθα ὁ λόγος τρέπεται εἰς ὀρθόν. 14) Βεβαίως, ὡς γνωστόν. 15) Κριτίας. 16) Ὅτι δὲν ἐπιτρέπεται (ἐγχωροίη) τοῖς πλεονεκτεῖν (πλέον — ἔχειν = ὑπερτερεῖν τῶν ἄλλων) βουλομένοις κτλ. 17) Διότι.

καὶ οὐχ εἷς, ἧττόν τι[1] οἴει ὥσπερ τυραννίδος ταύτης
17 τῆς ἀρχῆς χρῆναι ἐπιμελεῖσθαι[2], εὐήθης εἶ. Ἐπεὶ δὲ
ἀποθνησκόντων πολλῶν καὶ ἀδίκως πολλοὶ δῆλοι ἦσαν
συνιστάμενοί τε[3] καὶ θαυμάζοντες τί ἔσοιτο[4] ἡ πολι-
τεία, πάλιν ἔλεγεν ὁ Θηραμένης ὅτι εἰ μή τις κοινωνοὺς
ἱκανοὺς λήψοιτο τῶν πραγμάτων,[5] ἀδύνατον ἔσοιτο τὴν
18 ὀλιγαρχίαν διαμένειν[6]. Ἐκ τούτου μέντοι Κριτίας καὶ
οἱ ἄλλοι τριάκοντα[7], ἤδη φοβούμενοι καὶ οὐχ ἥκιστα[8]
τὸν Θηραμένη, μὴ συρρυείησαν[9] πρὸς αὐτὸν οἱ πολῖ-
ται, καταλέγουσι[10] τρισχιλίους τοὺς μεθέξοντας[11] δὴ
19 τῶν πραγμάτων. Ὁ δ' αὖ Θηραμένης καὶ πρὸς ταῦτα
ἔλεγεν ὅτι ἄτοπον[12] δοκοίη ἑαυτῷ γε[13] εἶναι τὸ πρῶτον
μὲν βουλομένους[14] τοὺς βελτίστους τῶν πολιτῶν κοινω-
νοὺς ποιήσασθαι[15] τρισχιλίους, ὥσπερ τὸν ἀριθμὸν τοῦ-
τον ἔχοντά[16] τινα ἀνάγκην καλοὺς κἀγαθοὺς εἶναι, καὶ

---

1) Ἧττόν τι = κατά τι ὀλιγώτερον παρὰ ἂν ἤμεθα εἷς. 2) Νὰ ἐπιμελώμεθα ταύτης τῆς ἀρχῆς, ὡς νὰ ἦτο τυραννὶς (ἀρχὴ ἑνός). 3) = Συνερχόμενοι εἰς τὸ αὐτὸ μέρος καὶ ἀποροῦντες, θέλοντες νὰ μάθωσι (=θαυμάζοντες). 4) Τί ἔσοιτο = ὅ,τι ἔσοιτο (ἐρώτ. πλαγία). 5) Τῶν πραγμ. τῆς πολιτείας. 6) Νὰ διαρκέσῃ ἐπὶ πολὺ ἡ ὀλιγαρχ. 7) Τὸ τριάκοντα δηλοῖ τὴν ἐξουσίαν καὶ ὄχι τὸν ἀριθμὸν τῶν 30. 8) Οὐχ ἥκιστα (οὐχὶ ἐλάχιστα) = μάλιστα. 9) Ἀόρ. εὐκτ. τοῦ συρρέω. 10) Καταλέγουσι = καταγράφουσιν ἐν καταλόγῳ. 11) = Οἵ μεθέξουσι δὴ (τάχα, δῆθεν). 12) Παράδοξον, ἀδικαιολόγητον. 13) Ὁ γε ἐλαττωτικὸς = τοὐλάχιστον. 14) Ἐναντιωμ. μετχ. = ἐνῷ ἐβούλοντο (οἱ τριάκοντα) τὸ πρῶτον (= κατ' ἀρχὰς) κτλ. 15) Ποιήσασθαι τρισχιλίους: ὑποκμ. τοῦ εἶναι. 16) Αἰτιατκ. ἀπόλ. = ὥσπερ εἰ ὁ ἀριθμὸς οὗτος ἔχει ἀνάγκην (= ἀναγκαῖόν ἐστι)...κτλ. Τὸ ἔχοντα ἀναφ. εἰς τὸ τρισχιλίους διότι τὸ ἀριθμὸν ἔχει περιληπτικὴν σημασίαν.

οὔτ'[1] ἔξω τούτων[2] σπουδαίους[3] οὔτ' ἐντὸς τούτων πονηροὺς οἷόν τε εἴη γενέσθαι· ἔπειτα δ', ἔφη, ὁρῶ[4] ἔγωγε δύο ἡμᾶς τὰ ἐναντιώτατα[5] πράττοντας, βιαίαν τε τὴν ἀρχὴν καὶ ἥττονα[6] τῶν ἀρχομένων κατασκευαζομένους. Ὁ μὲν ταῦτ' ἔλεγεν. Οἱ δ'[7] ἐξέτασιν ποιήσαντες[8] τῶν μὲν τρισχιλίων ἐν τῇ ἀγορᾷ, τῶν δ' ἔξω τοῦ καταλόγου[9] ἄλλων ἀλλαχοῦ, ἔπειτα κελεύσαντες[10] ἐπὶ τὰ ὅπλα, ἐν ᾧ ἐκεῖνοι[11] ἀπεληλύθεσαν πέμψαντες[12] τοὺς φρουροὺς[13] καὶ τῶν πολιτῶν τοὺς ὁμογνώμονας αὐτοῖς τὰ ὅπλα πάντων πλὴν τῶν τρισχιλίων παρείλοντο, καὶ ἀνακομίσαντες[14] ταῦτα εἰς τὴν ἀκρόπολιν συνέθηκαν ἐν τῷ ναῷ. Τούτων δὲ γενομένων, ὡς ἐξὸν[15] ἤδη ποιεῖν αὐτοῖς ὅ,τι βούλοιντο, πολλοὺς μὲν ἔχθρας ἕνεκα ἀπέκτεινον, πολλοὺς δὲ[16] χρημάτων. Ἔδοξε δ' αὐτοῖς, ὅπως ἔχοιεν τοῖς φρουροῖς χρήματα διδόναι, καὶ τῶν μετοίκων ἕνα

---

1) Καὶ (ὡς) οὐκ... εἴη = ὡς νὰ μὴ ἦτο δυνατόν. 2) Ἐνν. τῶν τρισχιλίων. 3) Δηλ. καλοὺς κἀγαθούς. 4) Ὁ λόγος τρέπεται ἐνταῦθα εἰς ὀρθὸν μετ' ἀνεξαρτ. ῥήμ. 5) Τὰ μάλιστα ἀντίθετα μεταξύ των. 6) Ἀσθενεστέραν. 7) Οἱ δὲ 30. 8) Ἐξέτασιν ποιῶ = διατάσσω ἄλλον νὰ κάμῃ ἐξέτασιν, τὸ δὲ ἐξέτασιν ποιοῦμαι = ἐγὼ (αὐτὸς) κάμνω ἐξέτασιν (=ἐπιθεώρησιν). 9) Πάντων τῶν ἄλλων τῶν ἐκτὸς (τοῦ καταλόγου) τῶν τρισχιλίων, διότι ἀνωτέρω ἐν § 18 λέγει ὅτι οἱ 3,000 οὗτοι κατεγράφησαν ἐν καταλόγῳ (καταλέγουσι). 10) Ἐνν. τὸ ἰέναι (ἐπὶ τὰ ὅπλα). Ἀντικμ. τοῦ κελεύσαντες εἶνε τὸ τρισχιλίους. 11) Δηλ. οἱ ἐκτὸς τοῦ καταλόγου. 12) Ὑποκμ. οἱ 30. 13) Δηλ. τοὺς ἐν τῇ Ἀκροπόλει στρατιώτας τῶν Σπαρτιατῶν. 14) Ἀνακομίσαντες...(ἡ ἀνὰ σημ. τὸ ἐπάνω) ἔθηκαν αὐτὰ ὅλα ὁμοῦ εἰς τὸν ναὸν (τῆς Ἀθηνᾶς, εἰς τὸν Παρθενῶνα). 15) Ὡς ἐξὸν...αὐτοῖς = ἐπειδὴ ἐνόμισαν ὅτι τοῖς ἦτο πλέον (ἤδη) ἐπιτετραμμένον 16) Ἐνν. τὸ ἕνεκα = διὰ νὰ (λάβωσι χρήματα).

ἕκαστον[1] λαβεῖν, καὶ αὐτοὺς μὲν ἀποκτεῖναι, τὰ δὲ
22 χρήματα αὐτῶν ἀποσημήνασθαι[2]. Ἐκέλευον δὲ καὶ τὸν Θηραμένη λαβεῖν ὅντινα βούλοιτο. Ὁ δ' ἀπεκρίνατο· Ἀλλ' οὐ δοκεῖ μοι, ἔφη, καλὸν εἶναι φάσκοντας[3] βελτίστους εἶναι ἀδικώτερα τῶν συκοφαντῶν ποιεῖν. Ἐκεῖνοι μὲν γὰρ παρ' ὧν χρήματα λαμβάνοιεν ζῆν εἴων[4], ἡμεῖς δὲ ἀποκτενοῦμεν μηδὲν ἀδικοῦντας[5], ἵνα χρήματα λαμβάνωμεν· πῶς οὖν ταῦτα τῷ παντὶ[6] ἐκείνων
23 ἀδικώτερα; Οἱ δ'[7] ἐμποδὼν νομίζοντες αὐτὸν εἶναι τῷ ποιεῖν ὅ,τι βούλοιντο, ἐπιβουλεύουσιν αὐτῷ, καὶ ἰδίᾳ πρὸς τοὺς βουλευτὰς ἄλλος πρὸς ἄλλον διέβαλλον ὡς λυμαινόμενον[8] τὴν πολιτείαν. Καὶ παραγγείλαντες νεανίσκοις οἳ ἐδόκουν αὐτοῖς θρασύτατοι[9] εἶναι ξιφίδια ὑπὸ μάλης[10] ἔχοντας παραγενέσθαι[11], συνέλεξαν τὴν
24 βουλήν. Ἐπεὶ δὲ ὁ Θηραμένης παρῆν, ἀναστὰς ὁ Κριτίας ἔλεξεν ὧδε[12].

---

[1]) Ἕκαστον (τῶν 30) ὑποκμ. τοῦ λαβεῖν ἕνα ἐκ τῶν μετοίκων. Μέτοικοι ἐλέγοντο οἱ ἐν Ἀθήναις ἐγκαθιστάμενοι διαρκῶς ξένοι (πλούσιοι ἔμποροι ὡς ἐπὶ τὸ πλεῖστον), πληρόνοντες φόρον, μετοίκιον καλούμενον, ἤτοι 12 δρχ. οἱ ἄνδρες καὶ 6 αἱ γυναῖκες [2]) Νὰ τὰ σφραγίσωσιν ὡς δημευμένα. [3]) Ἐνῷ ἰσχυριζόμεθα ὅτι ἤμεθα οἱ βέλτιστοι νὰ διαπράττωμεν μεγαλειτέρας ἀδικίας τῶν συκοφαντῶν. [4]) Ἡ σύνταξις· ἐκεῖνοι μὲν (οἱ συκοφ.) εἴων (=ἐπέτρεπον) ζῆν ἐκείνους, παρ' ὧν λαμβάνοιεν χρήμ. Τὸ λαμβάνοιεν ἐκφέρεται εἰς ἔγκλ. εὐκτ. διότι ἡ πρᾶξις ἀναφέρεται ὡς πολλάκις γιγνομένη εἰς τὸ παρελθόν. [5]) Καὶ ἂν δὲν ἔχωσι κάμει καμμίαν ἀδικίαν. [6]) Τῷ παντὶ=κατὰ πάντα, παντελῶς. [7]) Οἱ δὲ 30 νομίζοντες ὅτι αὐτὸς (ὁ Θηραμ.) εἶνε ἐμπόδιον εἰς τὸ νὰ πράττωσιν ὅ,τι θέλουσιν κτλ. [8]) Ὡς βλάπτοντα, καταστρέφοντα. [9]) Ἀναιδέστατοι. [10]) Ὑπὸ μάλης, φράσις μόνον οὕτω (μετὰ γεν. δηλ. καὶ τῆς ὑπὸ) ἀπαντῶσα = ὑπὸ τὴν μασχάλην. [11]) Παρευρεθῆναι (εἰς τὴν βουλήν). [12]) Ὡς ἑξῆς.

Ὦ ἄνδρες βουλευταί, εἰ μέν τις ὑμῶν νομίζει πλεί-
ονας τοῦ καιροῦ[1] ἀποθνήσκειν, ἐννοησάτω ὅτι ὅπου
πολιτεῖαι μεθίστανται[2] πανταχοῦ ταῦτα γίγνεται· πλεί-
στους δὲ ἀνάγκη ἐνθάδε πολεμίους εἶναι τοῖς εἰς ὀλι-
γαρχίαν μεθιστᾶσι[3] διά τε τὸ πολυανθρωποτάτην τῶν
Ἑλληνίδων τὴν πόλιν εἶναι καὶ διὰ τὸ πλεῖστον χρόνον
ἐν ἐλευθερίᾳ τὸν δῆμον τεθράφθαι. Ἡμεῖς δὲ γνόντες 25
μὲν τοῖς οἵοις ἡμῖν τε καὶ ὑμῖν[4] χαλεπὴν[5] πολιτείαν
εἶναι δημοκρατίαν, γνόντες δὲ ὅτι Λακεδαιμονίοις
τοῖς περισώσασιν ἡμᾶς ὁ μὲν δῆμος[6] οὔποτ' ἂν φίλος
γένοιτο, οἱ δὲ βέλτιστοι[7] ἀεὶ ἂν πιστοὶ διατελοῖεν,
διὰ ταῦτα σὺν τῇ Λακεδαιμονίων γνώμῃ τήνδε τὴν
πολιτείαν καθίσταμεν[8]. Καὶ ἐὰν τινα αἰσθανώμεθα 26
ἐναντίον τῇ ὀλιγαρχίᾳ, ὅσον δυνάμεθα ἐκποδὼν ποιού-
μεθα· πολὺ δὲ μάλιστα δοκεῖ ἡμῖν δίκαιον εἶναι, εἴ τις
ἡμῶν αὐτῶν λυμαίνεται ταύτῃ τῇ καταστάσει[9], δίκην
αὐτὸν διδόναι[10]. Νῦν οὖν αἰσθανόμεθα Θηραμένη του- 27
τονὶ οἷς δύναται[11] ἀπολλύντα[12] ἡμᾶς τε καὶ ὑμᾶς. Ὡς

---

1) Πλείονας τοῦ καιροῦ = περισσοτέρους παρ' ὅσους ἐπιτρέπει ὁ καιρός, ἑπομ. περισσοτέρους τοῦ πρέποντος. 2) Ὅπου μεταβάλλονται τὰ πολιτεύματα, ὅπου γίνονται μεταπολιτεύσεις. 3) Ἐνν. ὡς ἀντικμ. τὴν πολιτείαν παραλαμβανόμενον ἐκ τοῦ ἀνωτέρω πολιτ. μεθίστ. 4) Τοῖς οἵοις ἡμῖν τε καὶ ὑμῖν = τοῖς οὖσι τοιούτοις οἷοί ἐσμεν ἡμεῖς καὶ ὑμεῖς. 5) Καταστρεπτικήν. 6) = Οἱ δημοκρατικοί. 7) = Οἱ ἀριστοκρατικοί. 8) Ἐγκαθιδρύομεν τοῦτο τὸ πολίτευμα (δηλ. τὴν ὀλιγαρχίαν). 9) = Τῇ ὀλιγαρχίᾳ. Τὸ λυμαίνομαι μετὰ δοτ. ἐνταῦθα, ἐνῷ ἀνωτέρω (§ 23) μετ' αἰτ. « λυμαινόμενον τὴν πολιτείαν ». 10) = Νὰ τιμωρηθῇ. Δίκην λαμβάνω παρά τινος = κολάζω τιμωρῶ. Τὸ παθτ. δίκην δίδωμι ὑπό τινος = τιμωροῦμαι. 11) Οἷς δύναται = δι' ὅσων μέσων δύναται. 12) = Προσπαθοῦντα νὰ καταστρέψῃ.

δὲ ταῦτα ἀληθῆ[1], ἣν κατανοῆτε[2], εὑρήσετε οὔτε ψέ-
γοντα οὐδένα μᾶλλον Θηραμένους τουτουὶ τὰ παρόντα
οὔτε ἐναντιούμενον, ὅταν τινὰ ἐκποδὼν βουλώμεθα
ποιήσασθαι τῶν δημαγωγῶν. Εἰ μὲν τοίνυν ἐξ ἀρχῆς
ταῦτα ἐγίγνωσκε, πολέμιος μὲν ἦν[3], οὐ μέντοι πονηρός
28 γ' ἂν δικαίως ἐνομίζετο· νῦν δὲ αὐτὸς μὲν ἄρξας[4] τῆς
πρὸς Λακεδαιμονίους πίστεως καὶ φιλίας, αὐτὸς δὲ τῆς
τοῦ δήμου καταλύσεως, μάλιστα δὲ ἐξορμήσας ὑμᾶς
τοῖς πρώτοις ὑπαγομένοις εἰς ὑμᾶς δίκην ἐπιτιθέναι[5],
νῦν ἐπεὶ καὶ ὑμεῖς καὶ ἡμεῖς φανερῶς ἐχθροὶ τῷ δήμῳ
γεγενήμεθα, οὐκέτ' αὐτῷ τὰ γιγνόμενα ἀρέσκει, ὅπως
αὐτὸς μὲν αὖ[6] ἐν τῷ ἀσφαλεῖ[7] καταστῇ, ἡμεῖς δὲ δί-
29 κην δῶμεν τῶν πεπραγμένων. Ὥστε οὐ μόνον ὡς ἐχ-
θρῷ αὐτῷ προσήκει ἀλλὰ καὶ ὡς προδότῃ ὑμῶν τε καὶ
ἡμῶν διδόναι τὴν δίκην. Καίτοι τοσούτῳ μὲν δεινότε-
ρον[8] προδοσία πολέμου, ὅσῳ χαλεπώτερον φυλάξασθαι[9]
τὸ ἀφανὲς τοῦ φανεροῦ, τοσούτῳ δ' ἔχθιον, ὅσῳ[10] πο-
λεμίοις μὲν ἄνθρωποι καὶ σπένδονται καὶ αὖθις πιστοὶ

---

1) Ἐνν. ἐστίν. 2) Ἐὰν παρατηρήσητε. 3) Πολέμιος μὲν ἦν ἀπόδ. τῆς ὑποθέσ. εἰ μὲν τοίνυν ἐξ ἀρχῆς κτλ: Ἐτέθη εἰς ὁριστ. ἄνευ τοῦ δυνητ. ἄν, διότι εἶνε πραγματικὴ καὶ ἀναγκαία. =θὰ ἦτο μὲν πολέμιος (ὅπως καὶ τώρα εἶνε). 4) Νῦν δ' αὐτὸς ἄρξας...οὐκέτι αὐτῷ ἀρέσκει. Τὸ ἄρξας ἀνανταπόδοτα κατὰ σχῆμα ἀνακόλ: παρεμπεσόντων παρενθετ. λόγων: = ἐνῷ αὐτὸς πρῶτος ἔκαμεν ἀρχὴν (ἔδωκε τὸ παράδειγμα) τῆς πρὸς Λακεδ. πίστεως καὶ φιλίας. 5) Δίκην ἐπιτιθέναι (=νὰ τιμωρήσητε) τοῖς πρώτοις ὑπαγομένοις (ἐγκαλουμένοις) εἰς ὑμᾶς (ὡς δικαστὰς δηλ.). 6) Πάλιν, ἐν περιπτώσει δηλ. νέας μεταπολιτεύσεως. 7) Ἐν ἀσφαλείᾳ. 8) Πρᾶγμα ἐνν. 9) Προφυλαχθῆναί τινα ἀπὸ τὸ ἀφανὲς παρὰ ἀπὸ τὸ φανερόν. 10) Ἐξυπονοεῖται τὸ συγκρ. μᾶλλον—ὅσῳ μᾶλλον...σπένδονται κτλ.

γίγνονται, ὃν δ' ἂν προδιδόντα λαμβάνωσι, τούτῳ οὔτε ἐσπείσατο[1] πώποτε οὐδεὶς οὔτ' ἐπίστευσε τοῦ λοιποῦ[2]. Ἵνα δὲ εἰδῆτε ὅτι οὐ καινὰ[3] ταῦτα οὗτος ποιεῖ, ἀλλὰ φύσει[4] προδότης ἐστὶν, ἀναμνήσω ὑμᾶς τὰ τούτῳ[5] πεπραγμένα. Οὗτος γὰρ ἐξ ἀρχῆς μὲν τιμώμενος[6] ὑπὸ τοῦ δήμου κατὰ[7] τὸν πατέρα Ἅγνωνα, προπετέστατος[8] ἐγένετο τὴν δημοκρατίαν μεταστῆσαι εἰς τοὺς τετρακοσίους[9], καὶ ἐπρώτευεν ἐν ἐκείνοις[10]. Ἐπεὶ δ' ᾔσθετο ἀντίπαλόν τι[11] τῇ ὀλιγαρχίᾳ συνιστάμενον, πρῶτος αὖ ἡγεμὼν τῷ δήμῳ ἐπ' ἐκείνους[12] ἐγένετο· ὅθεν δήπου[13] καὶ κόθορνος[14] ἐπικαλεῖται· καὶ γὰρ ὁ κόθορνος ἁρμόττειν μὲν τοῖς ποσὶν ἀμφοτέροις δοκεῖ, ἀποβλέπει δὲ ἀπ' ἀμφοτέρων. Δεῖ δὲ, ὦ Θηράμενες, ἄνδρα τὸν ἄξιον ζῆν[15] οὐ προάγειν μὲν δεινὸν[16] εἶναι εἰς

---

1) Ἀόριστος γνωμικὸς ἐν τῇ σημασίᾳ τοῦ συνήθως γίγνεσθαί τι. 2) Εἰς τὸ ἑξῆς. 3) Οὐ καινὰ = ἀσυνήθη, ἀνέλπιστα. Ἡ σύντ. οὐ καινά ἐστι ταῦτα, ἃ οὗτος ποιεῖ. 4) Ἐκ φύσεως, (ἑπομν.) ἡ προδοσία εἰς αὐτὸν εἶνε συνήθης. 5) Ποιητ. αἴτιον κατὰ δοτ. ἐπὶ χρ. παρακμ. 6) Ἐναντιωμ. μετχ. = ἂν καὶ ἐτιμᾶτο. 7) Ἡ κατὰ σημ. συμφωνίαν = κατὰ τὸ παράδειγμα τοῦ Ἅγνωνος τοῦ πατρός του. Οὗτος ἦτο εἷς τῶν μετὰ τὸν Σικελικὸν πόλεμον διορισθέντων δέκα προβούλων, ὅπως φροντίσωσι περὶ τῆς κοινῆς σωτηρίας, οἵτινες ἵδρυσαν εἶτα τὴν ὀλιγαρχίαν τῶν 400. 8) Προθυμώτατος. 9) Εἰς τὴν ὀλιγαρχ. τῶν 400. 10) Τοῖς τετρακοσίοις. 11) Ὅτι εἶχε σχηματισθῆ ἀντίπαλόν τι κόμμα κατὰ τῆς ὀλιγαρχ. 12) Ἐπ' ἐκείνους = ἐναντίον τῶν 400. 13) = Ὡς φρονῶ. 14) Κόθορνος ἦτο τὸ ὑπόδημα τῶν ὑποκριτῶν τῆς τραγῳδίας. Ἀπεδίδετο δὲ ὡς σκωπτικὸν ἐπίθετον εἰς τοὺς εὐμεταβόλους, ὅσοι προσεκολλῶντο ἄλλοτε μὲν εἰς τὴν μίαν ἄλλοτε δ' εἰς τὴν ἄλλην πολιτικὴν μερίδα, ὅπως δηλ. ὁ κόθορνος, ὅστις ὁτὲ μὲν ἐφαρμόζεται εἰς τὸν ἕνα ὁτὲ δὲ εἰς τὸν ἄλλον πόδα. 15) Τὸν ἄξιον ζῆν = ὅστις τοῦ ἀξίζει νὰ ζῇ. 16) Δεινὸν = ἐπιτήδειον.

πράγματα[1] τοὺς συνόντας, ἤν δέ τι ἀντικόπτῃ[2], εὐθὺς μεταβάλλεσθαι, ἀλλ' ὥσπερ ἐν νηὶ διαπονεῖσθαι[3], ἕως ἂν εἰς οὖρον[4] καταστῶσιν· εἰ δὲ μή[5], ὡς ἂν ἀφίκοιντό ποτε ἔνθα δεῖ, εἰ ἐπειδάν τι ἀντικόψῃ, εὐθὺς εἰς
32 τἀναντία πλέοιεν; Καὶ εἰσὶ μὲν δήπου πᾶσαι μεταβολαὶ πολιτειῶν θανατηφόροι, σὺ δὲ διὰ τὸ εὐμετάβολος εἶναι πλείστοις μὲν μεταίτιος[6] εἶ ἐξ ὀλιγαρχίας ὑπὸ τοῦ δήμου ἀπολωλέναι, πλείστοις δ' ἐκ δημοκρατίας ὑπὸ τῶν βελτιόνων. Οὗτος δέ τοί[7] ἐστιν ὃς ταχθεὶς ἀνελέσθαι[8] ὑπὸ τῶν στρατηγῶν τοὺς καταδύντας Ἀθηναίων ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ αὐτὸς οὐκ ἀνελόμενος[9] ὅμως τῶν στρατηγῶν κατηγορῶν ἀπέκτεινεν[10] αὐτούς, ἵνα
33 αὐτὸς περισωθείη. Ὅστις γε μὴν φανερός ἐστι τοῦ μὲν πλεονεκτεῖν ἀεὶ ἐπιμελόμενος, τοῦ δὲ καλοῦ καὶ τῶν φίλων μηδὲν[11] ἐντρεπόμενος, πῶς τούτου χρή ποτε φείσασθαι; πῶς δὲ οὐ φυλάξασθαι[12], εἰδότας αὐτοῦ τὰς μεταβολάς, ὡς μὴ[13] καὶ ἡμᾶς ταὐτὸ δυνασθῇ ποιῆσαι; ἡμεῖς οὖν τοῦτον ὑπάγομεν[14] καὶ ὡς ἐπιβουλεύοντα καὶ ὡς προδιδόντα ἡμᾶς τε καὶ ὑμᾶς. Ὡς δ' εἰκότα ποιοῦμεν, καὶ

---

[1]) Εἰς πράγματα· ἐν τῇ σημ. τοῦ εἰς κινδυνώδεις ἐπιχειρήσεις. [2]) Ἐὰν παρεμβληθῇ κώλυμά τι. [3]) Ἐξυπον. ὡς ὑποκμ. τὸ πλέοντας λαμβανόμενον ἐκ τοῦ νηί. [4]) Οὖρος (ἐκ τοῦ ὄρνυμι) = οὔριος (πρύμος) ἄνεμος. [5]) Εἰ δὲ μὴ διαπονοῖντο. [6]) Μεταίτιος = μετ' ἄλλων αἴτιος, συναίτιος. [7]) Δέ τοι = τῷ ὄντι. [8]) Ἀνελέσθαι τοὺς καταδύντας = νὰ σηκώσῃ καὶ νὰ θάψῃ τοὺς κτλ. [9]) = Ἂν καὶ οὐκ ἀνείλετο (αὐτούς). [10]) = Ἐγένετο αἴτιος νὰ φονευθῶσι. [11]) Σύστοιχ. ἀντικείμ. = μηδεμίαν ἐντροπὴν ἐντρεπόμενοι = μηδαμῶς φροντίζων. [12]) Τὸ ἀντικμ. αὐτὸν (ἀπ' αὐτόν). [13]) Ὡς μή... διστακτικὴ πρότ. = ἐκ φόβου μὴ δυνασθῇ (Ἰων. ἀόρ.) = δυνηθῇ κτλ. [14]) Ἐνν. θανάτου.

τάδ' ἐννοήσατε. Καλλίστη μὲν γὰρ δήπου δοκεῖ πολι- 34
τεία εἶναι ἡ Λακεδαιμονίων· εἰ δὲ ἐκεῖ[1] ἐπιχειρήσειέ τις τῶν ἐφόρων ἀντὶ τοῦ τοῖς πλείοσι[2] πείθεσθαι ψέγειν τε τὴν ἀρχὴν καὶ ἐναντιοῦσθαι τοῖς πραττομένοις, οὐκ ἂν οἴεσθε αὐτὸν καὶ ὑπ' αὐτῶν τῶν ἐφόρων καὶ ὑπὸ τῆς ἄλλης ἁπάσης πόλεως τῆς μεγίστης τιμωρίας ἀξιωθῆναι; Καὶ ὑμεῖς οὖν, ἐὰν σωφρονῆτε, οὐ τούτου ἀλλ' ὑμῶν αὐτῶν φείσεσθε, ὡς[3] οὗτος σωθεὶς μὲν πολλοὺς ἂν μέγα φρονεῖν ποιήσειε[4] τῶν ἐναντία γιγνωσκόντων[5] ὑμῖν, ἀπολόμενος δὲ πάντων καὶ τῶν ἐν τῇ πόλει καὶ τῶν ἔξω[6] ὑποτέμοι ἂν[7] τὰς ἐλπίδας.

Ὁ μὲν ταῦτ' εἰπὼν ἐκαθέζετο· Θηραμένης δὲ ἀνα- 35
στὰς ἔλεξεν· Ἀλλὰ πρῶτον μὲν μνησθήσομαι, ὦ ἄνδρες, ὃ τελευταῖον κατ' ἐμοῦ εἶπε. Φησὶ γάρ με τοὺς στρατηγοὺς ἀποκτεῖναι κατηγοροῦντα. Ἐγὼ δὲ οὐκ ἦρχον[8] δήπου κατ' ἐκείνων λόγου, ἀλλ' ἐκεῖνοι ἔφασαν προσταχθέν μοι[9] ὑφ' ἑαυτῶν οὐκ ἀνελέσθαι τοὺς δυστυχοῦντας ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ. Ἐγὼ δὲ ἀπολογούμενος ὡς διὰ τὸν χειμῶνα[10] οὐδὲ πλεῖν, μὴ ὅτι[11] ἀναιρεῖσθαι

[1]) Ἐνν. τὸ ἐν Σπάρτῃ λαμβανόμ. ἐκ τοῦ Λακεδ. [2]) Τῶν ἐφόρων. [3]) Διότι. [4]) Ποιήσειεν ἄν: ἀπόδ. τῆς ὑποθετ. μετοχῆς σωθεὶς=εἰ σωθείη. Ἐπίσης καὶ τὸ ὑποτέμοι ἂν ἀπόδ. τοῦ ἀπολόμενος.= εἰδὲ τοῦ ἀπόλοιτο. [5]) Τῶν ἐναντιοφρονούντων (τῶν ἀνηκόντων εἰς τὴν ἀντίθετον ὑμῖν μερίδα). [6]) Τῶν ἔξω (ἐνν) τῆς πόλεως, δηλ. τῶν ἐξορίστων. [7]) Ὑποτέμνω = κόπτω (συνήθ. τὸν δρόμον τινὸς) πλαγίως, ἑπομ. ματαιόνω, ἐμποδίζω. [8]) Δὲν ἔκαμα ἀρχήν, φρονῶ, (=δήπου) τοῦ κατ' ἐκείνων (τῶν στρατηγῶν) λόγου (=κατηγορίας). [9]) Προσταχθέν μοι, (ἐνν. τὸ ἀνελέσθαι λαμβανόμ. ἐκ τοῦ οὐκ ἀνειλόμην) αἰτ. ἀπόλ. ἀναλυομένη διὰ τοῦ ἐναντιωμ. ἂν καί. [10]) Ἕνεκεν τῆς κακοκαιρίας οὐδὲ νὰ πλεύσῃ τις ἦτο δυνατόν. Τὸ οὐδὲ (=κἂν) ἔχει ἐλαττωτ. σημασ. [11]) Μὴ ὅτι...=πολὺ δὲ ὀλιγώτερον νὰ σηκώσῃ τις καὶ θάψῃ (=

τοὺς ἄνδρας δυνατὸν ἦν, ἔδοξα τῇ πόλει εἰκότα λέγειν.
ἐκεῖνοι δ' ἑαυτῶν κατηγορεῖν ἐφαίνοντο. Φάσκοντες
γὰρ οἷόν τε εἶναι σῶσαι τοὺς ἄνδρας, προέμενοι[1] ἀπο-
36 λέσθαι αὐτοὺς ἀποπλέοντες ᾤχοντο[2]. Οὐ μέντοι θαυ-
μάζω γε τὸ Κριτίαν παρανενομηκέναι· ὅτε γὰρ ταῦτα
ἦν, οὐ παρὼν ἐτύγχανεν, ἀλλ' ἐν Θετταλίᾳ μετὰ Προ-
μηθέως[3] δημοκρατίαν κατεσκεύαζε καὶ τοὺς πενέστας[4]
37 ὥπλιζεν ἐπὶ τοὺς δεσπότας. Ὧν μὲν οὖν οὗτος ἐκεῖ[5]
ἔπραττε μηδὲν ἐνθάδε γένοιτο[6]· τάδε γε μέντοι ὁμο-
λογῶ ἐγὼ τούτῳ, εἴ τις ὑμᾶς μὲν τῆς ἀρχῆς βούλεται
παῦσαι, τοὺς δ' ἐπιβουλεύοντας ὑμῖν ἰσχυροὺς ποιεῖ[7],
δίκαιον εἶναι τῆς μεγίστης αὐτὸν τιμωρίας τυγχάνειν·
ὅστις μέντοι[8] ὁ ταῦτα πράττων ἐστὶν οἶμαι ἂν ὑμᾶς
κάλλιστα κρίνειν[9], τά τε πεπραγμένα καὶ ἃ νῦν πράττει
38 ἕκαστος ἡμῶν εἰ κατανοήσετε. Οὐκοῦν[10] μέχρι μὲν τοῦ
ὑμᾶς τε καταστῆναι εἰς τὴν βουλείαν καὶ ἀρχὰς ἀπο-
δειχθῆναι καὶ τοὺς ὁμολογουμένους συκοφάντας ὑπάγε-
σθαι πάντες ταὐτὰ ἐγιγνώσκομεν· ἐπεὶ δέ γε οὗτοι ἤρ-
ξαντο ἄνδρας καλούς τε κἀγαθοὺς συλλαμβάνειν, ἐκ

ἀναιρεῖσθαι) τοὺς ἄνδρας. [1]) Προέμενοι (ἀόρ β'. τοῦ προΐεμαι) =ἀφίνοντες αὐτοὺς νὰ χαθῶσιν (ἀπολέσθαι). [2]) Τὸ οἴχομαι μετὰ μετχ. σημ. εὐθὺς ἀμέσως. Ὤχοντο ἀποπλέοντες = εὐθὺς ἀπέπλευσαν. [3]) Ἐννοεῖ τὸν τύραννον τῶν Φερῶν Ἰάσονα. [4]) Τοὺς δούλους τῆς Θεσσαλίας, οἱ ὁποῖοι ἦσαν ὅμοιοι πρὸς τοὺς Εἵλωτας τῆς Σπάρτης. [5]) Ἐν Θεσσαλίᾳ. [6]) Γένοιτο· σημ. εὐχήν. Εἴθε νὰ μὴ γίνῃ ἐδῶ μηδὲν τῶν ὅσων ἐκεῖ ἔπραττε (μηδὲν ὧν, καθ' ἕλξ. μηδὲν τούτων, ἃ ἔπραττε). [7])=Βούλεται ποιεῖ, ὡς τὸ ἀνωτ. βούλεται παῦσαι. [8]) Ὅστις μέντοι=τίς ὅμως. [9]) Κρίνειν... ἂν (=κρίνοιτε ἂν) ἀπόδ. τοῦ ὑποθετ. εἰ κατανοήσητε, τεθεῖσα κατ' ἀπαρέμφ. καθὸ ἠρτημένον ἐκ τοῦ οἶμαι. [10]) Οὐκοῦν (οὐκ—οὖν)=λοιπὸν (καταφατικόν). Οὔκουν=λοιπὸν (ἀποφατ.).

τούτου[1] κἀγὼ ἠρξάμην τἀναντία τούτοις γιγνώσκειν.
Ἤδειν γὰρ ὅτι ἀποθνήσκοντος[2] μὲν Λέοντος τοῦ Σα- 39
λαμινίου, ἀνδρὸς καὶ ὄντος καὶ δοκοῦντος[3] ἱκανοῦ εἶναι,
ἀδικοῦντος δ' οὐδὲ ἕν[4], οἱ ὅμοιοι τούτῳ φοβήσοιντο,
φοβούμενοι δὲ ἐναντίοι τῇδε τῇ πολιτείᾳ ἔσοιντο· ἐγί-
γνωσκον δὲ ὅτι συλλαμβανομένου Νικηράτου τοῦ Νι-
κίου, καὶ πλουσίου καὶ οὐδὲν πώποτε δημοτικὸν[5] οὔτε
αὐτοῦ οὔτε τοῦ πατρὸς πράξαντος, οἱ τούτῳ ὅμοιοι
δυσμενεῖς ἡμῖν γενήσοιντο. Ἀλλὰ μὴν[6] καὶ Ἀντι- 40
φῶντος ὑφ' ἡμῶν ἀπολλυμένου, ὃς ἐν τῷ πολέμῳ δύο
τριήρεις εὖ πλεούσας παρείχετο[7], ἠπιστάμην ὅτι καὶ
οἱ πρόθυμοι τῇ πόλει γεγενημένοι[8] πάντες ὑπόπτως
ἡμῖν ἕξοιεν[9]. Ἀντεῖπον δὲ καὶ ὅτε τῶν μετοίκων ἕνα
ἕκαστον λαβεῖν[10] ἔφασαν χρῆναι· εὔδηλον γὰρ ἦν ὅτι
τούτων ἀπολομένων καὶ οἱ μέτοικοι ἅπαντες πολέμιοι
τῇ πολιτείᾳ[11] ἔσοιντο. Ἀντεῖπον δὲ καὶ ὅτε τὰ ὅπλα 41
τοῦ πλήθους παρῃροῦντο[12], οὐ νομίζων χρῆναι ἀσθενῆ
τὴν πόλιν ποιεῖν· οὐδὲ γὰρ τοὺς Λακεδαιμονίους ἑώρων
τούτου ἕνεκα βουλομένους περισῶσαι ἡμᾶς, ὅπως ὀλί-

---

1) Χρον.=ἔκτοτε. 2) Ὑποθ. μετχ.=εἰ ἀπέθνησκε, ἡ ἀπόδ. φοβήσοιντο. 3) Ἀνδρὸς ὅστις καὶ ἦτο καὶ ἐθεωρεῖτο (ἐνν. εἶναι =ὅτι ἦτο) ἱκανός. 4) Σύστοιχ. ἀντικμ.= οὐδεμίαν ἀδικίαν. Δύναται νὰ ἔχῃ καὶ ἐπιρρημ. σημ.=οὐδόλως, κατ' οὐδέν. 5) Ὑπὲρ τοῦ δήμου, διότι ὁ Νικήρατος ἦτο ἀριστοκρατικός. 6) Ἀλλὰ μὴν =ἀλλὰ προσέτι. 7) Παρείχετο (μέσ.)=παρεῖχεν ἐκ τῶν ἑαυτοῦ (ἐκ τῶν ἰδιοσυντηρήτων). 8) Οἱ προθύμως ὑπὲρ τῆς πόλεως διατεθειμένοι (δαπανῶντες). 9) Ὑπόπτως ἡμῖν ἕξοιεν = ἤθελον μᾶς ὑποπτεύσει. 10) Νὰ λάβῃ ἕκαστος (ἐξ ἡμῶν) ἕνα ἐκ τῶν μετοίκων. 11) Ἐνν. ἡμῶν, τῶν 30. 12) Ἀφῄρουν τὰ ὅπλα τοῦ λαοῦ (τοῦ πλήθους).

γοι γενόμενοι μηδὲν δυναίμεθ' αὐτοὺς ὠφελεῖν· ἐξῆν
γὰρ αὐτοῖς[1], εἰ τούτου γε δέοιντο, καὶ μηδένα λιπεῖν[2]
42 ὀλίγον ἔτι χρόνον τῷ λιμῷ πιέσαντας[3]. Οὐδέ γε τὸ
φρουροὺς μισθοῦσθαι συνήρεσκέ μοι, ἐξὸν[4] αὐτῶν[5] τῶν
πολιτῶν τοσούτους προσλαμβάνειν, ἕως ῥᾳδίως ἐμέλ-
λομεν οἱ ἄρχοντες τῶν ἀρχομένων κρατήσειν. Ἐπεί γε
μὴν πολλοὺς ἑώρων ἐν τῇ πόλει τῇ ἀρχῇ τῇδε δυσμε-
νεῖς, πολλοὺς δὲ φυγάδας γιγνομένους, οὐκ αὖ ἐδόκει
μοι οὔτε Θρασύβουλον οὔτε Ἄνυτον οὔτε Ἀλκιβιάδην
φυγαδεύειν[6]· ᾔδειν γὰρ ὅτι οὕτω γε τὸ ἀντίπαλον[7] ἰσχυ-
ρὸν ἔσοιτο, εἰ τῷ μὲν πλήθει[8] ἡγεμόνες ἱκανοὶ προσ-
γενήσοιντο, τοῖς δ' ἡγεῖσθαι βουλομένοις σύμμαχοι
43 πολλοὶ φανήσοιντο. Ὁ ταῦτα οὖν νουθετῶν ἐν τῷ φα-
νερῷ πότερα εὐμενὴς ἂν δικαίως ἢ προδότης νομίζοιτο;
οὐχ οἱ[9] ἐχθρούς, ὦ Κριτία, κωλύοντες πολλοὺς ποιεῖ-
σθαι, οὐδ' οἱ συμμάχους πλείστους διδάσκοντες κτᾶσθαι,
οὗτοι τοὺς πολεμίους ἰσχυροὺς ποιοῦσιν, ἀλλὰ πολὺ
μᾶλλον οἱ ἀδίκως τε χρήματα ἀφαιρούμενοι καὶ τοὺς
οὐδὲν ἀδικοῦντας ἀποκτείνοντες, οὗτοί εἰσιν οἱ καὶ
πολλοὺς τοὺς ἐναντίους ποιοῦντες καὶ προδιδόντες οὐ
μόνον τοὺς φίλους ἀλλὰ καὶ ἑαυτοὺς δι' αἰσχροκέρδειαν.

---

1) Ἦτ⁊ δυνατὸν εἰς αὐτούς, ἠδύναντο. 2) Μηδένα (ἐνν. ἡμῶν) λιπεῖν=νὰ μὴ ἀφήσωσι κανένα ἐξ ἡμῶν ζῶντα. 3) τὸ πιέσαντες ἔπρεπε νὰ συμφωνῇ κατὰ πτῶσιν πρὸς τὸ (καθὸ μετχ. προσδιορ. τοῦ) αὐτοῖς. Ἀλλ' ἐτέθη κατ' αἰτ. ὁμοιοπτώτως πρὸς τὸ ἐνν. ὑποκμ. τοῦ λιπεῖν αὐτοὺς (τοὺς Λακεδ.) 4) Αἰτ. ἀπόλ.=ἐνῷ ἠδύναντο. 5) Ἐξ αὐτῶν. 6) Νὰ ἐξορίζωμεν. 7) Τὸ ἀντίθετον κόμμα. 8) Τῷ πλήθει = τοῖς πολλοῖς, δηλ. τοῖς δημοκρατικοῖς. 9) Οὐχ οἱ... οὐδ' οἱ: ἀναφέρεται εἰς τὸ κατωτ. οὗτοι. Οὐχ οὗτοι ποιοῦσι κτλ. οἱ κωλύοντες...

Εἰ δὲ μὴ ἄλλως γνωστὸν ὅτι ἀληθῆ λέγω, ὧδε ἐπισκέ- 44
ψασθε. Πότερον οἴεσθε Θρασύβουλον καὶ Ἄνυτον καὶ
τοὺς ἄλλους φυγάδας ἃ ἐγὼ λέγω[1] μᾶλλον ἂν ἐνθάδε
βούλεσθαι γίγνεσθαι ἢ ἃ οὗτοι πράττουσιν; Ἐγὼ μὲν γὰρ
οἶμαι νῦν μὲν αὐτοὺς νομίζειν συμμάχων πάντα μεστὰ
εἶναι· εἰ δὲ τὸ κράτιστον τῆς πόλεως προσφιλῶς ἡμῖν
εἶχε, χαλεπὸν ἂν ἡγεῖσθαι εἶναι καὶ τὸ ἐπιβαίνειν που
τῆς χώρας[2]. Ἃ δ' αὖ εἶπεν[3] ὡς ἐγώ εἰμι οἷος[4] ἀεί 45
ποτε μεταβάλλεσθαι, κατανοήσατε καὶ ταῦτα. Τὴν μὲν
γὰρ ἐπὶ τῶν τετρακοσίων πολιτείαν καὶ αὐτὸς δήπου ὁ
δῆμος ἐψηφίσατο, διδασκόμενος ὡς οἱ Λακεδαιμόνιοι
πάσῃ πολιτείᾳ μᾶλλον ἂν ἢ δημοκρατίᾳ πιστεύσειαν[5].
Ἐπεὶ δέ γε ἐκεῖνοι μὲν οὐδὲν ἀνίεσαν[6], οἱ δὲ ἀμφὶ Ἀρι- 46
στοτέλη καὶ Μελάνθιον καὶ Ἀρίσταρχον[7] στρατηγοῦν-
τες φανεροὶ ἐγένοντο ἐπὶ τῷ χώματι[9] ἔρυμα[8] τειχίζον-
τες, εἰς ὃ ἐβούλοντο τοὺς πολεμίους δεξάμενοι ὑφ' αὐ-
τοῖς[10] καὶ τοῖς ἑταίροις τὴν πόλιν ποιήσασθαι, εἰ ταῦτ'

---

1) Ἐνν. δεῖν γίγνεσθαι. 2) Τῆς χώρας. γεν. διαιρετ. τοῦ του (=εἰς μέρος τι). 3) Ἃ δ' αὖ εἶπεν=ὡς πρὸς ἐκεῖνα δὲ τὰ ὁποῖα εἶπεν. 4) Ἡ ἀντ. οἷος ἄνευ τοῦ τε σημ. ἐπιτήδειος, μετὰ τοῦ τε σημ. δυνατὸς ἢ ἱκανὸς καὶ συντάσσ. μετ' απαρεμφ. 5) Ὅτι οἱ Λακεδ. εἰς πᾶν ἄλλο πολίτευμα ἤθελον μᾶλλον ἐμπιστευθῆ παρὰ εἰς τὴν δημοκρ. Πιστεύσειαν ἄν. Ἐπὶ δυνητικῆς ἐννοίας, ὡς ἐνταῦθα, τίθεται εὐκτ. ἔγκλ. μετὰ τοῦ ἄν. 6) Τοῦ ῥήμ. ἀνίημι. Οὐδόλως ἔπαυον τὰς ἐχθροπραξίας. 7) Καὶ οἱ τρεῖς οὗτοι ἦσαν ἐκ τῶν 400. 8) Ἐπὶ τοῦ προχώματος (ὅπερ ἐκάλουν Ἠετιώνειαν, κείμενον παρὰ τὸ στόμιον τοῦ λιμένος Πειραιῶς. 9) Τεῖχος, φρούριον. Τοῦτο εἶχον ἀνεγείρει οἱ 400 πρὸς ὑποδοχὴν τῶν πολεμίων Λακεδ., διότι ὁ ἐν Σάμῳ στρατὸς τῶν Ἀθην. ἀποστατήσας εἰς δημοκρατίαν ἠπείλει αὐτούς. 10) Ὑφ' αὐτοῖς=ὑπὸ τὴν ἐξουσίαν ἑαυτῶν.

αἰσθόμενος ἐγὼ διεκώλυσα, τοῦτ' ἐστὶ προδότην εἶναι
47 τῶν φίλων; Ἀποκαλεῖ δὲ κόθορνόν με, ὡς[1] ἀμφοτέροις πει-
ρώμενον ἁρμόττειν Ὅστις δὲ μηδετέροις ἀρέσκει,
τοῦτον ὦ πρὸς τῶν θεῶν[2] τί ποτε[3] καὶ καλέσαι χρή;
Σὺ γὰρ δὴ ἐν μὲν τῇ δημοκρατίᾳ πάντων μισοδημότα-
τος ἐνομίζου, ἐν δὲ τῇ ἀριστοκρατίᾳ πάντων μισοχρη-
48 στότατος γεγένησαι. Ἐγὼ δ', ὦ Κριτία, ἐκείνοις μὲν
ἀεί ποτε πολεμῶ τοῖς οὐ πρόσθεν οἰομένοις καλὴν ἂν
δημοκρατίαν εἶναι[4], πρὶν καὶ οἱ δοῦλοι καὶ οἱ δι' ἀπο-
ρίαν δραχμῆς[5] ἂν ἀποδόμενοι τὴν πόλιν δραχμῆς μετέ-
χοιεν[6], καὶ τοῖσδέ γ' αὖ[7] ἀεὶ ἐναντίος εἰμὶ οἳ οὐκ οἴον-
ται καλὴν ἂν ἐγγενέσθαι ὀλιγαρχίαν, πρὶν εἰς τὸ ὑπ' ὀλί-
γων τυραννεῖσθαι τὴν πόλιν καταστήσειαν. Τὸ μέντοι
σὺν τοῖς δυναμένοις[8] καὶ μεθ' ἵππων καὶ μετ' ἀσπίδων
ὠφελεῖν διὰ τούτων τὴν πολιτείαν πρόσθεν ἄριστον
49 ἡγούμην εἶναι καὶ νῦν οὐ μεταβάλλομαι. Εἰ δ' ἔχεις[9]
εἰπεῖν, ὦ Κριτία, ὅπου[10] ἐγὼ σὺν τοῖς δημοτικοῖς ἢ
τυραννικοῖς τοὺς καλούς τε κἀγαθοὺς ἀποστερεῖν πολι-
τείας ἐπεχείρησα, λέγε· ἐὰν γὰρ ἐλεγχθῶ ἢ νῦν ταῦτα

---

1) Ὡς πειρώμενον. Τὸ ὡς ἀναλυτέον=διότι, ὡς λέγει, καθότι ἡ αἰτία εἶνε ὄχι πραγματική, ὁπότε τίθεται τὸ ἅτε μετὰ τῆς μετοχῆς, ἀλλ' ἐξ ὑποκειμένου, ἐν τῇ διανοίᾳ ὡς γνώμη τοῦ (ὡς λέγει ὁ) Κριτ. 2) Ὦ πρὸς Θεῶν=ὢ δι' ὄνομα τῶν Θεῶν. Ἡ πρὸς ἐν τῇ σημ. τοῦ ὅρκου. 3) Ἀπορηματ. τί ποτε=τί ἆρά γε. 4) Καλὴν ἂν εἶναι=ὅτι καλὴ ἂν εἴη. 5) Γεν. τοῦ τιμήμ. συντακτ. τοῦ ἀποδόμενοι.=Ἀντὶ δραχμῆς. 6) Ἐνν. αὐτῆς. τῆς δημοκρ. ἤθελον μετέχει ἀντὶ (ἐνν. μισθοῦ) δραχμῆς. 7) Καὶ τοῖς δέ γ' αὖ=καὶ πρὸς ἐκείνους δ' ἐξ ἄλλου (αὖ). 8) Ἐνν. ὠφελεῖν, λαμβανόμενον ἐκ τοῦ κατωτέρω. Ἡ σύνταξ. «τὸ ὠφελεῖν...τὴν πολιτείαν σὺν τοῖς δυναμένοις (ὠφελεῖν) ἡγούμην εἶναι ἄριστον». 9) Δύνασαι. 10) Ὅπου (πλάγ. ἐρωτημ.)=Ποῦ.

πράττων ἢ πρότερον πώποτε πεποιηκώς, ὁμολογῶ τὰ πάντων ἔσχατα παθὼν ἂν δικαίως ἀποθνήσκειν.

Ὡς δ' εἰπὼν ταῦτα ἐπαύσατο, καὶ ἡ βουλὴ δήλη 50
ἐγένετο εὐμενῶς ἐπιθορυβήσασα[1], γνοὺς ὁ Κριτίας ὅτι εἰ ἐπιτρέψοι τῇ βουλῇ διαψηφίζεσθαι[2] περὶ αὐτοῦ, ἀναφεύξοιτο[3], καὶ τοῦτο[4] οὐ βιωτὸν[5] ἡγησάμενος, προσελθὼν καὶ διαλεχθείς τι τοῖς τριάκοντα ἐξῆλθε, καὶ ἐπιστῆναι ἐκέλευσε τοὺς τὰ ἐγχειρίδια ἔχοντας φανερῶς τῇ βουλῇ[6] ἐπὶ τοῖς δρυφάκτοις[7]. Πάλιν δὲ εἰσελθὼν 51
εἶπεν· Ἐγώ, ὦ βουλή, νομίζω προστάτου ἔργον εἶναι οἵου δεῖ[8], ὃς ἂν ὁρῶν τοὺς φίλους ἐξαπατωμένους μὴ ἐπιτρέπῃ[9]. Καὶ ἐγὼ οὖν τοῦτο ποιήσω. Καὶ γὰρ οἵδε[10] οἱ ἐφεστηκότες οὔ φασιν ἡμῖν ἐπιτρέψειν, εἰ ἀνήσομεν[11] ἄνδρα τὸν φανερῶς τὴν ὀλιγαρχίαν λυμαινόμενον. Ἔστι δὲ ἐν τοῖς καινοῖς[12] νόμοις τῶν μὲν ἐν τοῖς τρισχιλίοις ὄντων μηδένα ἀποθνήσκειν ἄνευ τῆς ὑμετέρας ψήφου, τῶν δ' ἔξω τοῦ καταλόγου κυρίους εἶναι τοὺς τριάκοντα θανατοῦν. Ἐγὼ οὖν, ἔφη, Θηραμένη τουτονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου, συνδοκοῦν[13] ἅπασιν

---

[1]) = Διὰ θορύβου ἐκδηλώσασα τὴν εὐμενῆ γνώμην της. [2]) Νὰ ἀποφανθῇ διὰ ψήφου. [3]) Ἐνν. ὁ Θηραμ. Ἤθελε διαφύγει τὴν καταδίκην. [4]) Δηλ. τὸ ὅτι ἀναφεύξοιτο. [5]) Οὐ βιωτὸν (αὐτῷ ὂν) = ἀβίωτον (ἀνάξιον βίου), διὸ ἀνυπόφορον, ἀφόρητον. [6]) Φανερῶς τῇ βουλῇ = ὥστε νὰ φαίνωνται ὑπὸ τῆς βουλῆς (τῶν βουλευτῶν). [7]) Δρύφακτα ἦσαν κιγκλῖδες ἐκ ξύλου διαχωρίζουσαι τὸ μέρος ὅπου συνεδρίαζεν ἡ βουλὴ ἀπὸ τοῦ ἀκροατηρίου. [8]) Ἕλξις, ἀντί: οἷον δεῖ (εἶναι τὸν προστάτην). [9]) Ἀντί: μὴ ἐπιτρέπειν ἐὰν ὁρᾷ τοὺς φίλους ἐξαπατωμένους. [10]) Οἵδε = αὐτοὶ ἐδῶ οἱ ἐφεστηκότες (οἱ ἱστάμενοι, οἱ ἔχοντες δηλ. ἐγχειρίδια). [11]) Τοῦ ἀνίημι. Ἐὰν ἀπολύσωμεν. [12]) Καινοῖς νόμοις = τοῖς νεωστὶ (ὑπὸ τῶν 30) συγγραφεῖσιν. [13]) Αἰτ. ἀπόλ. ἀντὶ

52 ἡμῖν. Καὶ τοῦτον, ἔφη, ἡμεῖς θανατοῦμεν. Ἀκούσας ταῦτα ὁ Θηραμένης ἀνεπήδησεν ἐπὶ τὴν Ἑστίαν[1] καὶ εἶπεν· Ἐγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων ἐννομώτατα[2], μὴ ἐπὶ Κριτίᾳ[3] εἶναι ἐξαλείφειν μήτε ἐμὲ μήτε ὑμῶν ὃν ἂν βούληται, ἀλλ' ὅνπερ νόμον οὗτοι ἔγραψαν περὶ τῶν ἐν τῷ καταλόγῳ, κατὰ τοῦτον[4] καὶ
53 ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. Καὶ τοῦτο μέν, ἔφη, μὰ[5] τοὺς θεοὺς οὐκ ἀγνοῶ, ὅτι οὐδέν μοι ἀρκέσει ὅδε ὁ βωμός, ἀλλὰ βούλομαι καὶ τοῦτο ἐπιδεῖξαι, ὅτι οὗτοι οὐ μόνον εἰσὶ περὶ ἀνθρώπους ἀδικώτατοι, ἀλλὰ καὶ περὶ θεοὺς ἀσεβέστατοι. Ὑμῶν μέντοι, ἔφη, ὦ ἄνδρες καλοὶ καγαθοί, θαυμάζω[6], εἰ μὴ βοηθήσετε ὑμῖν αὐτοῖς, καὶ ταῦτα[7] γιγνώσκοντες ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα εὐεξα-
54 λειπτότερον ἢ τὸ ὑμῶν ἑκάστου. Ἐκ δὲ τούτου ἐκάλεσε μὲν ὁ τῶν τριάκοντα κῆρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένη. Ἐκεῖνοι δὲ εἰσελθόντες[8] σὺν τοῖς ὑπηρέταις, ἡγουμένου αὐτῶν Σατύρου τοῦ θρασυτάτου τε καὶ ἀναιδεστάστου, εἶπε μὲν ὁ Κριτίας· Παραδίδομεν ὑμῖν, ἔφη, Θηραμένη τουτονὶ κατακεκριμένον κατὰ τὸν νό-
55 μον· ὑμεῖς δὲ λαβόντες καὶ ἀπαγαγόντες οἱ ἕνδεκα οἷ δεῖ[9] τὰ ἐκ τούτων πράττετε. Ὡς δὲ ταῦτα εἶπεν, εἷλκε

συναινούντων πάντων ἡμῶν. [1]) Βωμὸς τῆς Ἑστίας ἐν τῇ βουλῇ, ἔνθα ὡρκίζοντο οἱ βουλευταί. [2]) Σύστοιχ. ἀντικμ. = τὰς ἐννομωτάτας πασῶν ἱκεσίας. [3]) Ἡ ἐπὶ σημ. ἐξουσίαν. Εἰς τὴν ἐξουσ. τοῦ Κριτίου. [4]) Ἀλλ' ὅνπέρ νόμον, . . . κατὰ τοῦτον = ἀλλὰ κατὰ (συμφών. μὲ) τοῦτον τὸν νόμον ὅνπερ. [5]) Μά: μόριον ὁμοτικὸν βεβαιωτ. τίθεται ἐπὶ ἀποφατικῆς προτάσεως ἡγουμένου ἢ ἑπομένου τοῦ οὐ (ὡς ἐνταῦθα, οὐκ ἀγνοῶ). Τὸ δὲ νὴ τίθεται ἐπὶ καταφατ. προτ. [6]) Θαυμάζω τινὸς = μέμφομαι. [7]) Καὶ μάλιστα διότι γιγνώσκουσιν. [8]) Ὀνομαστ. ἀπόλ. μὴ ἀνταποδιδομένη εἰς κύριον ῥῆμα. [9]) Οἷ (= ὅπου) δεῖ (ἐνν. ἀπάγειν).

μὲν ἀπὸ τοῦ βωμοῦ ὁ Σάτυρος, εἷλκον δὲ οἱ ὑπηρέται. Ὁ δὲ Θηραμένης ὥσπερ εἰκὸς καὶ θεοὺς ἐπεκαλεῖτο καὶ ἀνθρώπους καθορᾶν τὰ γιγνόμενα. Ἡ δὲ βουλὴ ἡσυχίαν εἶχεν, ὁρῶσα καὶ τοὺς ἐπὶ τοῖς δρυφάκτοις ὁμοίους Σατύρῳ καὶ τὸ ἔμπροσθεν τοῦ βουλευτηρίου πλῆρες τῶν φρουρῶν, καὶ οὐκ ἀγνοοῦντες[1] ὅτι ἐγχειρίδια ἔχοντες παρῆσαν. Οἱ δ' ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγο- 56
ρᾶς μάλα μεγάλῃ τῇ φωνῇ δηλοῦντα οἷα ἔπασχε. Λέγεται δ' ἓν ῥῆμα καὶ τοῦτο[2] αὐτοῦ. Ὡς εἶπεν ὁ Σάτυρος ὅτι οἰμώξοιτο[3], εἰ μὴ σιωπήσειεν, ἐπήρετο· Ἂν δὲ σιωπῶ, οὐκ ἄρ', ἔφη, οἰμώξομαι; Καὶ ἐπεί γε ἀποθνήσκειν ἀναγκαζόμενος τὸ κώνειον ἔπιε, τὸ λειπόμενον[4] ἔφασαν ἀποκοτταβίσαντα[5] εἰπεῖν αὐτόν· Κριτίᾳ τοῦτ' ἔστω τῷ καλῷ[6]. Καὶ τοῦτο μὲν οὐκ ἀγνοῶ, ὅτι ταῦτα ἀποφθέγματα[7] οὐκ ἀξιόλογα, ἐκεῖνο δὲ κρίνω τοῦ ἀνδρὸς ἀγαστὸν[8], τὸ τοῦ θανάτου παρεστηκότος[9] μήτε τὸ φρόνιμον[10] μήτε τὸ παιγνιῶδες ἀπολιπεῖν ἐκ τῆς ψυχῆς.

---

[1]) Ἡ βουλὴ...οὐκ ἀγνοοῦντες. Σχῆμα κατὰ σύνεσιν, διότι ἐνν. ὡς ὑποκείμ. τὸ οἱ βουλευταί. [2]) = Τὸ ἑξῆς, τὸ ἑπόμενον. [3]) Οἰμώξει (ἐκ τοῦ οἰμώζω) λέγεται ἐπὶ ἀπειλῆς ἢ κατάρας καὶ σημαίνει ὡς τὸ παρ' ἡμῖν ἐν χρήσει: νὰ σὲ πάρῃ ὁ διάβολος. [4]) Τὸ ἐν τῷ ποτηρίῳ ἐναπομεῖναν ἐκ τοῦ κωνείου. [5]) Ἀποκοτταβίσας = χύσας τὸ ὑπόλοιπον τοῦ ποτηρίου χαμαί. Ὁ κότταβος ἦτο εἶδος παιγνιδίου, κατὰ τὸ ὁποῖον ὁ πίνων ἔρριπτε τὸ ὑπόλοιπον τοῦ οἴνου ἐκ τοῦ ποτηρίου εἰς λεκάνην προσπαθῶν διὰ τῶν ῥιπτομένων σταλαγμῶν νὰ κάμῃ ὅσον τὸ δυνατὸν μεγαλείτερον κρότον. Ἐγίγνετο δ' ἡ παιδιὰ αὕτη πρὸς ἀνάμνησιν φίλων ἢ ἀγαπητῶν προσώπων. [6]) Δηλ. τῷ εὔχεται ὁ Θηραμ. νὰ πάθῃ τὰ αὐτὰ καὶ ὁ Κριτίας. Τῷ καλῷ ἐνταῦθα τίθεται εἰρωνικῶς. [7]) Ταῦτά ἐστιν ἀποφθέγματα. [8]) Θαυμαστόν. [9]) Ἂν καὶ ἐπήρχετο ὁ θάνατος. [10]) = Τὴν φρόνησιν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Κατάλυσις τῶν τριάκοντα ὑπὸ Θρασυβούλου, (§ 1—28). Λύσανδρος καὶ Παυσανίας ἐν Πειραιεῖ, (§ 28—43).

Θηραμένης μὲν δὴ οὕτως ἀπέθανεν· οἱ δὲ τριάκοντα, ὡς ἐξὸν[1] ἤδη αὐτοῖς τυραννεῖν ἀδεῶς, προεῖπον μὲν τοῖς ἔξω τοῦ καταλόγου μὴ εἰσιέναι εἰς τὸ ἄστυ ἦγον[2] δὲ ἐκ τῶν χωρίων, ἵν' αὐτοὶ καὶ οἱ φίλοι τοὺς τούτων ἀγροὺς ἔχοιεν. Φευγόντων[3] δὲ εἰς τὸν Πειραιᾶ καὶ ἐντεῦθεν πολλοὺς ἄγοντες ἐνέπλησαν[4] καὶ τὰ Μέγαρα καὶ τὰς Θήβας τῶν ὑποχωρούντων.

2 Ἐκ δὲ τούτου Θρασύβουλος ὁρμηθεὶς[5] ἐκ Θηβῶν ὡς σὺν ἑβδομήκοντα Φυλὴν[6] χωρίον καταλαμβάνει ἰσχυρόν. Οἱ δὲ τριάκοντα ἐβοήθουν[7] ἐκ τοῦ ἄστεως σύν τε τοῖς τρισχιλίοις καὶ σὺν τοῖς ἱππεῦσι καὶ μάλ' εὐημερίας οὔσης. Ἐπεὶ δὲ ἀφίκοντο, εὐθὺς μὲν θρασυνόμενοί τινες τῶν νέων προσέβαλον πρὸς τὸ χωρίον, καὶ ἐποίησαν μὲν
3 οὐδὲν, τραύματα δὲ λαβόντες ἀπῆλθον. Βουλομένων δὲ τῶν τριάκοντα ἀποτειχίζειν[8], ὅπως ἐκπολιορκήσειαν αὐτοὺς ἀποκλείσαντες τὰς ἐφόδους[9] τῶν ἐπιτηδείων, ἐπιγίγνεται τῆς νυκτὸς χιὼν παμπληθὴς καὶ τῇ ὑστεραίᾳ. Οἱ δὲ νιφόμενοι[10] ἀπῆλθον εἰς τὸ ἄστυ, μάλα συχνοὺς

---

[1]) Αἰτ. ἀπόλ: = ἐπειδὴ ἦτο δυνατὸν τώρα εἰς αὐτοὺς νὰ εἶνε τύραννοι ἀφόβως (= ἀδεῶς). [2]) Ἦγον = ἀπῆγον (εἰς τὸ δεσμωτήριον πρὸς θάνατον). [3]) Ὑποκμ. τὸ τῶν ἔξω τοῦ καταλόγου. [4]) Δηλ. οἱ 30. [5]) = ξεκινήσας. [6]) Ἡ Φυλὴ ἦτο φρούριον ἰσχυρὸν μεταξὺ Κιθαιρῶνος καὶ Πάρνηθος ἐπὶ τῆς ἀπ' Ἀθηνῶν εἰς Θήβας ὁδοῦ, ἀπέχον 100 σταδ. τῶν Ἀθηνῶν. [7]) Ἔσπευδον εἰς βοήθειαν. [8]) Ποιεῖν τεῖχος, χαράκωμα. [9]) Τὰς ὁδούς, δι' ὧν ἤρχοντο εἰς αὐτοὺς αἱ τροφαὶ (τὰ ἐπιτήδεια). [10]) Οἱ χιονιζόμενοι.

τῶν σκευοφόρων ὑπὸ τῶν ἐκ Φυλῆς[1] ἀποβαλόντες. Γι- 4
γνώσκοντες δὲ[2] ὅτι καὶ ἐκ τῶν ἀγρῶν λεηλατήσοιεν[3],
εἰ μή τις φυλακὴ ἔσοιτο, διαπέμπουσιν[4] εἰς τὰς ἐσχατιὰς
ὅσον πεντεκαίδεκα στάδια ἀπὸ Φυλῆς τούς τε Λακωνικοὺς
πλὴν ὀλίγων φρουροὺς καὶ τῶν ἱππέων δύο φυλάς[5].
Οὗτοι δὲ στρατοπεδευσάμενοι ἐν χωρίῳ λασίῳ[6] ἐφύ-
λαττον. Ὁ δὲ Θρασύβουλος, ἤδη συνειλεγμένων εἰς τὴν 5
Φυλὴν περὶ[7] ἑπτακοσίους, λαβὼν αὐτοὺς καταβαίνει
τῆς νυκτός· θέμενος δὲ τὰ ὅπλα[8] ὅσον τρία ἢ τέτταρα
στάδια ἀπὸ τῶν φρουρῶν[9] ἡσυχίαν εἶχεν. Ἐπεὶ δὲ πρὸς 6
ἡμέραν ἐγίγνετο[10], καὶ ἤδη ἀνίσταντο[11] ὅποι ἐδεῖτο
ἕκαστος ἀπὸ τῶν ὅπλων, καὶ οἱ ἱπποκόμοι ψήχοντες[12]
τοὺς ἵππους ψόφον ἐποίουν, ἐν τούτῳ[13] ἀναλαβόντες οἱ
περὶ Θρασύβουλον τὰ ὅπλα δρόμῳ προσέπιπτον[14]· καὶ
ἔστι μὲν οὓς[15] αὐτῶν κατέβαλον, πάντας δὲ τρεψάμενοι[16]
ἐδίωξαν ἓξ ἢ ἑπτὰ στάδια, καὶ ἀπέκτειναν τῶν μὲν ὁπλι-
τῶν πλέον ἢ εἴκοσι καὶ ἑκατόν, τῶν δὲ ἱππέων Νικό-
στρατόν τε τὸν καλὸν ἐπικαλούμενον, καὶ ἄλλους δὲ
δύο, ἔτι καταλαβόντες ἐν ταῖς εὐναῖς[17]. Ἐπαναχωρή- 7

---

[1]) Ὑπὸ τῶν ἐκ Φυλῆς ὁρμηθέντων, δηλ. οἱ περὶ τὸν Θρασύβουλον. [2]) Οἱ 30. [3]) Οἱ ἑταῖροι τοῦ Θρασυβ. [4]) Διασκορπίζουσι. [5]) Τοὺς ἱππεῖς δύω φυλῶν (ἐκ τῶν δέκα, εἰς ἃς διῃρεῖτο ὁ στρατὸς τῶν Ἀθηναίων. [6]) Λάσιος = δασύς, (ἐπομ. ἐπὶ τόπου,) κατάφυτος. Κατὰ τὸν Διόδωρον τὸ χωρίον αὐτὸ ἦτο αἱ Ἀχαρναί. [7]) Περίπου, ὡς ἔγγιστα. [8]) Στρατοπεδεύσει. [9]) Τῶν Λακωνικῶν. [10]) Πρὸς ἡμέραν ἐγίγνετο: (ἀπροσώπως) = ἅμα ἐξημέρωνε. [11]) Βραχυλ. ἀνίσταντο καὶ ἐπορεύοντο ὅποι κτλ. [12]) Καθαρίζοντες διὰ τῆς ψήκτρας (= ξύστρας). [13]) Ἐν τῷ μεταξύ. [14]) Δρομαίως ἐπέπιπτον κατ' αὐτῶν. [15]) Ἔστιν οὓς = τινάς. [16]) Τρέψαντες εἰς φυγήν. [17]) Ἐνν. ὄντας. Εὐνὴ = κρεββάτι. Ἐν ταῖς εὐναῖς ὄντας = κοιμωμένους.

σαντες[1] δὲ καὶ τρόπαιον στησάμενοι καὶ συσκευασάμενοι[2] ὅπλα τε ὅσα ἔλαβον καὶ σκεύη ἀπῆλθον ἐπὶ Φυλῆς. Οἱ δὲ ἐξ ἄστεως ἱππεῖς βοηθήσαντες[3] τῶν μὲν πολεμίων οὐδένα ἔτι[4] εἶδον, προσμείναντες δὲ ἕως τοὺς νεκροὺς ἀνείλοντο οἱ προσήκοντες ἀνεχώρησαν εἰς ἄστυ.
8 Ἐκ δὲ τούτου οἱ τριάκοντα, οὐκέτι νομίζοντες ἀσφαλῆ σφίσι τὰ πράγματα, ἐβουλήθησαν Ἐλευσῖνα ἐξιδιώσασθαι[5], ὥστε εἶναι[6] σφίσι καταφυγήν[7], εἰ δεήσειε. Καὶ παραγγείλαντες[8] τοῖς ἱππεῦσιν ἦλθον εἰς Ἐλευσῖνα Κριτίας τε καὶ οἱ ἄλλοι τριάκοντα· ἐξέτασίν τε ποιήσαντες[9] ἐν τοῖς ἱππεῦσι[10], φάσκοντες εἰδέναι βούλεσθαι πόσοι εἶεν καὶ πόσης φυλακῆς προσδεήσοιντο, ἐκέλευον ἀπογράφεσθαι[11] πάντας· τὸν δὲ ἀπογραψάμενον ἀεὶ[12] διὰ τῆς πυλίδος ἐπὶ τὴν θάλατταν ἐξιέναι. Ἐπὶ δὲ τῷ αἰγιαλῷ τοὺς μὲν ἱππέας ἔνθεν καὶ ἔνθεν κατέστησαν, τὸν δ' ἐξιόντα[13] ἀεὶ οἱ ὑπηρέται συνέδουν. Ἐπεὶ δὲ πάντες συνειλημμένοι ἦσαν, Λυσίμαχον τὸν ἵππαρχον ἐκέλευον ἀναγαγόντα[14] παραδοῦναι αὐτοὺς τοῖς
9 ἕνδεκα[15]. Τῇ δ' ὑστεραίᾳ εἰς τὸ Ὠδεῖον[16] παρεκάλε

1) Ἐπιστρέψαντες δ' ὅθεν ἀνεχώρησαν. 2) Συνάξαντες. 3) Τρέξαντες εἰς βοήθειαν. 4) Πλέον. 5) Ἐξιδιώσασθαι = ἐντελῶς ἰδίαν (ἰδικήν των) ποιήσασθαι. 6) Τὸ ὥστε συντάσσεται μετ' ἀπαρεμφ. ὅταν τὸ ἀποτέλεσμα θεωρῆται ὡς ἐκτελέσιμον. 7) Ὥστε νὰ τοῖς χρησιμεύσῃ (ἡ Ἐλευσὶς) ὡς καταφύγιον, ἐὰν λάβωσιν ἀνάγκην (εἰ δεήσειε). 8) Ἐνν. ἐλθεῖν. 9) Ἐνν. τῶν Ἐλευσινίων. 10) Ὑπὸ τὴν φυλακὴν τῶν ἱππέων. 11) Ἀπογράφεσθαι = γράφειν ἑαυτοὺς ἐν καταλόγῳ. 12) Ἑκάστοτε. 13) Ἐνν. διὰ τῆς πυλίδος. 14) Ἀφοῦ τοὺς φέρῃ εἰς τὰς Ἀθήνας. 15) Οἱ ἕνδεκα ἦσαν ἐν Ἀθήναις ἄρχοντες, εἰς οὓς παρεδίδοντο οἱ εἰς θάνατον καταδικαζόμενοι πρὸς ἐκτέλεσιν τῆς ποινῆς. 16) Τὸ Ὠδεῖον ἦτο πολύεδρον καὶ πολύστυλον οἰκοδόμημα, ἔχον σχῆμα περσικῆς σκηνῆς, κτισθὲν ὑπὸ τοῦ Περικλέους εἰς τὸ ΜΑ. μέρος τῶν προπόδων

σαν[1] τοὺς ἐν τῷ καταλόγῳ ὁπλίτας καὶ τοὺς ἄλλους[2] ἱππέας. Ἀναστὰς δὲ Κριτίας ἔλεξεν· Ἡμεῖς, ἔφη, ὦ ἄνδρες, οὐδὲν ἧττον ὑμῖν κατασκευάζομεν τὴν πολιτείαν ἢ ἡμῖν αὐτοῖς. Δεῖ οὖν ὑμᾶς, ὥσπερ καὶ τιμῶν μεθέξετε, οὕτω καὶ τῶν κινδύνων μετέχειν. Τῶν οὖν συνειλημμένων Ἐλευσινίων καταψηφιστέον ἐστὶν, ἵνα ταὐτὰ ἡμῖν καὶ θαρρῆτε καὶ φοβῆσθε[3]. Δείξας δέ τι χωρίον[4], εἰς τοῦτο ἐκέλευε φανερὰν φέρειν τὴν ψῆφον. Οἱ δὲ Λα- 10
κωνικοὶ φρουροὶ ἐν τῷ ἡμίσει[5] τοῦ Ὠδείου ἐξωπλισμένοι ἦσαν· ἦν δὲ ταῦτα ἀρεστὰ καὶ τῶν πολιτῶν οἷς τὸ πλεονεκτεῖν μόνον ἔμελεν.

Ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυλῆς περὶ χιλίους ἤδη συνειλεγμένους, ἀφικνεῖται τῆς νυκτὸς εἰς τὸν Πειραιᾶ. Οἱ δὲ τριάκοντα ἐπεὶ ᾔσθοντο ταῦτα, εὐθὺς ἐβοήθουν σύν τε τοῖς Λακωνικοῖς καὶ σὺν τοῖς ἱππεῦσι καὶ τοῖς ὁπλίταις· ἔπειτα ἐχώρουν 11
κατὰ τὴν εἰς τὸν Πειραιᾶ ἁμαξιτὸν[6] ἀναφέρουσαν. Οἱ δὲ ἀπὸ Φυλῆς ἔτι μὲν[7] ἐπεχείρησαν μὴ ἀνιέναι[8] αὐτοὺς, ἐπεὶ δὲ μέγας ὁ κύκλος[9] ὢν πολλῆς φυλακῆς ἐδόκει δεῖσθαι οὔπω πολλοῖς οὖσι, συνεσπειράθησαν[10] ἐπὶ τὴν Μουνυχίαν. Οἱ δ' ἐκ τοῦ ἄστεως εἰς τὴν Ἱπποδάμειον[11] ἀγορὰν ἐλθόντες πρῶτον μὲν συνετάξαντο, ὥστε ἐμπλῆσαι τὴν ὁδὸν ἣ φέρει πρός τε τὸ ἱερὸν τῆς Μουνυ-

---

τῆς Ἀκροπόλεως Ἀθηνῶν καὶ χρησιμεῦον εἰς μουσικοὺς ἀγῶνας. [1]) Προσεκάλεσαν. [2]) Ἐνν. τοὺς ὄντας (ἱππέας). [3]) Διὰ νὰ ἔχητε τὸ αὐτὸ μὲ ἡμᾶς θάρρος καὶ τὸν αὐτὸν φόβον. [4]) Μέρος τι ἐν τῷ Ὠδείῳ. [5]) Ἐνν. μέρει. [6]) Ἐνν. ὁδὸν τὴν δι' ἁμαξῶν βατήν. [7]) Ἔτι μὲν = ἐπί τινα μὲν καιρόν. [8]) Νὰ μὴ ἀφήσωσιν αὐτοὺς ν' ἀναβῶσι. [9]) Ὁ κύκλος τοῦ περὶ τὸν Πειραιᾶ τείχους. [10]) Συνεκεντρώθησαν. [11]) Ἐκ τοῦ Ἱπποδάμου τοῦ Μιλη-

χίας Ἀρτέμιδος καὶ τὸ Βενδίδειον[1]· καὶ ἐγένετο βάθος οὐκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα ἀσπίδων. Οὕτω δὲ συν-
12 τεταγμένοι ἐχώρουν ἄνω. Οἱ δὲ ἀπὸ Φυλῆς ἀντενέπλησαν[2] μὲν τὴν ὁδὸν, βάθος δὲ οὐ πλέον ἢ εἰς δέκα ὁπλίτας ἐγένοντο. Ἐτάχθησαν μέντοι ἐπ' αὐτοῖς[3] πελτοφόροι[4] τε καὶ ψιλοὶ ἀκοντισταὶ, ἐπὶ δὲ τούτοις οἱ πετροβόλοι. Οὗτοι μέντοι συχνοὶ[5] ἦσαν· καὶ γὰρ αὐτόθεν προσεγένοντο. Ἐν ᾧ δὲ προσῇσαν οἱ ἐναντίοι, Θρασύβουλος τοὺς μεθ' αὑτοῦ θέσθαι κελεύσας τὰς ἀσπίδας καὶ αὐτὸς θέμενος[6], τὰ δ' ἄλλα ὅπλα ἔχων, κατὰ μέ-
13 σον στὰς ἔλεξεν· Ἄνδρες πολῖται, τοὺς μὲν διδάξαι, τοὺς δὲ ἀναμνῆσαι ὑμῶν βούλομαι ὅτι εἰσὶ[7] τῶν προσιόντων οἱ μὲν τὸ δεξιὸν ἔχοντες οὓς ὑμεῖς ἡμέραν πέμπτην[8] τρεψάμενοι ἐδιώξατε, οἱ δ' ἐπὶ τοῦ εὐωνύμου ἔσχατοι, οὗτοι δὴ οἱ τριάκοντα, οἳ ἡμᾶς καὶ πόλεως ἀπεστέρουν οὐδὲν ἀδικοῦντας καὶ οἰκιῶν ἐξήλαυνον καὶ τοὺς φιλτάτους τῶν ἡμετέρων ἀπεσημαίνοντο[9]. Ἀλλὰ νῦν τοι[10] παραγεγένηνται οὗ[11] οὗτοι μὲν οὔποτε
14 ᾤοντο, ἡμεῖς δὲ ἀεὶ ηὐχόμεθα. Ἔχοντες γὰρ ὅπλα ἐναντίοι μὲν αὐτοῖς καθέσταμεν· οἱ δὲ θεοὶ, ὅτι[12] ποτὲ καὶ δειπνοῦντες συνελαμβανόμεθα καὶ καθεύδοντες καὶ ἀγο-

σίου, ὅστις ἐρρυμοτόμησε τὸν Πειραιᾶ καὶ διεκόσμησε τὴν ἀγοράν.
1) Βενδίδειον ἦτο ἱερὸν τῆς Ἀρτέμιδος Βενδῖδος, θεᾶς Θρακικῆς. 2) Ἡ ἀντὶ σημ. τὸ ἐπίσης. Ἐνέπλησαν καὶ αὐτοὶ ἐπίσης. 3) Ὄπισθεν αὐτῶν. 4) Οἱ φέροντες πέλτην, ἤτοι μικρὰν ἐλαφρὰν καὶ κυκλικὴν ἀσπῖδα. 5) Πολλοί. 6) Ἐνν. τὴν ἑαυτοῦ ἀσπίδα. 7) Ἡ σύνταξις, ἔχει οὕτω: (ἐκ) τῶν προσιόντων οἱ τὸ δεξιὸν (κέρας) ἔχοντές εἰσιν (ἐκεῖνοι), οὓς ὑμεῖς ἐδιώξατε. 8) Πρὸ 4 ἡμερῶν. 9) Ἀπεσημαίνοντο = ἐδήμευον (τοὺς φιλτ.) ὡς νὰ ἦσαν πράγματα, (ἐπομ.) τοὺς κατεδίκαζον εἰς θάνατον. 10) Ἀναμφιβόλως. 11) Οὗ = ἐκεῖ ὅπου (ἐπίρ. τοπ.). 12) Διότι.

ράζοντες[1], οἱ δὲ[2] καὶ οὐχ ὅπως[3] ἀδικοῦντες, ἀλλ' οὐδ' ἐπιθυμοῦντες ἐφυγαδευόμεθα, νῦν φανερῶς ἡμῖν συμμαχοῦσι. Καὶ γὰρ ἐν εὐδίᾳ[4] χειμῶνα ποιοῦσιν, ὅταν ἡμῖν συμφέρῃ, καὶ ὅταν ἐγχειρῶμεν, πολλῶν ὄντων
15 ἐναντίων ὀλίγοις οὖσι[5] τρόπαια ἵστασθαι διδόασι· καὶ νῦν δὲ κεκομίκασιν ἡμᾶς εἰς χωρίον ἐν ᾧ οὗτοι μὲν οὔτε βάλλειν οὔτε ἀκοντίζειν ὑπὲρ[6] τῶν προτεταγμένων διὰ τὸ πρὸς ὄρθιον ἰέναι[7] δύναιντ' ἄν, ἡμεῖς δὲ εἰς τὸ κάταντες[8] καὶ δόρατα ἀφιέντες καὶ ἀκόντια καὶ πέτρους ἐξιξόμεθά[9] τε αὐτῶν καὶ πολλοὺς κατατρώσομεν.
16 Καὶ ᾤετο μὲν ἄν τις δεήσειν[10] τοῖς γε προτοστάταις ἐκ τοῦ ἴσου[11] μάχεσθαι· νῦν δ', ἐὰν ὑμεῖς, ὥσπερ προσήκει, προθύμως ἀφιῆτε τὰ βέλη, ἁμαρτήσεται[12] μὲν οὐδεὶς ὧν[13] γε μεστὴ ἡ ὁδός, φυλαττόμενοι δὲ δραπετεύσουσιν[14] ἀεὶ ὑπὸ ταῖς ἀσπίσιν· ὥστε ἐξέσται ὥσπερ τυφλοὺς[15] καὶ τύπτειν ὅπου ἂν βουλώμεθα καὶ ἐναλλομένους[16] ἀνατρέπειν.
17 Ἀλλ', ὦ ἄνδρες, οὕτω χρὴ ποιεῖν ὅπως ἕκαστός τις[17] ἑαυτῷ συνείσεται[18] τῆς νίκης αἰτιώτατος ὤν. Αὕτη γὰρ

---

[1]) Ἀγοράζοντες=ὄντες (διατρίβοντες) ἐν τῇ ἀγορᾷ. [2]) Οἱ δὲ =τινὲς δέ. [3]) Οὐχ ὅπως.... ἀλλ' οὐδ=οὐ μόνον μὴ ἀδικοῦντες, ἀλλ' οὐδ' ἐν Ἀθ. διατρίβοντες. [4]) Ἐνν. ἡμέρᾳ. [5]) Ἡμῖν. [6]) Ὑπεράνω. [7]) Διὰ τὸ ὅτι βαδίζουσιν ἐκ τῶν κάτω πρὸς τὰ ἄνω (πρὸς τὸ ὄρθιον, πρὸς τὸ ἄναντες). [8]) Τὸ ἀντίθ. τοῦ ἄναντες, ἐκ τῶν ἄνω πρὸς τὰ κάτω, ἐπειδὴ εὑρίσκοντο ἐπὶ τοῦ λόφου τῆς Μουνυχίας. [9]) Μέλ. τοῦ ἐξικνέομαι. [10]) Δεήσειν... ἂν = ὅτι δεήσειεν ἂν (ἐνν. ἡμῖν). Ἐτέθη κατ' ἀπαρεμφ. ὡς ἐξηρτημένον ἐκ τοῦ ᾤετό τις. [11]) Ἐκ τοῦ ἴσου= ἐπὶ τοῦ αὐτοῦ ἐδάφους. [12]) Οὐχ ἁμαρτάνω=ἐπιτυγχάνω. [13]) Αὐτῶν, ὧν. [14]) Θέλουσι κρυβῇ. [15]) Ὥσπερ τυφλούς, καθὸ κεκρυμμένους ὑπὸ τὰς ἀσπίδας. [16]) Πηδῶντας κατ' ἐπάνω των. [17]) Πᾶς τις. [18]) Μέλ. τοῦ σύνοιδα. Θὰ ἔχῃ τὴν συνείδησιν ὅτι αὐτὸς θὰ εἶνε ὁ κύριος αἴτιος τῆς νίκης.

ἡμῖν, ἂν θεὸς θέλῃ, νῦν ἀποδώσει καὶ πατρίδα καὶ οἴκους καὶ ἐλευθερίαν καὶ τιμὰς καὶ παῖδας, οἷς εἰσὶ, καὶ γυναῖκας. Ὦ μακάριοι δῆτα, οἳ ἂν ἡμῶν[1] νικήσαντες ἐπίδωσι τὴν πασῶν ἡδίστην ἡμέραν. Εὐδαίμων δὲ καὶ ἄν τις ἀποθάνῃ· μνημείου γὰρ οὐδεὶς οὕτω πλούσιος ὢν καλοῦ τεύξεται. Ἐξάρξω[2] μὲν οὖν ἐγὼ ἡνίκ' ἂν καιρὸς ᾖ παιᾶνα· ὅταν δὲ τὸν Ἐνυάλιον[3] παρακαλέσομεν, τότε πάντες ὁμοθυμαδὸν ἀνθ' ὧν ὑβρίσθημεν τιμωρώμεθα[4] τοὺς ἄνδρας.

18 Ταῦτα δ' εἰπὼν καὶ μεταστραφεὶς πρὸς τοὺς ἐναντίους ἡσυχίαν εἶχε· καὶ γὰρ ὁ μάντις[5] παρήγγελλεν αὐτοῖς μὴ πρότερον ἐπιτίθεσθαι, πρὶν τῶν -ρων ἢ πέσοι τις ἢ τρωθείη· ἐπειδὰν μέν τοι τοῦτο γένηται, ἡγησόμεθα μὲν, ἔφη, ἡμεῖς, νίκη δὲ ὑμῖν ἔσται επο-
19 μένοις, ἐμοὶ μέντοι θάνατος, ὥς γ' ἐμοὶ δοκεῖ. Καὶ οὐκ ἐψεύσατο, ἀλλ' ἐπεὶ ἀνέλαβον τὰ ὅπλα, αὐτὸς μὲν ὥσπερ ὑπὸ μοίρας τινὸς ἀγόμενος ἐκπηδήσας πρῶτος ἐμπεσὼν τοῖς πολεμίοις ἀποθνήσκει, καὶ τέθαπται ἐν τῇ διαβάσει τοῦ Κηφισοῦ[6]· οἱ δ' ἄλλοι ἐνίκων καὶ κατεδίωξαν μέχρι τοῦ ὁμαλοῦ[7]. Ἀπέθανον δ' ἐνταῦθα τῶν μὲν τριάκοντα Κριτίας τε καὶ Ἱππόμαχος, τῶν δὲ ἐν Πειραιεῖ δέκα ἀρχόντων[8] Χαρμίδης ὁ Γλαύκωνος, τῶν

---

[1]) Ὅσοι ἐξ ἡμῶν ἐπίδωσιν (=ἐπιζησωσι νὰ ἴδουν. [2]) Ἐξάρξω... παιᾶνα=θὰ κάμω ἐγὼ τὴν ἀρχὴν (νὰ ψάλλω) τοῦ πολεμικοῦ ᾄσματος. [3]) Ἐνυάλιος ἀπεκαλεῖτο ὁ Θεὸς τοῦ πολέμου Ἄρης, πρὸς ὃν ἀνέκραζον μετὰ τὸ πολεμ. ᾆσμα ἐλελεῦ. [4]) Ἐκδικηθῶμεν. [5]) Τὸν στρατὸν παρηκολούθει πάντοτε ὁ μάντις. [6]) Ποταμὸς τῆς Ἀττικῆς χυνόμενος εἰς Φάληρον. [7]) Τῆς πεδιάδος. [8]) Οἱ ἐν Πειραιεῖ δέκα ἄρχοντες ὑπήκουον τοῖς 30 κ' ἐ- τέλουν τὰ ψηφίσματα αὐτῶν.

δ' ἄλλων περὶ ἑβδομήκοντα. Καὶ τὰ μὲν ὅπλα ἔλαβον,
τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν[1]. Ἐπεὶ
δὲ τοῦτο ἐγένετο καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπε-
δίδοσαν, προσιόντες ἀλλήλοις[2] πολλοὶ διελέγοντο. Κλε- 20
όκριτος δὲ ὁ τῶν μυστῶν[3] κῆρυξ[4], μάλ' εὔφωνος ὤν,
κατασιωπησάμενος ἔλεξεν· Ἄνδρες πολῖται, τί ἡμᾶς
ἐξελαύνετε; Τί ἀποκτεῖναι βούλεσθε; Ἡμεῖς γὰρ ὑμᾶς
κακὸν μὲν οὐδὲν πώποτε ἐποιήσαμεν, μετεσχήκαμεν δὲ
ὑμῖν καὶ ἱερῶν τῶν σεμνοτάτων καὶ θυσιῶν καὶ ἑορτῶν
τῶν καλλίστων, καὶ συγχορευταὶ καὶ συμφοιτηταὶ γεγε-
νήμεθα καὶ συστρατιῶται, καὶ πολλὰ μεθ' ὑμῶν κεκινδυ-
νεύκαμεν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑπὲρ τῆς κοι-
νῆς ἀμφοτέρων ἡμῶν σωτηρίας τε καὶ ἐλευθερίας. Πρὸς 21
θεῶν πατρῴων καὶ μητρῴων καὶ συγγενείας καὶ κηδε-
στίας[5] καὶ ἑταιρίας, πάντων γὰρ τούτων πολλοὶ κοινω-
νοῦμεν ἀλλήλοις, αἰδούμενοι καὶ θεοὺς καὶ ἀνθρώπους
παύσασθε ἁμαρτάνοντες εἰς τὴν πατρίδα, καὶ μὴ πείθε-
σθε τοῖς ἀνοσιωτάτοις τριάκοντα, οἳ ἰδίων κερδέων ἕνεκα
ὀλίγου δεῖν πλείους ἀπεκτόνασιν Ἀθηναίων ἐν ὀκτὼ μη-
σὶν ἢ πάντες Πελοποννήσιοι δέκα ἔτη πολεμοῦντες·
Ἐξὸν δ' ἡμῖν ἐν εἰρήνῃ πολιτεύεσθαι, οὗτοι τὸν πάντων 22
αἴσχιστόν τε καὶ χαλεπώτατον καὶ ἀνοσιώτατον καὶ ἔχθι-
στον καὶ θεοῖς καὶ ἀνθρώποις πόλεμον[6] ἡμῖν πρὸς ἀλλή-

---

1) Σκυλεύω = ἀφαιρῶ τὰ σκῦλα (ἤτοι ὅπλα, ἐνδύματα κτλ.) τοῦ φονευθέντος ἐχθροῦ. 2) Δηλ. ἐκ τῶν δύο ἀγωνισθέντων στρατοπέδων. 3) Μῦσται ἐκαλοῦντο οἱ μυούμενοι τὰ μικρὰ Ἐλευσίνια μυστήρια, ἐπόπται δὲ οἱ τὰ μεγάλα. 4) Οἱ τὰ Ἐλευσίνια τελοῦντες ἱερεῖς ἦσαν τέσσαρες, ὁ ἱεροφάντης, ὁ κῆρυξ, ὁ δᾳδοῦχος καὶ ὁ ἐπὶ τοῦ βωμοῦ. 5) Συγγενείας ἐκ γάμου, κοιν. συμπεθεριᾶς. 6) Ἐννοεῖ τὸν ἐμφύλιον πόλεμον.

λους παρέχουσιν. Ἀλλ' εὖ γε μέντοι ἐπίστασθε ὅτι καὶ τῶν νῦν ὑφ' ἡμῶν ἀποθανόντων οὐ μόνον ὑμεῖς ἀλλὰ καὶ ἡμεῖς ἔστιν οὓς πολλὰ[1] κατεδακρύσαμεν.

Ὁ μὲν τοιαῦτα ἔλεγεν· οἱ δὲ λοιποὶ[2] ἄρχοντες καὶ
διὰ τὸ τοιαῦτα προσακούειν[3] τοὺς μεθ' αὐτῶν ἀπήγα-
23 γον εἰς τὸ ἄστυ. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν τριάκοντα πάνυ
δὴ[4] ταπεινοὶ καὶ ἔρημοι συνεκάθηντο ἐν τῷ συνεδρίῳ·
τῶν δὲ τρισχιλίων ὅπου ἕκαστοι τεταγμένοι ἦσαν, πανταχοῦ διεφέροντο[5] πρὸς ἀλλήλους. Ὅσοι μὲν γὰρ ἐπεποιήκεσάν τι βιαιότερον καὶ[6] ἐφοβοῦντο, ἐντόνως ἔλεγον ὡς οὐ χρείη καθυφίεσθαι[7] τοῖς ἐν Πειραιεῖ[8]· ὅσοι δὲ ἐπίστευον μηδὲν ἠδικηκέναι, αὐτοί τε ἀνελογίζοντο καὶ τοὺς ἄλλους ἐδίδασκον[9] ὡς οὐδὲν δέοιντο τούτων τῶν κακῶν, καὶ τοῖς τριάκοντα οὐκ ἔφασαν χρῆναι πείθεσθαι οὐδ' ἐπιτρέπειν ἀπολλύναι τὴν πόλιν. Καὶ τὸ τελευταῖον ἐψηφίσαντο ἐκείνους[10] μὲν καταπαῦσαι[11], ἄλλους δὲ ἑλέσθαι. Καὶ εἵλοντο δέκα, ἕνα ἀπὸ φυλῆς.

24 Καὶ οἱ μὲν τριάκοντα Ἐλευσῖνάδε ἀπῆλθον· οἱ δὲ
δέκα τῶν ἐν ἄστει[12] καὶ μάλα τεταραγμένων καὶ ἀπιστούντων ἀλλήλοις σὺν τοῖς ὑπάρχοις[13] ἐπεμέλοντο. Ἐξεκά-

---

1) Συστοιχ. ἀντικμ. = πολλὰ δάκρυα. 2) Ὅσοι ἐκ τῶν 30 ἐπέζησαν μετὰ τὴν μάχην. 3) Διὰ τὸ ὅτι ἤκουον προσέτι (ἐκτὸς τῆς ἥττης δηλ. ἣν ἔπαθον) οἱ μεθ' ἑαυτῶν τοιούτους λόγους (τοιαῦτα). 4) Δὴ = κατὰ συνέπειαν. 5) Ἐδιχογνώμουν, ἐφιλονείκουν. 6) Διὰ τοῦτο. 7) Καθ-υφ-ίεσθαι = ὑποχωρεῖν. 8) Οἱ ἐν Πειραιεῖ, ἤτοι οἱ περὶ τὸν Θρασύβ. κληθέντες οὕτω ἀφότου κατέλαβον τὸν Πειραιᾶ, ἐνῷ ἀνωτέρω καλοῦνται οἱ ἐν Φυλῇ. 9) Ἐζήτουν νὰ πείσωσι. 10) Τοὺς 30. 11) Ἐνν. τῆς ἀρχῆς. 12) Τῶν τρισχιλίων. 13) Ἵππαρχοι ἦσαν δύο ἀρχηγοὶ τοῦ ἱππικοῦ ἐν Ἀθήναις ὑπὸ τὰς διαταγὰς τῶν 10 στρατηγῶν, προϊστάμενοι δὲ τῶν δέκα φυλάρχων, ἤτοι τῶν διοικητῶν

θευδον[1] δὲ καὶ οἱ ἱππεῖς ἐν τῷ Ὠιδείῳ, τούς τε ἵππους
καὶ τὰς ἀσπίδας[2] ἔχοντες, καὶ δι' ἀπιστίαν ἐφώδευον[3]
τὸ μὲν ἀφ' ἑσπέρας σὺν ταῖς ἀσπίσι[4] κατὰ τὰ τείχη, τὸ
δὲ πρὸς ὄρθρον σὺν τοῖς ἵπποις[5], ἀεὶ φοβούμενοι μὴ ἐπεισ-
πέσοιέν τινες αὐτοῖς τῶν ἐκ τοῦ Πειραιῶς. Οἱ δὲ[6] πολ- 25
λοί τε ἤδη ὄντες καὶ παντοδαποί, ὅπλα ἐποιοῦντο, οἱ
μὲν ξύλινα, οἱ δὲ οἰσύινα[7], καὶ ταῦτα ἐλευκοῦντο[8].
Πρὶν δὲ ἡμέρας δέκα γενέσθαι, πιστὰ δόντες[9], οἵτινες
συμπολεμήσειαν, καὶ εἰ ξένοι εἶεν, ἰσοτέλειαν[10] ἔσεσθαι,
ἐξῆσαν πολλοὶ μὲν ὁπλῖται, πολλοὶ δὲ γυμνῆτες· ἐγέ-
νοντο δὲ αὐτοῖς καὶ ἱππεῖς ὡς εἰ ἑβδομήκοντα· προνο-
μὰς δὲ ποιούμενοι, καὶ λαμβάνοντες ξύλα καὶ ὀπώραν,
ἐκάθευδον πάλιν ἐν Πειραιεῖ. Τῶν δ' ἐκ τοῦ ἄστεως 26
ἄλλος μὲν οὐδεὶς σὺν ὅπλοις ἐξῄει, οἱ δὲ ἱππεῖς ἔστιν
ὅτε καὶ λῃστὰς ἐχειροῦντο[11] τῶν ἐκ τοῦ Πειραιῶς, καὶ
τὴν φάλαγγα αὐτῶν ἐκακούργουν[12]. Περιέτυχον δὲ καὶ
τῶν Αἰξωνέων[13] τισὶν εἰς τοὺς αὐτῶν ἀγροὺς ἐπὶ τὰ
ἐπιτήδεια πορευομένοις· καὶ τούτους Λυσίμαχος ὁ ἵπ-
παρχος ἀπέσφαξε, πολλὰ λιτανεύοντας[14] καὶ πολλῶν 27
χαλεπῶς φερόντων[15] ἱππέων. Ἀνταπέκτειναν δὲ καὶ οἱ

τοῦ ἱππικοῦ ἑκάστης φυλῆς. 1) Ἐκοιμῶντο ἔξω, ἐπομ. ἐφύλαττον ὡς νυκτοφύλακες. 2) Τοὺς ἵππους καὶ τὰς ἀσπίδας = τὸ ἱππικὸν καὶ τὸ πεζικόν. 3) Περιεπόλουν ὡς φύλακες. 4) Πεζοί. 5) Ἔφιπποι. 6) Δηλ. οἱ ἐν Πειραιεῖ δημοκρατικοί. 7) ἐξ οἰσύας = λιγαριᾶς. 8) Ἐκάλυπτον διὰ λευκοῦ περικαλύμματος πρὸς διάκρισιν ἀπὸ τὰ τῶν ἀντιπάλων των. 9) Ἐνόρκως ὑποσχεθέντες. 10) Ἰσοτέλειαν (= ἰσότητα δικαιωμ. ὡς καὶ οἱ πολῖται) ἔσεσθαι ἐξαρτ. ἐκ τοῦ πιστὰ δόντες. 11) Συνελάμβανον. 12) Ἔβλαπτον. 13) Τῶν ἐκ τοῦ δήμου Αἰξώνης πρὸς τὰ μεσημβρινὰ παράλια τῶν Ἀθηνῶν. 14) Ἂν καὶ πολὺ παρεκάλουν. 15) Χαλεπῶς φερόντων = ἀγανακτούντων.

ἐν Πειραιεῖ τῶν ἱππέων ἐπ' ἀγροῦ λαβόντες Καλλίστρατον φυλῆς Λεοντίδος. Καὶ γὰρ ἤδη μέγα ἐφρόνουν, ὥστε καὶ πρὸς τὸ τεῖχος τοῦ ἄστεως προσέβαλλον. Εἰ δὲ καὶ τοῦτο δεῖ εἰπεῖν τοῦ μηχανοποιοῦ τοῦ ἐν τῷ ἄστει[1], ὃς ἐπεὶ ἔγνω ὅτι κατὰ τὸν ἐκ Λυκείου δρόμον μέλλοιεν[2] τὰς μηχανὰς προσάγειν, τὰ ζεύγη[3] ἐκέλευσε πάντα ἁμαξιαίους λίθους ἄγειν καὶ καταβάλλειν ὅπου ἕκαστος βούλοιτο τοῦ δρόμου[4]. Ὡς δὲ τοῦτο ἐγένετο,
28 πολλὰ εἷς ἕκαστος τῶν λίθων πράγματα παρεῖχε[5]. Πεμπόντων δὲ πρέσβεις εἰς Λακεδαίμονα τῶν μὲν τριάκοντα ἐξ Ἐλευσῖνος, τῶν δ' ἐν τῷ καταλόγῳ ἐξ ἄστεως, καὶ βοηθεῖν κελευόντων, ὡς ἀφεστηκότος τοῦ δήμου ἀπὸ Λακεδαιμονίων, Λύσανδρος λογισάμενος ὅτι οἷόν τε εἴη ταχὺ ἐκπολιορκῆσαι τοὺς ἐν τῷ Πειραιεῖ κατά τε γῆν καὶ κατὰ θάλατταν, εἰ τῶν ἐπιτηδείων ἀποκλεισθείησαν, συνέπραξεν ἑκατόν τε τάλαντα αὐτοῖς[6] δανει-
29 σθῆναι, καὶ αὐτὸν μὲν κατὰ γῆν ἁρμοστήν, Λίβυν δὲ τὸν ἀδελφὸν ναυαρχοῦντα ἐκπεμφθῆναι. Καὶ ἐξελθὼν αὐτὸς μὲν Ἐλευσῖνάδε συνέλεγον ὁπλίτας πολλοὺς Πελοποννησίους· ὁ δὲ ναύαρχος κατὰ θάλατταν ἐφύλαττεν ὅπως μηδὲν εἰσπλέοι αὐτοῖς[7] τῶν ἐπιτηδείων· ὥστε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πειραιεῖ, οἱ δ' ἐν τῷ ἄστει πάλιν αὖ μέγα ἐφρόνουν ἐπὶ τῷ Λυσάνδρῳ. Οὕτω δὲ

---

[1]) Τοῦ μηχανικοῦ τῆς πόλεως. [2]) Εἶχον κατὰ νοῦν οἱ ἐν Πειραιεῖ. [3]) Τὰς ἁμάξας (τὰς ὑπὸ δύω ἵππων συρομένας). [4]) Ὅπου τοῦ δρόμου = εἰς ὅποιον μέρος τῆς ὁδοῦ. [5]) Παρέχω πράγματα = προξενῶ ἐμπόδια, ἐνοχλῶ. Λαμβάνω ἢ ἔχω πράγματα = ἔχω ὁ ἴδιος ἐνοχλήσεις. [6]) Τοῖς πρέσβεσι. [7]) Τοῖς ἐν Πειραιεῖ.

προχωρούντων[1] Παυσανίας ὁ βασιλεὺς φθονήσας Λυσάνδρῳ, εἰ κατειργασμένος ταῦτα ἅμα μὲν εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσοιτο τὰς Ἀθήνας, πείσας τῶν ἐφόρων τρεῖς ἐξάγει φρουράν. Συνείποντο δὲ καὶ οἱ σύμ- 30
μαχοι πάντες πλὴν Βοιωτῶν καὶ Κορινθίων· οὗτοι δὲ ἔλεγον μὲν ὅτι οὐ νομίζοιεν εὐορκεῖν ἂν στρατευόμενοι[2] ἐπ' Ἀθηναίους μηδὲν παράσπονδον[3] ποιοῦντας· ἔπραττον δὲ ταῦτα, ὅτι[4] ἐγίγνωσκον Λακεδαιμονίους βουλομένους τὴν τῶν Ἀθηναίων χώραν οἰκείαν καὶ πιστὴν ποιήσασθαι. Ὁ δὲ Παυσανίας ἐστρατοπεδεύσατο μὲν ἐν τῷ Ἁλιπέδῳ[5] καλουμένῳ πρὸς τῷ Πειραιεῖ δεξιὸν ἔχων κέρας, Λύσανδρος δὲ σὺν τοῖς μισθοφόροις τὸ εὐώνυμον. Πέμπων δὲ πρέσβεις ὁ Παυσανίας πρὸς 31
τοὺς ἐν Πειραιεῖ ἐκέλευεν ἀπιέναι ἐπὶ τὰ ἑαυτῶν[6]· ἐπεὶ δ' οὐκ ἐπείθοντο, προσέβαλλεν ὅσον ἀπὸ βοῆς ἕνεκεν[7], ὅπως μὴ δῆλος εἴη εὐμενὴς αὐτοῖς ὤν. Ἐπεὶ δ' οὐδὲν ἀπὸ τῆς προσβολῆς πράξας ἀπῆλθε, τῇ ὑστεραίᾳ λαβὼν τῶν μὲν Λακεδαιμονίων δύο μόρας[8], τῶν δὲ Ἀθηναίων ἱππέων τρεῖς φυλάς, παρῆλθεν ἐπὶ τὸν κωφὸν[9] λιμένα, σκοπῶν[10] πῇ εὐαποτειχιστότατος εἴη ὁ Πειραιεύς[11]. Ἐπεὶ 32
δὲ ἀπιόντος αὐτοῦ προσέθεόν τινες καὶ πράγματα αὐτῷ

---

1) Τῶν πραγμάτων. 2) Ὑποθ. μετχ. εἰ στρατεύοιντο, οὐκ εὐορκοῖεν (εὐορκεῖν ἄν). 3) Παρὰ τὰς συνθήκας. 4) Διότι 5) Ἁλίπεδον ἐλέγετο ἡ μεταξὺ Ἀθηνῶν καὶ Πειραιῶς πεδιάς. 6) Νὰ ἀπέλθωσιν εἰς τὰ σπίτια των. 7) Ἡ φράσις ὅσον ἀπὸ βοῆς ἕνεκεν σημ. μὲ κραυγὴν πολεμικὴν (ἀλαλὰ) μόνον καὶ ὄχι τίποτε ἄλλο. 8) Ἐν Σπάρτῃ ἐκάλουν μόρας, ἐξ τὸν ἀριθμόν, τὰ ἐκ 400 — 500 ἀνδρῶν τάγματα. 9) Δὲν ἐξηκριβώθη ποῖον λιμένα τοῦ Πειραιῶς ἐννοεῖ ὁ συγγραφεύς. 10) Ἐξετάζων. 11) Ποῦ ἦτο δυνατὸν νὰ ὀχυρωθῇ εὐκόλως ὁ Πειραιεύς.

παρεῖχον, ἀχθεσθεὶς παρήγγειλε τοὺς μὲν ἱππέας ἐλᾶν[1] εἰς αὐτοὺς ἐνέντας[2], καὶ τὰ δέκα ἀφ' ἥβης[3] συνέπεσθαι· σὺν δὲ τοῖς ἄλλοις αὐτὸς ἐπηκολούθει. Καὶ ἀπέκτειναν μὲν ἐγγὺς τριάκοντα τῶν ψιλῶν, τοὺς δ' ἄλλους
33 κατεδίωξαν πρὸς τὸ Πειραιοῖ[4] θέατρον. Ἐκεῖ δὲ ἐτύχον ἐξοπλιζόμενοι οἵ τε πελτασταὶ πάντες καὶ οἱ ὁπλῖται τῶν ἐκ Πειραιῶς. Καὶ οἱ μὲν ψιλοὶ εὐθὺς ἐκδραμόντες ἠκόντιζον, ἔβαλλον, ἐτόξευον, ἐσφενδόνων· οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ αὐτῶν πολλοὶ ἐτιτρώσκοντο, μάλα πιεζόμενοι ἀνεχώρουν ἐπὶ πόδα[5]· οἱ δ' ἐν τούτῳ πολὺ μᾶλλον ἐπέκειντο. Ἐνταῦθα καὶ ἀποθνήσκει Χαίρων τε καὶ Θίβραχος, ἄμφω πολεμάρχω[6], καὶ Λακράτης ὁ ὀλυμπιονίκης καὶ ἄλλοι οἱ τεθαμμένοι Λακεδαιμονίων
34 πρὸ τῶν πυλῶν ἐν Καραμεικῷ[7]. Ὁρῶν δὲ ταῦτα ὁ Θρασύβουλος καὶ οἱ ἄλλοι ὁπλῖται, ἐβοήθουν, καὶ ταχὺ παρετάξαντο πρὸ τῶν ἄλλων[8] ἐπ' ὀκτώ. Ὁ δὲ Παυσανίας μάλα πιεσθεὶς καὶ ἀναχωρήσας ὅσον στάδια τέτταρα ἢ πέντε πρὸς λόφον τινά, παρήγγειλε τοῖς Λα-

---

1) Ὁρμᾶν κατ' αὐτοῦ. 2) Ἀφήσαντες τοὺς χαλινοὺς τῶν ἵππων, δηλαδὴ ὁρμᾶν ἀπὸ ῥυτῆρος. 3) Τὰ δέκα (δηλ. ἔτη) ἀφ' ἥβης (ἀπὸ τῆς ἐφηβ. ἡλικίας) στρατιωτικὴ φράσις ἐν Σπάρτῃ = οἱ εἰς στράτευσιν ὑπόχρεοι ἡλικίας 20 — 30 ἐτῶν. 4) Τοπ. ἐπίρ. σημ. τὴν ἐν τόπῳ στάσιν. 5) Ὀπίσω χωρὶς νὰ στρέψωσι τὰ νῶτα εἰς τοὺς πολεμίους. 6) Πολέμαρχος ἦτο ὁ διοικητὴς τῆς μοίρας, διαιρουμένης εἰς 4 λόχους, ὧν ἕκαστος εἰς πεντηκοστύας, ὧν ἑκάστη εἰς δύο ἐνωμοτίας. 7) Κεραμεικὸς ἦτο τόπος πρὸς τὸ ΒΔ. τῶν Ἀθηνῶν, παρὰ τὴν ἁγίαν Τριάδα σήμερον, χωριζόμενος διὰ τῶν τειχῶν τῆς πόλεως εἰς ἔσω καὶ ἔξω Κεραμεικόν. Οἱ ἐν τῷ πολέμῳ πίπτοντες ἐθάπτοντο ἐν τῷ ἔξω Κεραμεικῷ, περὶ οὗ πρόκειται ἐνταῦθα. 8) Δηλ. τῶν ψιλῶν.

κεδαιμονίοις καὶ τοῖς ἄλλοις συμμάχοις ἐπιχωρεῖν πρὸς ἑαυτόν. Ἐκεῖ δὲ συνταξάμενος παντελῶς βαθεῖαν τὴν φάλαγγα ἦγεν ἐπὶ τοὺς Ἀθηναίους. Οἱ δ' εἰς χεῖρας μὲν ἐδέξαντο[1], ἔπειτα δὲ οἱ μὲν ἐξεώσθησαν εἰς τὸν ἐν ταῖς Ἁλαῖς[2] πηλόν, οἱ δὲ ἐνέκλιναν[3]· καὶ ἀποθνήσκουσιν αὐτῶν ὡς πεντήκοντα καὶ ἑκατόν. Ὁ δὲ Παυσανίας 35
τρόπαιον στησάμενος ἀνεχώρησε· καὶ οὐδ' ὣς[4] ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρᾳ πέμπων ἐδίδασκε τοὺς ἐν Πειραεῖ οἷα χρὴ λέγοντας πρέσβεις πέμπειν πρὸς ἑαυτὸν καὶ τοὺς παρόντας ἐφόρους. Οἱ δ' ἐπείθοντο. Διίστη[5] δὲ καὶ τοὺς ἐν τῷ ἄστει, καὶ ἐκέλευε πρὸς σφᾶς προσιέναι ὡς πλείστους συλλεγομένους, λέγοντας ὅτι οὐδὲν δέονται[6] τοῖς ἐν τῷ Πειραιεῖ πολεμεῖν, ἀλλὰ διαλυθέντες[7] κοινῇ ἀμφότεροι Λακεδαιμονίοις φίλοι εἶναι. Ἡ- 36
δέως δὲ ταῦτα καὶ Ναυκλείδας ἔφορος ὢν συνήκουεν· ὥσπερ γὰρ νομίζεται[8] σὺν βασιλεῖ δύο τῶν ἐφόρων συστρατεύεσθαι, καὶ τότε παρῆν οὗτός τε καὶ ἄλλος, ἀμφότεροι τῆς μετὰ Παυσανίου γνώμης ὄντες[9] μᾶλλον ἢ τῆς μετὰ Λυσάνδρου. Διὰ ταῦτα οὖν καὶ εἰς τὴν Λακεδαίμονα προθύμως ἔπεμπον τούς τ' ἐκ τοῦ Πειραιῶς ἔχοντας τὰς πρὸς Λακεδαιμονίους σπονδὰς καὶ τοὺς ἀπὸ τῶν ἐν τῷ ἄστει ἰδιώτας, Κηφισοφῶντά τε καὶ Μέ-

---

[1]) Ἀφῆκαν τοὺς περὶ τὸν Παυσανίαν νὰ πλησιάσωσι τόσον ὥστε νὰ ἔλθωσιν εἰς χεῖρας (ἐδέξαντο). [2]) Ἁλαὶ Αἰξωνίδες ἦν δῆμος παράλιος τῆς Ἀττικῆς πρὸς τὸ νότιον μέρος τοῦ Φαλήρου. [3]) Ὑπεχώρησαν. [4]) Ὣς (μετὰ τόνου)=οὕτως. [5]) Τοὺς ἔκαμε νὰ διαιρεθῶσι. [6]) Ὅτι οὐδὲν συμφέρον ἔχουσι. [7]) Συμβιβασθέντες, λύσαντες τὰς διαφοράς των. [8]) Ὥσπερ ὁ νόμος ἐπιτρέπει. [9]) Τῆς μετὰ Παυσανίου γνώμης ὄντες — ὄντες μὲ τὸ μέρος (καὶ ἑπομ.) καὶ μὲ τὴν γνώμην τοῦ Παυσ.

37 λητον. Ἐπεὶ μέντοι οὗτοι ᾤχοντο εἰς Λακεδαίμονα, ἔπεμπον δὴ καὶ οἱ ἀπὸ τοῦ κοινοῦ[1] ἐκ τοῦ ἄστεως λέγοντας ὅτι αὐτοὶ μὲν παραδιδόασι καὶ τὰ τείχη ἃ ἔχουσι καὶ σφᾶς αὐτοὺς Λακεδαιμονίοις χρῆσθαι ὅ,τι βούλονται· ἀξιοῦν δ' ἔφασαν καὶ τοὺς ἐν Πειραιεῖ, εἰ φίλοι φασὶν εἶναι Λακεδαιμονίοις, παραδιδόναι τόν τε Πει-
38 ραιᾶ καὶ τὴν Μουνυχίαν. Ἀκούσαντες δὲ πάντων αὐτῶν οἱ ἔφοροι καὶ οἱ ἔκκλητοι[2], ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας εἰς τὰς Ἀθήνας, καὶ ἐπέταξαν σὺν Παυσανίᾳ διαλλάξαι ὅπῃ[3] δύναιντο κάλλιστα. Οἱ δὲ διήλλαξαν ἐφ' ᾧτε[3] εἰρήνην μὲν ἔχειν πρὸς ἀλλήλους, ἀπιέναι δὲ ἐπὶ τὰ ἑαυτῶν ἑκάστους πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα καὶ τῶν ἐν τῷ Πειραιεῖ ἀρξάντων δέκα. Εἰ δέ τινες φοβοῖντο τῶν ἐξ ἄστεως, ἔδοξεν αὐτοῖς Ἐλευσῖνα κα-
39 τοικεῖν. Τούτων δὲ περανθέντων Παυσανίας μὲν διῆκε[4] τὸ στράτευμα, οἱ δὲ ἐκ τοῦ Πειραιῶς ἀνελθόντες σὺν τοῖς ὅπλοις εἰς τὴν ἀκρόπολιν ἔθυσαν τῇ Ἀθηνᾷ[5].
40 Ἐπεὶ δὲ κατέβησαν[6] οἱ στρατηγοί. Ἔνθα δὴ ὁ Θρασύβουλος ἔλεξεν· Ὑμῖν, ἔφη, ὦ ἐκ τοῦ ἄστεως ἄνδρες, συμβουλεύω ἐγὼ γνῶναι ὑμᾶς αὐτούς. Μάλιστα δ' ἂν γνοίητε[7], εἰ ἀναλογίσαισθε ἐπὶ τίνι ὑμῖν μέγα φρονη-

---

[1]) Δηλ. οἱ δέκα, οἱ ἄρχοντες τῆς πόλεως. Ἀντιτίθεται πρὸς τὸ ἀνωτ. ἰδιώτας. [2]) Οἱ ἐκλεκτοί, οἱ ἀποτελοῦντες τὴν μικρὰν ἐκκλησίαν τῆς Σπάρτης. [3]) Ὅπῃ ...=μὲ ὅποιο' μέσον δυνηθῶσι κάλλιστα. [4]) Ἐπὶ τῷ ὅρῳ. [5]) Ἀπήγαγε διαλύσαι (κατὰ πόλεις) τὸ στράτευμα. [6]) Τῇ Πολιάδι, ἥτις ἦν ἡ προστάτις τῆς πόλεως. Ἀπὸ τῆς θυσίας ταύτης ἤρξατο τελουμένη ἐνιαυσία ἑορτὴ (21 Σεπτεμβρίου=12 Βοηδρομιῶνος) χαριστήρια ἐλευθερίας κληθεῖσα. [7]) Εἰς τὴν Πνύκα, ἔνθα συνήρχετο εἰς ἐκκλησίαν ὁ δῆμος. [6]) Τὸ ἀντικμ. ὑμᾶς αὐτούς.

τέον ἐστὶν, ὥστε ἡμῶν ἄρχειν ἐπιχειρεῖν. Πότερον δι-
καιότεροί ἐστε; Ἀλλ' ὁ μὲν δῆμος πενέστερος ὑμῶν ὢν
οὐδὲν πώποτε ἕνεκα χρημάτων ὑμᾶς ἠδίκηκεν· ὑμεῖς
δὲ πλουσιώτεροι πάντων ὄντες πολλὰ καὶ αἰσχρὰ ἕνεκα
κερδέων πεποιήκατε. Ἐπεὶ δὲ δικαιοσύνης οὐδὲν ὑμῖν
προσήκει[1], σκέψασθε εἰ ἄρα[2] ἐπ' ἀνδρείᾳ ὑμῖν μέγα
φρονητέον. Καὶ τίς ἂν καλλίων κρίσις τούτου γένοιτο 41
ἢ ὡς[3] ἐπολεμήσαμεν πρὸς ἀλλήλους; Ἀλλὰ γνώμῃ φαίητ'
ἂν προέχειν[4], οἳ ἔχοντες[5] καὶ τεῖχος καὶ ὅπλα καὶ χρή-
ματα καὶ συμμάχους Πελοποννησίους ὑπὸ τῶν οὐδὲν
τούτων ἐχόντων παραλέλυσθε[6]; Ἀλλ' ἐπὶ Λακεδαιμο-
νίοις[7] δὴ οἴεσθε μέγα φρονητέον εἶναι; Πῶς[8], οἵγε ὥσ-
περ τοὺς δάκνοντας κύνας κλοιῷ[9] δήσαντες παραδι-
δόασιν, οὕτω κἀκεῖνοι ὑμᾶς παραδόντες τῷ ἠδικημένῳ
τούτῳ δήμῳ οἴχονται ἀπιόντες; Οὐ μέντοι γε ὑμᾶς[10], ὦ 42
ἄνδρες, ἀξιῶ ἐγὼ ὧν ὀμωμόκατε παραβῆναι οὐδὲν, ἀλλὰ
καὶ τοῦτο πρὸς τοῖς ἄλλοις καλοῖς ἐπιδεῖξαι, ὅτι κα
εὔορκοι καὶ ὅσιοί ἐστε. Εἰπὼν δὲ ταῦτα καὶ ἄλλα τοι-
αῦτα, καὶ ὅτι οὐδὲν δέοι ταράττεσθαι, ἀλλὰ τοῖς νόμοις 43
τοῖς ἀρχαίοις χρῆσθαι, ἀνέστησε[11] τὴν ἐκκλησίαν. Καὶ
τότε[22] μὲν ἀρχὰς καταστησάμενοι ἐπολιτεύοντο[13]· ὑστέ-

[1]) Οὐδόλως μετέχετε δικαιοσύνης. [2]) Ἂν ἴσως. [3]) Ἢ ὡς = ἢ ἡ κρίσις ὡς = ἢ ἡ κρίσις περὶ τοῦ πῶς ἐπολεμήσαμεν κτλ. [4]) Θὰ εἰπῆτε ἴσως ὅτι ὑπερτερεῖτε κατὰ τὴν φρόνησιν; [5]) Σεῖς οἱ ὁποῖοι ἂν καὶ εἴχετε κτλ. [6]) Ὑπεχωρήσατε [7]) Ἐπὶ τῇ συμμαχίᾳ τῶν Λακεδ. [8]) Ἐνν. πῶς δεῖ φρονεῖν ἐπὶ τούτοις. [9]) Κλοιὸς = ὁ περὶ τὸν τράχηλον δεσμὸς (χαλκᾶς) τῶν σκύλων. [10]) Τοὺς ἐκ Πειραιῶς. [11]) Διέλυσε τὴν ἐκκλησίαν, διέταξε νὰ ἀναστῶσι καὶ νὰ ἀπέλθωσιν οἱ ἐν τῇ ἐκκλησίᾳ. [12]) Τῇ 12 Βοηδρομιῶνος (21 Σεπτεμ.) 403 π. Χ. [13]) Ἔζων ἐν ἐλευθέρᾳ πολιτείᾳ.

ρῳ δὲ χρόνῳ ἀκούσαντες ξένους μισθοῦσθαι τοὺς Ἐλευσῖνι, στρατευσάμενοι πανδημεὶ ἐπ' αὐτοὺς τοὺς μὲν στρατηγοὺς αὐτῶν εἰς λόγους ἐλθόντας ἀπέκτειναν, τοῖς δὲ ἄλλοις[1] εἰσπέμψαντες τοὺς φίλους καὶ ἀναγκαίους[2] ἔπεισαν συναλλαγῆναι· καὶ ὀμόσαντες ὅρκους ἦ μὴν[3] μὴ μνησικακήσειν[4], ἔτι καὶ νῦν ὁμοῦ τε πολιτεύονται καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος.

---

[1]) Τῶν ἐκ τῆς πόλεως ἀκολουθησάντων τοὺς 30. [2]) Συγγενεῖς. [3]) Ἦ μέν: βεβαιωτ. ἐπὶ ὅρκου. [4]) Νὰ τοὺς ἀμνηστεύσωσι.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

ΚΕΦΑΛΑΙΟΝ Β'.

Καταγωγὴ καὶ χαρακτὴρ Κύρου.—Νόμοι περὶ ἀγωγῆς τῶν παίδων παρὰ Πέρσαις. — Παῖδες, ἔφηβοι, ἄνδρες, γεραίτεροι. — Μόρφωσις ἤθους, πνεύματος, σώματος. — Δικαιώματα καὶ ὑποχρεώσεις ἑκάστης ἡλικίας.

Πατρὸς[1] μὲν δὴ ὁ Κῦρος λέγεται γενέσθαι Καμ-
βύσου Περσῶν βασιλέως· ὁ δὲ Καμβύσης οὗτος τοῦ
Περσειδῶν γένους ἦν· οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως
κλῄζονται[2]· μητρὸς δὲ ὁμολογεῖται[3] Μανδάνης γενέσθαι·
ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ τοῦ Μή-
δων γενομένου βασιλέως. Φῦναι[4] δὲ ὁ Κῦρος λέγεται
καὶ ᾄδεται[5] ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων εἶδος[6] μὲν
κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος καὶ φιλομαθέ-
στατος καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ἀνα-
τλῆναι[7], πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι
ἕνεκα. Φύσιν μὲν δὴ τῆς μορφῆς καὶ τῆς ψυχῆς τοιαύ-
την ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γε μὴν ἐν Περ- 2
σῶν νόμοις· οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ
κοινοῦ ἀγαθοῦ ἐπιμελόμενοι οὐκ ἔνθενπερ ἐν ταῖς πλεί-

---

1) Ἐνν. ἐκ ἢ υἱός. 2) Κληΐζονται (ἐκ τοῦ κλέος=φήμη) φημίζονται, λέγονται καταγόμενοι. 3) Βεβαιοῦται παρὰ πάντων. 4) Ὅτι ἐγεννήθη. 5) Ἄδεται=ἀναφέρεται εἰς τὰ ᾄσματα τῶν βαρβάρων. 6) Κατὰ τὴν μορφήν. 7) Ἀόρ. τοῦ ἀχρήστου τλάω. Νὰ ὑπομείνῃ.

σταις πόλεσιν ἄρχονται. Αἱ μὲν γαρ πλεῖσται πόλεις
ἀφεῖσαι παιδεύειν ὅπως τις ἐθέλει τοὺς ἑαυτοῦ παῖδας,
καὶ αὐτοὺς τοὺς πρεσβυτέρους ὅπως ἐθέλουσι διάγειν,
ἔπειτα προστάττουσιν αὐτοῖς μὴ κλέπτειν μηδὲ ἁρπά-
ζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι[1], μὴ παίειν ὃν[2] μὴ δί-
καιον, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἄλλα τὰ τοιαῦτα ὡσαύ-
τως· ἤν δέ τις τούτων τι παραβαίνῃ, ζημίαν[3] αὐτοῖς[4]
ἐπέθεσαν. Οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες[5] ἐπιμέ-
λονται ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται
3 οἷοι[6] πονηροῦ τινος ἢ αἰσχροῦ ἔργου ἐφίεσθαι. Ἐπι-
μέλονται δὲ ὧδε[7]. Ἔστιν αὐτοῖς ἐλευθέρα ἀγορὰ κα-
λουμένη, ἔνθα τά τε βασίλεια καὶ τἄλλα ἀρχεῖα πεποίη-
ται. Ἐντεῦθεν τὰ μὲν ὤνια[8] καὶ οἱ ἀγοραῖοι[9] καὶ αἱ
τούτων φωναὶ καὶ ἀπειροκαλίαι ἀπελήλανται[10] εἰς ἄλλον
τόπον, ὡς μὴ[11] μιγνύηται ἡ τούτων τύρβη τῇ τῶν πε-
παιδευμένων εὐκοσμίᾳ. Διῄρηται δὲ αὕτη ἡ ἀγορὰ ἡ
περὶ τὰ ἀρχεῖα τέτταρα μέρη· τούτων δ' ἔστιν ἓν μὲν
4 παισὶν, ἓν δὲ ἐφήβοις, ἄλλο τελείοις ἀνδράσιν, ἄλλο
τοῖς ὑπὲρ τὰ στρατεύσιμα ἔτι γεγονόσι. Νόμῳ[12] δ' εἰς
τὰς ἑαυτῶν χώρας[13] ἕκαστοι τούτων πάρεισιν, οἱ μὲν
παῖδες ἅμα τῇ ἡμέρᾳ καὶ οἱ τέλειοι ἄνδρες, οἱ δὲ

---

[1]) Μὴ εἰσβάλλειν, εἰσέρχεσθαι. [2]) Ἐκεῖνον ὃν μὴ δίκαιόν [ἐστι παίειν. [3]) Τιμωρίαν. [4]) Ἀντὶ αὐτῷ καθ' ἑνικόν, ὡς ἀναφερόμ. εἰς τὸ προηγ. ἤν τις... παραβαίνῃ. Ἀλλὰ τὸ ἤν τις σημ. ὅσοι, ἑπομ. ἐτέθη πληθυντ. αὐτοῖς=τοῖς παραβαίνουσι. [5]) Προλαβόντες ἐν τῇ ἐπιρ. σημασ. ἐνταῦθα = πρότερον. [6]) = Ὥστε. [7]) Κατὰ τὸν ἑξῆς τρόπον. [8]) Τὰ τρόφιμα. [9]) Οἱ (πωλοῦντες τὰ τρόφιμα) τῆς ἀγορᾶς ἄνθρωποι. [10]) Παρακμ. τοῦ ἀπελαύνω. Ἔχουσιν ἐκδιωχθῆ ὑπὸ τῶν νόμων. [11]) Ἵνα μή. [12]) Κατὰ νόμον.
[13]) Εἰς τὰς προσδιορισθείσας θέσεις των.

[γεραίτεραι ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ[1], πλὴν ἐν ταῖς
τεταγμέναις[2] ἡμέραις, ἐν αἷς[3] αὐτοὺς δεῖ παρεῖναι. Οἱ
δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνη-
τικοῖς ὅπλοις[4] πλὴν τῶν γεγαμηκότων[5]· οὗτοι δὲ οὔτε
ἐπιζητοῦνται, ἢν μὴ προῤῥηθῇ[6] παρεῖναι, οὔτε πολλά-
κις ἀπεῖναι καλόν. Ἄρχοντες δ' ἐφ' ἑκάστῳ τούτων 5
τῶν μερῶν εἰσι δώδεκα· δώδεκα γὰρ καὶ Περσῶν φυλαὶ
διῄρηνται[7]· καὶ ἐπὶ[8] μὲν τοῖς παισὶν ἐκ τῶν γεραιτέ-
ρων ᾑρημένοι εἰσὶν οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους
ἀποδεικνῦναι[9]· ἐπὶ δὲ τοῖς ἐφήβοις ἐκ τῶν τελείων
ἀνδρῶν οἳ ἂν αὖ τοὺς ἐφήβους βελτίστους δοκῶσι πα-
ρέχειν· ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν οἳ ἂν δοκῶσι πα-
ρέχειν αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας καὶ τὰ
παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς· εἰσὶ δὲ καὶ
τῶν γεραιτέρων προστάται[10] ᾑρημένοι, [οἳ προστατεύου-
σιν[11]], ὅπως καὶ οὗτοι τὰ καθήκοντα ἀποτελῶσιν. Ἃ δὲ
ἑκάστῃ ἡλικίᾳ προστέτακται ποιεῖν διηγησόμεθα, ὡς
μᾶλλον δῆλον γένηται ᾗ[12] ἐπιμέλονται ὡς ἂν βέλτιστοι
εἶεν οἱ πολῖται. Οἱ μὲν δὴ παῖδες εἰς τὰ διδασκαλεῖα[13]
φοιτῶντες διάγουσι μανθάνοντες δικαιοσύνην· καὶ λέ- 9
γουσιν ὅτι ἐπὶ τοῦτο ἔρχονται ὥσπερ παρ' ἡμῖν ὅτι
γράμματα μαθησόμενοι. Οἱ δ' ἄρχοντες αὐτῶν διατε-
λοῦσι τὸ πλεῖστον τῆς ἡμέρας δικάζοντες αὐτοῖς. Γίγνε-

[1]) Ἐνν. παρεῖναι. Ὁσάκις εἶνε δυνατὸν εἰς ἕκαστον νὰ παρευρίσκηται. [2]) Ταῖς ὡρισμέναις. [3]) Κατὰ τὰς ὁποίας. [4]) Τὰ ὅπλα τῶν γυμνητῶν=τῶν ἐλαφρὰ (ὡς γυμνῶν) ὡπλισμένων. [5]) Τῶν ἐγγάμων. [6]) Αὐτοῖς. Ἐὰν δὲν προειδοποιηθῶσι νὰ ἔλθωσι. [7]) Ἀντί: Πέρσαι εἰς δώδεκα φυλὰς διῄρηνται. [8]) Ἡ ἐπὶ σημ. ἐποπτείαν, ἐπαγρύπνησιν (ἐπὶ τῶν παίδων). [9]) Νὰ ἀναδείξωσι. [10]) Ἐπόπται. [11]) Ἐπιτηροῦσι. [12]) Πῶς, μὲ ποίαν ἐπιμέλειαν. [13]) Σχολεῖα.

ται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους ὥσπερ ἄνδρασιν ἐγκλήματα καὶ κλοπῆς καὶ ἁρπαγῆς καὶ βίας καὶ ἀπάτης καὶ κακολογίας καὶ ἄλλων οἵων δὴ εἰκός[1]. Οὓς δ'
7 ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. Κολάζουσι δὲ καὶ ὃν ἂν ἀδίκως ἐγκαλοῦντα[2] εὑρίσκωσι. Δικάζουσι δὲ καὶ ἐγκλήματος οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ ἥκιστα, ἀχαριστίας, καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δὲ, κολάζουσι καὶ τοῦτον ἰσχυρῶς. Οἴονται γὰρ τοὺς ἀχαρίστους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν[3] καὶ περὶ γονέας καὶ πατρίδα καὶ φίλους. Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ
8 ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών[4]. Διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτοὺς ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. Διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα[5] δὲ καὶ εἰς τοῦτο συμβάλλεται ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. Διδάσκουσι[6] δὲ καὶ ἐγκράτειαν γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας[7] γαστρὸς ἕνεκα πρὶν ἂν ἀφῶσιν[8] οἱ ἄρχοντες, καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ δι-

---

[1]) Οἵων δὴ εἰκὸς = καὶ ἄλλων τοιούτων (ἐγκλημάτων) οἷα δὴ εἰκός (ἑπόμενον) ἐστι γίγνεσθαι. [2]) Κατηγοροῦντα (τοὺς ἄλλους. [3]) Ἀμελῶς ἔχειν = ἀμελεῖν. [4]) Ὁδηγός. [5]) Πολὺ, μεγάλως συντελεῖ (συμβάλλεται). [6]) Αὐτοὺς, τοὺς παῖδας. [7]) Ἐνν. τῆς ἀγορᾶς. [8]) Τοῦ ῥήμ. ἀφίημι. Πρὶν ἢ οἱ ἄρχ. τοῖς ἐπιτρέψουν ν' ἀναχωρήσωσιν (ἀπιέναι).

δασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι[1]. Φέρονται[2] δὲ
οἴκοθεν σῖτον μὲν ἄρτον, ὄψον δὲ κάρδαμον, πιεῖν[3] δὲ,
ἤν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσα-
σθαι[4]. Πρὸς δὲ τούτοις μανθάνουσι καὶ τοξεύειν καὶ
ἀκοντίζειν. Μέχρι μὲν δὴ ἓξ ἢ ἑπτακαίδεκα ἐτῶν ἀπὸ
γενεᾶς[5] οἱ παῖδες ταῦτα πράττουσιν, ἐκ τούτου[6] δὲ εἰς
τοὺς ἐφήβους ἐξέρχονται[7]. Οὗτοι δὲ αὖ οἱ ἔφηβοι διά- 9
γουσιν ὧδε. Δέκα ἔτη ἀφ' οὗ[8] ἂν ἐκ παίδων ἐξέλθωσιν
κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προειρήκαμεν, καὶ
φυλακῆς ἕνεκα τῆς πόλεως καὶ σωφροσύνης· δοκεῖ γὰρ
αὕτη ἡ ἡλικία μάλιστα ἐπιμελείας δεῖσθαι· παρέχουσι δὲ
καὶ τὴν ἡμέραν ἑαυτοὺς τοῖς ἄρχουσι χρῆσθαι[9] ἤν τι
δέωνται ὑπὲρ τοῦ κοινοῦ. Καὶ ὅταν μὲν δέῃ[10], πάντες
μένουσι περὶ τὰ ἀρχεῖα· ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ θή-
ραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς[11]· ποιεῖ δὲ τοῦτο
πολλάκις τοῦ μηνός. Ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα
καὶ παρὰ τὴν φαρέτραν ἐν κολεῷ[12] κοπίδα ἢ σάγαριν[13],
ἔτι δὲ γέρρον[14] καὶ παλτὰ δύο, ὥστε τὸ μὲν ἀφεῖναι[15],
τῷ δ', ἐὰν δέῃ[16], ἐκ χειρὸς χρῆσθαι[17]. Διὰ τοῦτο δὲ δη- 10

---

1) Δώσωσι τὸ σημεῖον. 2) Μέσον ῥῆμα = φέρουσι μεθ' ἑαυτῶν. 3) Ὥστε πιεῖν, διὰ νὰ πίνωσι δὲ κώθωνα (ποτήριον). 4) Διὰ νὰ ἀντλήσωσιν (ὕδωρ ἐκ τοῦ ποταμοῦ. 5) Ἀπὸ τῆς γεννήσεώς των. 6) Ἐνν. τοῦ χρόνου. 7) Βραχυλ. ἐξέρχονται ἐκ τῆς τάξεως τῶν παίδων καὶ εἰσέρχονται εἰς τὴν τῶν ἐφήβων. 8) Ἐνν. χρόνου. 9) Διὰ νὰ τοὺς μεταχειρίζωνται (οἱ ἄρχ.) εἰς ὅ,τι ἤθελον τοὺς χρειασθῇ διὰ τὸ κοινὸν συμφέρον. 10) Ἐνν. μένειν. 11) Τὸ ἥμισυ τῆς φρουρᾶς. 12) Ξιφοθήκῃ, τῇ κρεμαμένῃ ἐγγὺς τῆς φαρέτρας πρὸς τὸ ἀριστερὸν μέρος. 13) Εἶδος πελέκεως. 14) Γέρρον, ἀσπὶς περσικὴ τετράγωνος κατασκευαζομένη ἐκ λιγαριᾶς. 15) Νὰ ῥίπτωσι. 16) Ἐὰν εἶνε ἀνάγκη. 17) Νὰ τὸ μεταχειρίζωνται κρατοῦντες εἰς τὴν χεῖρα

μοσίᾳ τοῦ θηρᾶν ἐπιμέλονται, καὶ βασιλεὺς ὥσπερ καὶ ἐν πολέμῳ ἡγεμών ἐστιν αὐτοῖς καὶ αὐτός τε θηρᾷ καὶ τῶν ἄλλων ἐπιμέλεται ὅπως ἂν θηρῶσιν, ὅτι ἀληθεστάτη αὐτοῖς δοκεῖ εἶναι αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον[1]. Καὶ γὰρ πρῲ[2] ἀνίστασθαι ἐθίζει καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι[3], γυμνάζει δὲ καὶ ὁδοιπορίαις καὶ δρόμοις, ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον καὶ ἀκοντίσαι ὅπου ἂν παραπίπτῃ[4]. Καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι[5] ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν μὲν γὰρ δήπου δεῖ τὸ ὁμόσε γιγνόμενον[6], φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον[7]· ὥστε οὐ ῥᾴδιον εὑρεῖν τί
11 ἐν τῇ θήρᾳ ἄπεστι τῶν ἐν πολέμῳ παρόντων[8]. Ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν ἄριστον[9] ἔχοντες πλεῖον μέν, ὡς τὸ εἰκός, τῶν παίδων, τἄλλα δ' ὅμοιον. Καὶ θηρῶντες μὲν οὐκ ἂν ἀριστήσειαν[10], ἢν δέ τι δεήσῃ ἢ θηρίου ἕνεκα ἐπικαταμεῖναι ἢ ἄλλως ἐθελήσωσι διατρῖψαι περὶ τὴν θήραν, τὸ οὖν ἄριστον τοῦτο δειπνήσαντες τὴν ὑστεραίαν αὖ θηρῶσι μέχρι δείπνου, καὶ μίαν ἄμφω τούτῳ[11] τὼ ἡμέρα λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. Τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵν' ἐάν τι καὶ ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν. Καὶ ὄψον[12] δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι[13] ὅ,τι[14] ἂν θηράσωσιν· εἰ δὲ

---

1) Τῶν πολεμικῶν ἔργων. 2) Πρωΐ. 3) Ὑπομένειν. 4) Ὅπου ἂν τύχῃ ἐμπρός των. 5) = Ἀκονίζειν, καὶ (μεταφορ. ἐπομένως) ἐνδυναμοῦν, ἐνθαρρύνειν. 6) Τὸ προσεγγίζον (καὶ συγκρουόμενον πρὸς τὸν κυνηγόν. 7) Ἀπὸ τὸ μακρόθεν ἐφορμῶν. 8) Τί λείπει εἰς τὸ κυνήγιον ἀπὸ τῶν εἰς τὸν πόλεμον συμβαινόντων. 9) Πρόγευμα. 10) Καὶ ἐνόσῳ μὲν κυνηγοῦσι δὲν δύναται νὰ γευματίσωσι. 11) Ἀττ. ἀντὶ ταύτα τὰ ἡμέρα. 12) Προσφάγι. 13) Οἱ τοιαύτην ἔχοντες ἡλικίαν. 14) Τοῦτο... ὅ,τι.

μὴ[1], τὸ κάρδαμον[2]. Εἰ δέ τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω πῶς μὲν ἡδὺ μᾶζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ πιεῖν διψῶντι. Αἱ δ' αὖ μένουσαι φυλαὶ[3] διατρίβουσι 12
μελετῶσαι τά τε ἄλλα ἃ παῖδες ὄντες ἔμαθον καὶ τοξεύειν καὶ ἀκοντίζειν, καὶ διαγωνιζόμενοι[4] ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. Εἰσὶ δὲ καὶ δημόσιοι τούτων ἀγῶνες καὶ ἆθλα προτίθεται· ἐν ᾗ δ' ἂν τῶν φυλῶν πλεῖστοι ὦσι δαημονέστατοι[5] καὶ ἀνδρικώτατοι καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται καὶ τιμῶσιν οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις αὐτοὺς παῖδας ὄντας ἐπαίδευσε. Χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαὶ, ἤν τι ἢ φρουρῆσαι δεήσῃ ἢ κακούργους ἐρευνῆσαι ἢ λῃστὰς ὑποδραμεῖν ἢ καὶ ἄλλο τι[6] ὅσα ἰσχύος ἢ τάχους ἔργα ἐστί. Ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν. Ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας. Ἀφ' οὗ δ' ἂν ἐξέλθωσι 13
χρόνου οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη διάγουσιν ὧδε[7]. Πρῶτον μὲν ὥσπερ οἱ ἔφηβοι παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἤν τι δέῃ ὑπὲρ τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυναμένων[8]. Ἢν δὲ

---

1) Ἐνν. θηράσωσιν. 2) Ἐνν. ἔχουσιν ὄψον τὸ κάρδαμον. 3) Αἱ ἄλλαι ἡμίσεις αἱ μὴ ἐξερχόμεναι εἰς θήραν. 4) Ἀρσεν. γέν. ἀντὶ θηλ. διαγωνιζόμεναι καθὸ προσδιοριστικὸν τοῦ φυλαί. Ἀλλ' ἐτέθη κατὰ σύνεσιν ἐν ἀρσεν. γένει ὡς ἀναφερόμενον εἰς τὸ ἐννοούμ. ἔφηβοι. 5) Εἰδημονέστατοι. 6) Ἐνν. πρᾶξαι. 7) Ὡς ἀκολούθως. 8) Ὅσα εἶνε πλέον ἔργα συνετῶν ἀνθρώπων καὶ ἐχόντων σωματ.) δύναμιν.

ποι δέῃ στρατεύεσθαι, τόξα μὲν οἱ οὕτω πεπαιδευμένοι οὐκέτι ἔχοντες οὐδὲ παλτὰ στρατεύονται, τὰ δ' ἀγχέμαχα[1] ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις καὶ γέρρον ἐν τῇ ἀριστερᾷ, οἷόνπερ[2] γράφονται οἱ Πέρσαι ἔχοντες, ἐν δὲ τῇ δεξιᾷ μάχαιραν ἢ κοπίδα. Καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται[3] πλὴν οἱ τῶν παίδων διδάσκαλοι. Ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν μὲν ἂν[4] οὗτοι πλεῖόν τι γεγονότες ἢ τὰ πεντήκοντα ἔτη ἀπὸ γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα[5] εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ κα-
14 λουμένους. Οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι ἔξω τῆς ἑαυτῶν[6], οἴκοι δὲ μένοντες δικάζουσι τά τε κοινὰ καὶ τὰ ἴδια πάντα[7]. Καὶ θανάτου[8] δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι πάσας αἱροῦνται· καὶ ἤν τις ἢ ἐν ἐφήβοις ἢ ἐν τελείοις ἀνδράσιν ἐλλίπῃ[9] τι τῶν νομίμων, φαίνουσι[10] μὲν οἱ φύλαρχοι ἕκαστοι καὶ τῶν ἄλλων[11] ὁ βουλόμενος, οἱ δὲ γεραίτεροι ἀκούσαντες ἐκκρίνουσιν[12]· ὁ δὲ ἐκκριθεὶς ἄτιμος διατελεῖ τὸν λοιπὸν βίον.

15 Ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, μικρὸν ἐπάνειμι[13]· νῦν γὰρ ἐν βραχυτάτῳ ἂν

---

1) Ἀγχέμαχα ὅπλα εἰσὶ τὰ μικρὰ κατὰ τὸ μέγεθος, δι' ὧν μάχονται ἐκ τοῦ πλησίον. 2) Καθ' ὃν τρόπον ζωγραφοῦνται οἱ Πέρσαι ἔχοντες αὐτά. 3) Διορίζονται. 4) Εἶνε μὲν σχεδόν. 5) Μεταβαίνουσι τότε εἰς τὴν τάξιν ἐκείνων, οἵτινες εἶνε καὶ ὀνομάζονται γεραίτεροι. 6) Τῆς πατρίδος των. 7) Καὶ τὰς δημοσίας καὶ τὰς ἰδιωτικὰς ὑποθέσεις ὅλας. 8) Κρίνουσι θανάτου (μετὰ γεν.) ὡς δικάζω ἐγκλήματος: = Δικάζουσι τὰ ἐγκλήματα (τὰ συνεπιφέροντα τὴν ποινὴν) τοῦ θανάτου. 9) Παραλείψῃ, παραβῇ. 10) Ποιοῦσι φανεράν, καταγγέλλουσι. 11) Πολιτῶν. 12) Τὸν ἀποπέμπουσι. 13) Ἐνεστὼς ἀντὶ μέλλοντος: θὰ ἐπανέλθω.

δηλωθείη διὰ τὰ προειρημένα[1]. Λέγονται μὲν γὰρ Πέρ-
σαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι· τούτων δ' οὐδεὶς
ἀπελήλαται[2] νόμῳ τιμῶν καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι
Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς
δικαιοσύνης διδασκαλεῖα. Ἀλλ' οἱ μὲν δυνάμενοι τρέ-
φειν τοὺς παῖδας ἀργοῦντας[3] πέμπουσιν, οἱ δὲ μὴ δυ-
νάμενοι οὐ πέμπουσιν. Οἳ δ' ἂν παιδευθῶσι παρὰ τοῖς
δημοσίοις διδασκάλοις, ἔξεστιν αὐτοῖς ἐν τοῖς ἐφήβοις
νεανισκεύεσθαι[4], τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως οὐκ
ἔξεστιν. Οἳ δ' ἂν αὖ ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ
νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄν-
δρας συναλίζεσθαι[5] καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν, οἳ
δ' ἂν μὴ διαγένωνται[6] ἐν τοῖς ἐφήβοις, οὐκ εἰσέρχον-
ται εἰς τοὺς τελείους. Οἳ δ' ἂν αὖ ἐν τοῖς τελείοις
διαγένωνται ἀνεπίληπτοι[7], οὗτοι τῶν γεραιτέρων[8] γί-
γνονται. Οὕτω μὲν δὴ οἱ γεραίτεροι διὰ πάντων τῶν
καλῶν ἐληλυθότες καθίστανται· καὶ ἡ πολιτεία αὕτη[9],
ᾗ οἴονται χρώμενοι βέλτιστοι ἂν εἶναι. Καὶ νῦν δὲ ἔτι 16
ἐμμένει μαρτύρια καὶ τῆς μετρίας διαίτης αὐτῶν καὶ
τοῦ ἐκπονεῖσθαι τὴν δίαιταν[10]. Αἰσχρὸν μὲν γὰρ ἔτι καὶ
νῦν ἐστι Πέρσαις καὶ τὸ πτύειν καὶ τὸ ἀπομύττεσθαι καὶ

---

1) Δηλ. μετὰ τὴν δήλωσιν (τὴν ἐξήγησιν) τῶν προλεχθέντων. 2) Οὐδεὶς ὑπὸ τοῦ νόμου ἀποκλείεται τῶν τιμῶν καὶ τῶν ἀξιωμάτων. 3) Σχολάζονται, μὴ ἐργαζομένους. 4) Νὰ συναναστρέφωνται τοὺς ἐφήβους. 5) Συνέρχεσθαι, συναθροίζεσθαι. 6) = Οἵ δ' ἂν μὴ ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες. 7) Χωρὶς νὰ πράξωσί τι ἀξιόμεμπτον (ἐπιλήψιμον). 8) Ἐκ τῶν γεραιτέρων, δηλ. μεταβαίνουσιν εἰς τὴν τάξιν τῶν γερ. 9) Ἐνν. ἐστὶν ἐκείνη, ᾗ οἴονται χρώμενοι κτλ.: 10) Καὶ τοῦ ὅτι συνέδεον τὴν δίαιταν μὲ τὸν πόνον (τὴν ἄσκησιν).

τὸ φύσης[1] μεστοὺς φαίνεσθαι, αἰσχρὸν δέ ἐστι καὶ τὸ ἰόντα ποι φανερὸν γενέσθαι ἢ τοῦ οὐρῆσαι ἕνεκα ἢ καὶ ἄλλου τινὸς τοιούτου. Ταῦτα δὲ οὐκ ἂν ἐδύναντο ποιεῖν, εἰ μὴ καὶ διαίτῃ μετρίᾳ ἐχρῶντο καὶ τὸ ὑγρὸν ἐκπονοῦντες ἀνήλισκον[2], ὥστε ἄλλῃ πῃ ἀποχωρεῖν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Μετάκλησις τῆς μητρὸς Κύρου παρ' Ἀστυάγει ἐν Μηδίᾳ. — Δείγματα τῆς φύσεως, τοῦ χαρακτῆρος καὶ τῆς παιδαγωγήσεως Κύρου. — Συνδιαλέξεις αὐτοῦ ἐν δείπνῳ πρὸς Ἀστυάγην. — Ἐπάνοδος τῆς μητρὸς Μανδάνης παρὰ Πέρσαις καὶ διατριβὴ Κύρου ἐν Μήδοις.

Κῦρος μέχρι μὲν δώδεκα ἐτῶν ἢ ὀλίγῳ πλεῖον ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων διαφέρων[3] ἐφαίνετο καὶ εἰς τὸ ταχὺ μανθάνειν ἃ δέοι καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. Ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο[4] Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκουεν αὐτὸν καλὸν κἀγαθὸν εἶναι. Ἔρχεται δ' αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα. Ὡς δ' ἀφίκετο τάχιστα καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς οἷα δὴ[5] παῖς φύσει φιλόστοργος ὢν ἠσπάζετό τε αὐτὸν ὥσπερ ἂν[6]

[1]) Δυσώδους ἀέρος (τοῦ διὰ τῆς ἕδρας ἐκπεμπομένου). [2]) Καὶ ἐὰν διὰ τῶν σωματικῶν πόνων δὲν ἐδαπάνων τὸ ὑγρὸν (τὸ ἐκ τοῦ πτύειν δηλ. καὶ ἀπομύττεσθαι), ὥστε νὰ ἐξέρχεται (νὰ ἀποχωρῇ) ἀπὸ ἄλλο τι μέρος τοῦ σώματος. [3]) Ὑπερέχων ὅλων τῶν συνομηλίκων του. [4]) = Ἔστειλε καὶ ἐκάλεσε παρ' ἑαυτῷ. [5]) Οἷα δὴ... ὢν = ἅτε ὢν = ἐπειδὴ ἦτο κτλ: [6]) Ἐξυπν. τὸ ἀσπάζοιτο = ὥσπερ ἄν τις ἀσπάζοιτο.

εἴ τις πάλαι συντεθραμμένος καὶ πάλαι φιλῶν[1] ἀσπάζοιτο, καὶ ὁρῶν δὴ αὐτὸν κεκοσμημένον καὶ ὀφθαλμῶν ὑπογραφῇ[2] καὶ χρώματος ἐντρίψει[3] καὶ κόμαις προσθέτοις[4], ἃ δὴ νόμιμα ἦν ἐν Μήδοις· ταῦτα γὰρ πάντα Μηδικά ἐστι, καὶ οἱ πορφυροῖ χιτῶνες καὶ οἱ κάνδυες[5] καὶ οἱ στρεπτοὶ[6] καὶ οἱ περὶ τῇ δέρῃ καὶ τὰ ψέλια[7] τὰ περὶ ταῖς χερσὶν, ἐν Πέρσαις δὲ τοῖς οἴκοι[8] καὶ νῦν ἔτι πολὺ[9] καὶ ἐσθῆτες φαυλότεραι καὶ δίαιται εὐτελέστεραι· ὁρῶν δὴ τὸν κόσμον τοῦ πάππου, ἐμβλέπων αὐτῷ ἔλεγεν· Ὦ μῆτερ, ὡς[10] καλός μοι ὁ πάππος. Ἐρωτώσης δὲ αὐτὸν τῆς μητρὸς πότερος καλλίων αὐτῷ δοκεῖ εἶναι, ὁ πατὴρ ἢ οὗτος[11], ἀπεκρίνατο ἄρα[12] ὁ Κῦρος· Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατὴρ, Μήδων μέντοι ὅσων ἑώρακα ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ ταῖς θύραις[13] πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος. Ἀντασπαζόμενος δὲ ὁ πάππος αὐτὸν καὶ στολὴν καλὴν ἐνέδυσε καὶ στρεπτοῖς καὶ ψελίοις ἐτίμα καὶ ἐκόσμει, καὶ εἴ ποι ἐξελαύνει[14], ἐφ' ἵππου χρυσοχαλίνου περιῆγεν, ὥσπερ καὶ αὐτὸς εἰώθει πορεύεσθαι. Ὁ δὲ

---

[1]) Πρὸ πολλοῦ ἀγαπῶν. [2]) = Διὰ βαφῆς τῶν (βλεφάρων τῶν) ὀφθαλμῶν. [3]) Καὶ διὰ τῆς χρήσεως ψιμυθίου. [4]) Μὲ κόμας ξένας, (ἀναλόγους πρὸς τὰς μπερούκας). [5]) Χιτῶνες περσικοὶ ὅμοιοι πρὸς ἐκείνους ἃς ἐφόρουν οἱ βασιλεῖς καὶ οἱ στρατηγοί. [6]) Στρεπτὸς καὶ τὸ στρεπτὸν = χρυσοῦν περιτραχήλιον, περιδέραιον. [7]) Ψέλιον καὶ ψάλιον. Τὸ πρῶτον ἦν κρίκος περὶ τὸν καρπὸν τῆς χειρός, τὸ παρ' ἡμῖν βραχιόλιον. Τὸ ψάλιον ἦν χαλινὸς τοῦ ἵππου. [8]) Τοῖς μένουσιν εἰς τὰς πατρίδας των. [9]) Τὸ πολὺ προσδιορ. τοῦ φαυλότεραι καὶ εὐτελέστεραι. [10]) Πόσον. [11]) Ὁ πάππος δηλ. [12]) Λοιπόν. [13]) Ἐπὶ ταῖς θύραις (ἐνν.) τῶν ἀνακτόρων = ἐν ταῖς βασιλείοις αὐλαῖς, ἀνάλογον πρὸς τὸ σημερινὸν ἡ Ὑψηλὴ Πύλη τῶν Ὀθωμανῶν. [14]) Ἐὰν ἤθελεν ὑπάγει που ἔφιππος.

Κῦρος ἅτε παῖς ὢν[1] καὶ φιλόκαλος καὶ φιλότιμος ἥδετο
τῇ στολῇ, καὶ ἱππεύειν μανθάνων ὑπερέχαιρεν· ἐν Πέρ-
σαις γὰρ διὰ τὸ χαλεπὸν εἶναι καὶ τρέφειν ἵππους καὶ
ἱππεύειν ἐν ὀρεινῇ οὔσῃ τῇ χώρᾳ καὶ ἰδεῖν ἵππον πάνυ
4 σπάνιον ἦν. Δειπνῶν δὲ δὴ ὁ Ἀστυάγης σὺν τῇ θυγα-
τρὶ καὶ τῷ Κύρῳ, βουλόμενος τὸν παῖδα ὡς ἥδιστα
δειπνεῖν, ἵνα ἧττον τὰ οἴκαδε ποθοίη, προσῆγεν αὐτῷ
καὶ παροψίδας[2] καὶ παντοδαπὰ ἐμβάματα[3] καὶ βρώ-
ματα[4]. Τὸν δὲ Κῦρον ἔφασαν λέγειν· Ὦ πάππε, ὅσα
πράγματα[5] ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ
πάντα τὰ λεκάνια ταῦτα διατείνειν τὰς χεῖρας καὶ ἀπο-
γεύεσθαι τούτων τῶν παντοδαπῶν βρωμάτων. Τί δὲ[6],
φάναι[7] τὸν Ἀστυάγην, οὐ γὰρ πολύ σοι δοκεῖ εἶναι
κάλλιον τόδε τὸ δεῖπνον τοῦ ἐν Πέρσαις; Τὸν δὲ Κῦρον
πρὸς ταῦτα ἀποκρίνασθαι [λέγεται]· Οὔκ, ὦ πάππε,
ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός
ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι[8] ἢ παρ' ὑμῖν· ἡμᾶς μὲν γὰρ
ἄρτος καὶ κρέα εἰς τοῦτο[9] ἄγει, ὑμεῖς δὲ εἰς μὲν τὸ
αὐτὸ ἡμῖν σπεύδετε, πολλοὺς δέ τινας ἑλιγμοὺς ἄνω
καὶ κάτω πλανώμενοι μόλις ἀφικνεῖσθε ὅποι ἡμεῖς πά-
5 λαι ἥκομεν[10]. Ἀλλ', ὦ παῖ, φάναι τὸν Ἀστυάγην, οὐκ
ἀχθόμενοι ταῦτα[11] περιπλανώμεθα· γευόμενος δὲ καὶ
σύ, ἔφη, γνώσει ὅτι ἡδέα ἐστίν. Ἀλλὰ καὶ σέ, φάναι

[1]) Ἐπειδὴ ἦτο παῖς. [2]) Τρυβλία (πιάτα) μὲ ὀρεκτικὰ ὄψα). [3]) Καὶ διαφόρους ζωμοὺς (σάλτσας). [4]) Φαγητά. [5]) Ὅσα πράγματα = πόσας δυσκολίας, ἐνοχλήσεις. [6]) Ἐνν. λέγεις. [7]) Ἐξαρτᾶται ἐκ τοῦ ἀνωτ. ἔφασαν. [8]) Ἡ ἐπὶ δηλοῖ τὸν σκοπόν. = Πρὸς τὸ ἐμπλῆσαι τὴν κοιλίαν ἡμῶν, πρὸς τὸ χορτάσαι. [9]) Δηλ. πρὸς τὸ ἐμπλησθῆναι. [10]) Μόλις φθάνετε ἐκεῖ ὅπου ἡμεῖς πρὸ πολλοῦ ἔχομεν φθάσει. [11]) Ταύτας τὰς πλάνας.

τὸν Κῦρον, ὁρῶ, ὦ πάππε, μυσαττόμενον[1] ταῦτα τὰ
βρώματα. Καὶ τὸν Ἀστυάγην ἐπερέσθαι· Καὶ τίνι δὴ
σὺ τεκμαιρόμενος, ὦ παῖ, λέγεις; Ὅτι σε, φάναι, ὁρῶ,
ὅταν μὲν τοῦ ἄρτου ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποψώ-
μενον[2], ὅταν δὲ τούτων τινὸς θίγῃς[3], εὐθὺς ἀποκα-
θαίρει[4] τὴν χεῖρα εἰς τὰ χειρόμακτρα, ὡς πάνυ ἀχθό-
μενος ὅτι πλέα[5] σοι ἀπ' αὐτῶν[6] ἐγένετο. Πρὸς ταῦτα δὲ
τὸν Ἀστυάγην εἰπεῖν· Εἰ τοίνυν οὕτω γιγνώσκεις[7], ὦ 6
παῖ, ἀλλὰ κρέα γε εὐωχοῦ[8], ἵνα νεανίας[9] οἴκαδε ἀπέλ-
θῃς. Ἅμα δὲ ταῦτα λέγοντα πολλὰ αὐτῷ παραφέρειν
καὶ θήρεια καὶ τῶν ἡμέρων[10]. Καὶ τὸν Κῦρον, ἐπεὶ
ἑώρα πολλὰ τὰ κρέα, εἰπεῖν· Ἦ[11] καὶ δίδως, φάναι, ὦ
πάππε, πάντα ταῦτά μοι τὰ κρέα ὅ,τι ἂν βούλωμαι
αὐτοῖς χρῆσθαι[12]; Νὴ Δία, φάναι, ὦ παῖ, ἔγωγέ σοι[13].
Ἐνταῦθα δὴ[14] τὸν Κῦρον λαβόντα τῶν κρεῶν[15] διαδιδό-
ναι τοῖς ἀμφὶ τὸν πάππον θεραπευταῖς[16], ἐπιλέγοντα ἑκά- 7
στῳ· Σοὶ μὲν τοῦτο ὅτι[17] προθύμως με ἱππεύειν διδά-
σκεις, σοὶ δ' ὅτι μοι παλτὸν ἔδωκας· νῦν γὰρ τοῦτ' ἔχω·
σοὶ δ' ὅτι τὸν πάππον καλῶς θεραπεύεις, σοὶ δ' ὅτι
μου τὴν μητέρα τιμᾷς· τοιαῦτα ἐποίει, ἕως διεδίδου
πάντα ἃ ἔλαβε κρέα[18]. Σάκᾳ δὲ, φάναι τὸν Ἀστυάγην, 8

1) Ἀηδιάζοντα, ἀποστρεφόμενον. 2) Σπογγίζοντα. 3) Ἐγγίζῃς. 4) Καθαρίζεις. 5) = Πλήρη. 6) Ἀπ' αὐτῶν = ἀπὸ (τῆς ἐπαφῆς) τῶν βρωμάτων. 7) = Τοιαύτην γνώμην ἔχεις. 8) Τρῶγε τοὐλάχιστον κρέατα. 9) Νεανίας: ἐν τῇ σημασίᾳ τοῦ εὐσάρκος, εὔρωστος (ὅπως δηλ. πρέπει νὰ ἦνε οἱ νέοι). 10) Ἐνν. ζώων. 11) Τῷ ὄντι. 12) Διὰ νὰ τὰ μεταχειρισθῶ ὅπως θέλω; 13) Καταφατ. = Μάλιστα σοὶ τὰ δίδω νὰ τὰ μεταχ. κτλ: 14) Τότε λοιπόν. 15) Γεν. διαιρετικὴ τοῦ ἐννοουμ. τινά. 16) Εἰς τοὺς θεράποντας, τοὺς ὑπηρέτας. 17) Εἰς σὲ μὲν δίδω τοῦτο τὸ κρέας διότι κτλ: 18) Ἕως οὗ διεμοίρασε πάντα τὰ κρέατα ἃ ἔλαβε.

τῷ οἰνοχόῳ, ὃν εγὼ μάλιστα τιμῶ, οὐδὲν δίδως; Ὁ δὲ
Σάκας ἄρα[1] καλός τε ὢν ἐτύγχανε καὶ τιμὴν ἔχων
προσάγειν[2] τοὺς δεομένους Ἀστυάγους καὶ ἀποκωλύειν
οὓς μὴ καιρὸς αὐτῷ δοκοίη εἶναι προσάγειν. Καὶ τὸν
Κῦρον ἐπερέσθαι προπετῶς[3] ὡς ἂν[4] παῖς μηδέπω ὑπο-
πτήσσων[5]· Διὰ τί δή, ὦ πάππε, τοῦτον οὕτω τιμᾷς;
καὶ τὸν Ἀστυάγην σκώψαντα εἰπεῖν· Οὐχ ὁρᾷς, φάναι,
ὡς καλῶς οἰνοχοεῖ καὶ εὐσχημόνως; Οἱ δὲ τῶν βασιλέων
τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι καὶ καθαρείως
ἐγχέουσι καὶ διδόασι τοῖς τρισὶ δακτύλοις ὀχοῦντες[6]
τὴν φιάλην καὶ προσφέρουσιν ὡς[7] ἂν ἐνδοῖεν τὸ ἔκ-
9 πωμα εὐληπτότατα τῷ μέλλοντι πίνειν. Κέλευσον δή,
φάναι, ὦ πάππε, τὸν Σάκαν καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα,
ἵνα κἀγὼ καλῶς σοι πιεῖν ἐγχέας ἀνακτήσωμαί σε[8], ἢν
δύνωμαι. Καὶ τὸν[9] κελεῦσαι δοῦναι. Λαβόντα δὲ τὸν
Κῦρον οὕτω μὲν δὴ εὖ κλύσαι[10] τὸ ἔκπωμα ὥσπερ τὸν
Σάκαν ἑώρα[11], οὕτω δὲ στήσαντα τὸ πρόσωπον σπου-
δαίως καὶ εὐσχημόνως πως προσενεγκεῖν καὶ ἐνδοῦναι
τὴν φιάλην τῷ πάππῳ ὥστε τῇ μητρὶ καὶ τῷ Ἀστυάγει
πολὺν γέλωτα παρασχεῖν[12]. Καὶ αὐτὸν δὲ τὸν Κῦρον
ἐκγελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον καὶ φιλοῦντα

1) Τῷ ὄντι ἦτο ὡραῖος καὶ εἶχε τὴν τιμὴν νὰ παρουσιάζῃ τοὺς ἔχοντας ἀνάγκην (παρουσιασθῆναι ἐνώπιον) τοῦ Ἀστυάγους. 2) Ἐνν. τῷ Ἀστυάγει. 3) Μετὰ παρρησίας. 4) Ἐνν. ἐπέροιτο. 5) Φοβούμενος (ἀπὸ ἔλλειψιν θάρρους). 6) Κρατοῦντες. 7) Ὥστε νὰ δύνανται νὰ δίδωσι τὸ ἔκπωμα (ποτήριον) μὲ τρόπον ὥστε νὰ τὸ λαμβάνῃ πολὺ εὐκόλως (εὐληπτότατα) ὁ μέλλων νὰ πίῃ. 8) Ἵνα, ἀφοῦ χύσω εἰς τὸ ποτήριόν σου νὰ πίῃς σὲ ἐπανακτήσω (κερδίσω τὴν εὔνοιάν σου). 9) Τοῦτον. 10) Τόσῳ μὲν καλῶς ἔπλυνε τὸ ποτήριον. 11) Ἐνν. τὸ κλύζοντα. 12) Προξενῆσαι.

ἅμα εἰπεῖν· Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε ἐκ τῆς τιμῆς· τά τε γὰρ ἄλλα, φάναι, σοῦ κάλλιον οἰνοχοήσω καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον. Οἱ δ' ἄρα τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν διδῶσι τὴν φιάλην, ἀρύσαντες[1] ἀπ' αὐτῆς τῷ κυάθῳ εἰς τὴν ἀριστερὰν χεῖρα ἐγχεάμενοι καταρροφοῦσι, τοῦ[2] δὴ εἰ φάρμακα ἐγχέοιεν μὴ λυσιτελεῖν αὐτοῖς. Ἐκ τούτου δὴ ὁ Ἀστυάγης ἐπισκώπτων· Καὶ τί δή, ἔφη, ὦ Κῦρε, τἆλλα μιμούμενος τὸν Σάκαν οὐκ ἀπερρόφησας τοῦ οἴνου; Ὅτι, ἔφη, νὴ Δία ἐδεδοίκειν[3] μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. Καὶ γὰρ ὅτε εἱστίασας[4] σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα ὑμῖν αὐτὸν ἐγχέαντα. Καὶ πῶς δὴ σὺ τοῦτο, ἔφη, ὦ παῖ, κατέγνως; Ὅτι νὴ Δί' ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους[5]. Πρῶτον μὲν γὰρ ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ[6] ἐποιεῖτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε[7], ἐμανθάνετε δὲ οὐδὲν ἀλλήλων[8] ᾔδετε δὲ καὶ μάλα γελοίως, οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος ὤμνυτε ἄριστα ᾄδειν· λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἔπειτ' εἰ ἀνασταίητε[9] ὀρχησόμενοι, μὴ ὅπως[10] ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ'

---

[1]) Ἀφοῦ ἀντλήσωσι, μεταγγίσωσιν εἰς τὸν κύαθον (= μικρὸν χάλκινον τρυβλίον). [2]) Ἕνεκα τούτου ἵνα μὴ δηλ. ὠφεληθῶσι καὶ αὐτοὶ (νὰ βλαβῶσι), ἐὰν ἤθελον χύσῃ φάρμακα ἐντὸς αὐτοῦ. [3]) Ὑπερσυν. ἀντὶ παρατ. τοῦ ἀχρ. δείδω = φοβοῦμαι. [4]) Ἐφίλευσες. [5]) Ὅτι καὶ κατὰ τὰς ἰδέας ἐσφάλλετε καὶ κατὰ τὰ σώματα (δηλ. ἐκλονίζεσθε ἐκ τῆς οἰνοποσίας). [6]) Σεῖς οἱ ἴδιοι. [7]) Ὑπερσ. ἀντὶ παρατ. τοῦ κράζω. [8]) Οὐδόλως κατελαμβάνετε ὁ εἷς τὸν ἄλλον. [9]) Ἐὰν (ὁσάκις) ἠθέλετε ἐγερθῇ ἵνα χορεύσητε. [10]) Μὴ ὅπως ... ἀλλ' οὐδέ: ἐλλειπτικὴ = μὴ εἴπω ὅτι (οὐ μόνον) ... ἀλλ' οὐδέ.

ὀρθοῦσθε ἐδύνασθε. Ἐπελέλησθε[1] δὲ παντάπασι σύ τε ὅτι βασιλεὺς ἦσθα, οἵτε ἄλλοι ὅτι σὺ ἄρχων. Τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον ὅτι τοῦτ᾽ ἄρ᾽ ἦν ἡ ἰσηγορία[2] ὃ ὑμεῖς τότ᾽ ἐποιεῖτε· οὐδέποτε γοῦν[3] ἐσιω-
11 πᾶτε. Καὶ ὁ Ἀστυάγης λέγει· Ὁ δὲ σὸς πατήρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί᾽, ἔφη. Ἀλλὰ πῶς ποιεῖ; Διψῶν παύεται[4], ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γάρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. Καὶ ἡ μήτηρ εἶπεν· Ἀλλὰ τί ποτε σύ, ὦ παῖ, τῷ Σάκᾳ οὕτω πολεμεῖς; τὸν δὲ Κῦρον εἰπεῖν· Ὅτι νὴ Δία, φάναι, μισῶ αὐτόν· πολλάκις γάρ με πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν[5] οὗτος ὁ μιαρώτατος ἀποκωλύει. Ἀλλ᾽ ἱκετεύω, φάναι, ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ. Καὶ τὸν Ἀστυάγην εἰπεῖν· Καὶ πῶς ἂν ἄρξαις αὐτοῦ; Καὶ τὸν Κῦρον φάναι· Στὰς ἂν[6] ὥσπερ οὗτος ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα ὁπότε βούλοιτο παριέναι ἐπ᾽ ἄριστον[7], λέγοιμ᾽ ἂν ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν· σπουδάζει[8] γὰρ πρός τινας· εἶθ᾽ ὁπότε ἥκοι ἐπὶ τὸ δεῖπνον, λέγοιμ᾽ ἂν ὅτι λοῦται[9]· εἰ δὲ πάνυ σπουδάζοι[10] φαγεῖν, εἴποιμ᾽ ἂν ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν· ἕως παρατείναιμι[11] τοῦτον ὥσπερ οὗτος ἐμὲ παρα-

[1]) Ὑπερσ. τοῦ ἐπιλανθάνομαι: εἴχετε δὲ λησμονήσῃ. [2]) Τὸ ἴσα λέγειν (ἀγορεύειν) πρὸς τοὺς ἄλλους. [3]) Διότι. [4]) Πίνει ὥστε νὰ μὴ διψῇ (δηλ. πίνει ἐν μέτρῳ καὶ ὄχι μεθυσκόμενος. [5]) Ἀόρ. τοῦ προστρέχω. [6]) Στὰς ἂν = σταίην ἄν, ὥς περ οὗτος (ἐνν. ἔστη) . . . ἔπειτα λέγοιμ᾽ ἄν. [7]) Ὁσάκις ἤθελε νὰ εἰσέλθῃ διὰ τὸ πρόγευμα. [8]) Ὑποκμ. τὸ ἄριστον, ὅπερ προσωποποιεῖ ἐνταῦθα ὁ Κῦρος ἀντὶ τοῦ πάππου του κατειρωνευόμενος τὸν Σάκαν. = Ὅτι τὸ πρόγευμα ἀσχολεῖται εἰς σπουδαίας ὑποθέσεις μέ τινας. [9]) Δηλ. τὸ (ὑποκμ.) δεῖπνον. [10]) Ἐὰν δὲ πολὺ βιάζεται. [11]) Ἕως οὗ τὸν ἀργοπορῶ.

τείνει ἀπὸ σοῦ κωλύων. Τοσαύτας μὲν αὐτοῖς εὐθυμίας 12
παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς δ' ἡμέρας, εἴ τινος αἴ-
σθοιτο δεόμενον ἢ τὸν πάππον ἢ τὸν τῆς μητρὸς
ἀδελφὸν[1], χαλεπὸν ἦν ἄλλον φθάσαι[2] τοῦτο ποιή-
σαντα· ὅ,τι γὰρ δύναιτο[3] ὁ Κῦρος ὑπερέχαιρεν αὐτοῖς
χαριζόμενος.
Ἐπεὶ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς[4] ἀπιοῦσα 13
πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης κατα-
λιπεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο ὅτι βούλοιτο[5] μὲν
ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα
χαλεπὸν εἶναι νομίζειν[6] καταλιπεῖν. Ἔνθα δὴ ὁ Ἀ-
στυάγης λέγει πρὸς τὸν Κῦρον· Ὦ παῖ, ἢν μένῃς 14
παρ' ἐμοί, πρῶτον μὲν τῆς παρ' ἐμὲ εἰσόδου σοι[7] οὐ
Σάκας ἄρξει, ἀλλ' ὁπόταν βούλῃ εἰσιέναι ὡς[8] ἐμέ, ἐπὶ
σοὶ ἔσται[9]· καὶ χάριν σοι εἴσομαι[10] ὅσῳ ἂν πλεονάκις
εἰσίῃς ὡς ἐμέ. Ἔπειτα δε ἵπποις τοῖς ἐμοῖς χρήσει καὶ
ἄλλοις ὁπόσοις ἂν βούλῃ, καὶ ὁπόταν ἀπίῃς, ἔχων ἄπει
οὓς ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα δὲ ἐν τῷ δείπνῳ ἐπὶ τὸ
μετρίως σοι δοκοῦν ἔχειν[11] ὁποίαν βούλει ὁδὸν πορεύ-
σει. Ἔπειτα τά τε νῦν ἐν τῷ παραδείσῳ[12] θηρία δίδωμί

---

1) Ἤτοι τὸν πρὸς μητρὸς θεῖόν του Κυαξάρην. 2) Νὰ προφθάσῃ ἄλλος νὰ τὸ πράξῃ. 3) Ἐνν. χαρίζεσθαι. 4) Τελ: μὲ τὸν σκοπὸν νὰ ἐπανέλθῃ πρὸς τὸν σύζυγόν της. 5) Εἶχε τὴν ἐπιθυμίαν. 6) Νομίζειν ἀντὶ = ὅ,τι νομίζοι, σύμφωνον πρὸς τὸ μεθ' οὗ συνδέεται: ὅτι βούλοιτο. 7) Τῆς παρ' ἐμὲ εἰσόδου σοι = τοῦ νὰ εἰσέρχησαι πρός με καὶ μένῃς παρ' ἐμοί. Ἡ παρὰ σημ. κίνησιν καὶ διαμονὴν εἰς τόπον. 8) Πρός. 9) Θὰ ἦνε εἰς τὴν διάθεσίν σου, εἰς τὴν ἐξουσίαν σου. 10) Μέλ. τοῦ οἶδα. Καὶ χάριν θὰ σοῦ γνωρίζω. 11) = Ἐπὶ τοῦτο, ὅ σοι δοκεῖ μετρίως ἔχειν = τὸ ὁποῖόν σοι φαίνεται μέτριον. 12) Παράδεισος ἦν μεγάλην ἔκτασις περιπεφραγμένη καὶ κατάφυτος δένδρων πλήρης θηρίων, τ. ἔ. ζώων

σοι καὶ ἄλλα παντοδαπὰ συλλέξω, ἃ σὺ ἐπειδὰν τάχιστα ἱππεύειν μάθῃς, διώξει, καὶ τοξεύων καὶ ἀκοντίζων καταβαλεῖς ὥσπερ οἱ μεγάλοι ἄνδρες. Καὶ παῖδας δέ σοι ἐγὼ συμπαίστορας παρέξω, καὶ ἄλλα ὁπόσα ἂν
15 βούλῃ λέγων πρὸς ἐμὲ οὐκ ἀτυχήσεις[1]. Ἐπεὶ ταῦτα εἶπεν ὁ Ἀστυάγης, ἡ μήτηρ διηρώτα τὸν Κῦρον πότερον βούλοιτο μένειν ἢ ἀπιέναι. Ὁ δὲ οὐκ ἐμέλλησεν[2], ἀλλὰ ταχὺ εἶπεν ὅτι μένειν βούλοιτο. Ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μητρὸς διὰ τί[3] εἰπεῖν λέγεται· Ὅτι οἴκοι μὲν τῶν ἡλίκων καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ ἀκοντίζων καὶ τοξεύων, ἐνταῦθα δὲ οἶδ' ὅτι ἱππεύων ἥττων[4] εἰμὶ τῶν ἡλίκων· καὶ τοῦτο εὖ ἴσθι, ὦ μῆτερ, ἔφη, ὅτι ἐμὲ πάνυ ἀνιᾷ[5]. Ἢν δέ με καταλίπῃς ἐνθάδε καὶ μάθω ἱππεύειν, ὅταν μὲν ἐν Πέρσαις ὦ, οἶμαί σοι ἐκείνους τοὺς ἀγαθοὺς τὰ πεζικὰ ῥᾳδίως νικήσειν, ὅταν δ' εἰς Μήδους ἔλθω, ἐνθάδε πειράσομαι τῷ πάππῳ ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεὺς συμμα-
16 χεῖν αὐτῷ. Τὴν δὲ μητέρα εἰπεῖν· Τὴν δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσει ἐνθάδε ἐκεῖ ὄντων σοι τῶν διδασκάλων; Καὶ τὸν Κῦρον φάναι· Ἀλλ', ὦ μῆτερ, ἀκριβῶς[6] ταῦτά γε οἶδα. Πῶς σὺ οἶσθα; Τὴν Μανδάνην εἰπεῖν. Ὅτι, φάναι, ὁ διδάσκαλός με ὡς ἤδη ἀκριβοῦντα τὴν δικαιοσύνην καὶ ἄλλοις καθίστη δικάζειν[7]. Καὶ τοίνυν, φάναι, ἐπὶ μιᾷ ποτε δίκῃ πληγὰς

πρὸς θήραν. [1]) Δὲν θέλεις ἀποτύχει. [2]) Δὲν ἤργησε ν' ἀποκριθῇ. [3]) Ἐνν βούλει μένειν. [4]) Συγκριτ. τοῦ ὀλίγος. Κατώτερος. [5]) Καὶ τοῦτο... ὅτι πολὺ μὲ στενοχωρεῖ. [6]) Μετ' ἀκριβείας, μετὰ λεπτομερείας. [7]) Μὲ διώριζε νὰ δικάζω ἄλλου-

ἔλαβον[1] ὡς οὐκ ὀρθῶς δικάσας. Ἦν δὲ ἡ δίκη τοιαύτη. 17
Παῖς μέγας μικρὸν ἔχων χιτῶνα παῖδα μικρὸν μέγαν
ἔχοντα χιτῶνα ἐκδύσας αὐτὸν τὸν μὲν ἑαυτοῦ ἐκεῖνον
ἠμφίεσε[2], τὸν δ' ἐκείνου αὐτὸς ἐνέδυ. Ἐγὼ οὖν τούτοις
δικάζων ἔγνων[3] βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόττ-
οντα ἑκάτερον χιτῶνα ἔχειν. Ἐν δὲ τούτῳ με ἔπαι-
σεν ὁ διδάσκαλος, λέξας ὅτι ὁπότε μὲν τοῦ ἁρμόττον-
τος εἴην κριτής, οὕτω δέοι ποιεῖν, ὁπότε δὲ κρῖναι
δέοι ποτέρου ὁ χιτὼν εἴη, τοῦτ' ἔφη σκεπτέον εἶναι τίς
κτῆσις δικαία ἐστὶ, πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν
ἢ τὸν ποιησάμενον ἢ πριάμενον κεκτῆσθαι· ἐπεὶ δ', ἔφη,
τὸ μὲν νόμιμον δίκαιον εἶναι, τὸ δὲ ἄνομον βίαιον,
σὺν τῷ νόμῳ ἐκέλευεν ἀεὶ τὸν δικαστὴν τὴν ψῆφον τί-
θεσθαι[4]. Οὕτως ἐγώ σοι, ὦ μῆτερ, τά γε δίκαια παντά-
πασιν ἤδη ἀκριβῶ[5]· ἢν δέ τι ἄρα προσδέωμαι[6], ὁ πάπ-
πος με, ἔφη, οὗτος ἐπιδιδάξει. Ἀλλ' οὐ ταὐτὰ, ἔφη, 18
ὦ παῖ, παρὰ τῷ πάππῳ καὶ ἐν Πέρσαις δίκαια ὁμολο-
γεῖται[7]. Οὗτος μὲν γὰρ τῶν ἐν Μήδοις πάντων ἑαυ-
τὸν δεσπότην πεποίηκεν, ἐν Πέρσαις δὲ τὸ ἴσον ἔχειν
δίκαιον νομίζεται. Καὶ ὁ σὸς πατὴρ πρῶτος τὰ τε-
ταγμένα μὲν ποιεῖ τῇ πόλει[8], τὰ τεταγμένα δὲ λαμβά-
νει, μέτρον δὲ αὐτῷ οὐχ ἡ ψυχὴ[9] ἀλλ' ὁ νόμος ἐστίν.
Ὅπως οὖν[10] μὴ ἀπολεῖ μαστιγούμενος, ἐπειδὰν οἴκοι

[1]) Ἐδάρην διά τινα δίκην. [2]) Ἀόρ. τοῦ ἀμφιέννυμι = ἐνδύω. [3]) Ἔκρινα, ἀπεφάσισα νὰ ἔχῃ ἕκαστος τὸν χιτῶνα, ὅστις τῷ ἁρμόζει. [4]) Δικάζειν, ἀποφασίζειν. [5]) Μετ' ἀκριβείας ἠξεύρω. [6]) Ἂν προσέτι ἔχω τινὸς χρείαν. [7]) Ἀλλὰ δὲν εἶνε καθιερωμένα τὰ αὐτὰ δίκαια παρὰ τῷ πάππῳ (δηλ. παρὰ τοῖς Μήδοις) καὶ παρὰ τοῖς Πέρσαις. [8]) Τὰ ὑπὸ τῆς πολιτείας νενομοθετημένα ἐκτελεῖ. [9]) Ἡ θέλησίς του. [10]) Κατὰ παράλειψιν

ῇς, ἂν παρὰ τούτου μαθὼν ἥκῃς ἀντὶ τοῦ βασιλικοῦ τὸ τυραννικόν, ἐν ᾧ[1] ἐστι τὸ πλεῖον οἴεσθαι χρῆναι πάντων ἔχειν. Ἀλλ' ὅ γε σὸς πατήρ, εἶπεν ὁ Κῦρος, δεινότερός ἐστιν, ὦ μῆτερ, διδάσκειν μεῖον ἢ πλεῖον ἔχειν· ἢ οὐχ ὁρᾷς, ἔφη, ὅτι, καὶ Μήδους ἅπαντας δεδίδαχεν αὑτοῦ μεῖον ἔχειν; Ὥστε θάρρει, ὡς[2] ὅ γε σὸς πατὴρ οὔτ' ἄλλον οὐδένα οὔτ' ἐμὲ πλεονεκτεῖν μαθόντα ἀποπέμψει.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Κύρου ἠθικὴ ἡλικία. — Πρῶται ἔξοδοι πρὸς θήραν.— Ἐχθροπραξίαι πρὸς Ἀσσυρίους.

Τοιαῦτα μὲν δὴ[3] πολλὰ ἐλάλει ὁ Κῦρος· τέλος δὲ ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε καὶ αὐτοῦ[4] ἐτρέφετο. Καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο[5] ὥστε οἰκείως διακεῖσθαι, ταχὺ δὲ τοὺς πατέρας αὐτῶν ἀνήρτητο[6], προσιὼν καὶ ἔνδηλος ὢν ὅτι ἠσπάζετο αὐτῶν τοὺς υἱεῖς, ὥστε εἴ τι τοῦ βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον τοῦ Κύρου δεῖσθαι διαπράξασθαι σφίσιν, ὁ δὲ Κῦρος, ὅ,τι δέοιντο αὐτοῦ οἱ παῖδες, διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν περὶ παντὸς ἐποιεῖτο διαπράττεσθαι, καὶ ὁ Ἀστυάγης δὲ ὅ,τι δέοιτο αὐτοῦ ὁ Κῦρος οὐδὲν ἐδύνατο ἀντέχειν μὴ οὐ χαρίζεσθαι. Καὶ γὰρ ἀσθενήσαντος αὐτοῦ οὐδέποτε ἀπέλειπε τὸν πάππον οὐδὲ κλάων[7] ποτὲ ἐπαύετο, ἀλλὰ δῆλος ἦν πᾶσιν ὅτι ὑπερεφοβεῖτο μή οἱ ὁ πάππος ἀποθάνῃ· καὶ γὰρ ἐκ νυ-

τοῦ ὅρα. Ὅρα οὖν ὅπως μὴ ἀπολεσθῇς κτλ. [1]) Ἐν τῷ ὁποίῳ (τυραννικῷ δηλ.) ἔγκειται τὸ νὰ νομίζῃ τις ὅτι πρέπει (χρῆναι) νὰ ἔχῃ πλειότερα ὅλων. [2]) Διότι. [3]) =Μὲν οὖν, λοιπόν. [4]) Ἐκεῖ, ἐν Μηδίᾳ, παρὰ τῷ πάππῳ. [5]) Συνεσχετίσθη. [6]) Ἐφείλκυσε πρὸς ἑαυτὸν τὴν συμπάθειαν τῶν πατέρων των [7]) Κλαίων.

κτός[1] εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ᾐσθάνετο Κῦρος καὶ πάντων ἀοκνότατα ἀνεπήδα ὑπηρετήσων[2] ὅ,τι οἴοιτο χαριεῖσθαι, ὥστε παντάπασιν ἀνεκτήσατο[3] τὸν Ἀστυάγην.

Καὶ ἦν μὲν ἴσως πολυλογώτερος[4] ἅμα μὲν διὰ τὴν 3
παιδίαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι λόγον ὧν[5] ἐποίει καὶ λαμβάνειν παρ' ἄλλων, ὁπότε δικάζοι, ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα πῶς ἔχοντα τυγχάνοι, καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι ταχὺ ἀπεκρίνετο, ὥστ' ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ· ἀλλ' ὥσπερ γὰρ ἐν σώματι, ὅσοι νέοι ὄντες μέγεθος[6] ἔλαβον, ὅμως ἐμφαίνεται τὸ νεαρὸν αὐτοῖς[7] ὃ κατηγορεῖ[8] τὴν ὀλιγοετίαν, οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλ' ἁπλότης καὶ φιλοστοργία, ὥστ' ἐπεθύμει ἄν τις ἔτι πλείω αὐτοῦ ἀκούειν ἢ σιωπῶντι παρεῖναι[9].

Ὡς δὲ προῆγεν αὐτὸν ὁ χρόνος σὺν τῷ μεγέθει[10] 4
εἰς ὥραν τοῦ πρόσηβον γενέσθαι, ἐν τούτῳ[11] δὴ τοῖς μὲν λόγοις βραχυτέροις ἐχρῆτο καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ, αἰδοῦς δ' ἐνεπίμπλατο, ὥστε καὶ ἐρυθραίνεσθαι ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις, καὶ τὸ σκυλα-

[1]) Τὴν νύκτα. [2]) Τελ. μετχ. = διὰ νὰ τὸν ὑπηρετήσῃ εἰς τοῦτο, ὅ,τι ἐνόμιζεν ὅτι ἤθελε τὸν εὐχαριστήσει. [3]) Μέσον· = ἀνέκτησεν ἑαυτῷ τὸν (ἐκέρδισε τὴν εὔνοιαν τοῦ) Ἀστυάγ. [4]) Ἐξυπονοεῖται ὡς ὅρος τῆς συγκρίσεως: τοῦ προσήκοντος τῇ ἡλικίᾳ = ἢ ὅσον ἥρμοζεν εἰς τὴν ἡλικίαν του. [5]) Ἕλξ: = τούτων, ἃ ἐποίει. [6]) Ἐνν. σώματος, κατὰ τὴν ἀνάπτυξιν τοῦ σώμ. [7]) Ἐν αὐτοῖς, τοῖς σώμασι. [8]) Καταδεικνύει τὸ μικρὸν τῆς ἡλικίας. [9]) Παρὰ νὰ ἦνε παρὼν (νὰ παρευρίσκηται μετ' αὐτοῦ σιωπῶντος. [10]) Σὺν τῇ σωματ. ἀναπτύξει εἰς τὴν ὥραν τοῦ νὰ γίνῃ πρόσηβος (τοῦ νὰ φθάσῃ τὴν ἐφηβικὴν ἡλικίαν). [11]) Τῷ χρόνῳ.

κῶδες[1] τὸ πᾶσιν ὁμοίως προσπίπτειν οὐκέθ' ὁμοίως[2]
[προπετὲς] εἶχεν. Οὕτω δὴ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ
ταῖς συνουσίαις πάμπαν ἐπίχαρις[3]. Καὶ γὰρ ὅσα δια-
γωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους, οὐχ' ἃ
κρείττων ᾔδει ὤν[4], ταῦτα[5] προυκαλεῖτο τοὺς συνόν-
τας, ἀλλ' ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥττονα ὄντα, ἐξῆρχε[6],
φάσκων κάλλιον αὐτῶν ποιήσειν, καὶ κατῆρχεν[7] ἤδη ἀνα-
πηδῶν ἐπὶ τοὺς ἵππους ἢ διατοξευσόμενος ἢ διακοντι-
ούμενος ἀπὸ τῶν ἵππων οὔπω πάνυ ἔποχος ὤν[8], ἡττώ-
5 μενός δὲ αὐτὸς ἐφ' ἑαυτῷ[9] μάλιστα ἐγέλα. Ὡς δ'[10]
οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι[11] εἰς τὸ μὴ ποιεῖν ἃ
ἡττῷτο, ἀλλ' ἐκαλινδεῖτο[12] ἐν τῷ πειρᾶσθαι αὖθις βέλτιον
ποιεῖν, ταχὺ μὲν εἰς τὸ ἴσον ἀφίκετο τῇ ἱππικῇ τοῖς
ἥλιξι[13], ταχὺ δὲ παρῄει[14] διὰ τὸ ἐρᾶν τοῦ ἔργου, ταχὺ
δὲ τὰ ἐν τῷ παραδείσῳ θηρία ἀνηλώκει διώκων καὶ βάλ-
λων καὶ κατακαίνων[15], ὥστε ὁ Ἀστυάγης οὐκέτ' εἶχεν[16]
αὐτῷ συλλέγειν θηρία. Καὶ ὁ Κῦρος αἰσθόμενος ὅτι βου-
λόμενος[17] οὐ δύναιτό οἱ[18] ζῶντα πολλὰ παρέχειν, ἔλεγε

---

[1]) Καὶ τὸ ἰδιάζον εἰς τοὺς σκύλους νὰ κολακεύωσιν (προσπίπτειν) ὅλους ὁμοίως. [2]) Ὁμοίως (ἐνν. ὥσπερ παῖς ὤν.) [3]) Ἐντελῶς δὲ χαρίεις εἰς τὰς συναναστροφάς του. [4]) Οὐχὶ ἐκεῖνα, εἰς τὰ ὁποῖα ἐγνώριζεν ὅτι ἦτο ὑπέρτερος. [5]) Ταῦτα (ἐπὶ ταῦτα), τ. ἔ. ἃ ᾔδει κτλ. [6]) Ἔκαμνεν ἀρχήν. [7]) Καὶ ἤρχιζε πρῶτος. [8]) Οὔπω πάνυ ἔποχος ὤν = ἐνῷ δὲν εἶχε ἀκόμη τοποθετηθῆ στερεῶς ἐπὶ τοῦ ἵππου. [9]) Ὁ ἴδιος μὲ τὸν ἑαυτόν του. [10]) Ἐπειδὴ δέ. [11]) Δὲν ἀπέφευγεν ἐκ τῆς ἥττης του εἰς τὸ νὰ μὴ ἐπαναλαμβάνῃ (μὴ ποιεῖν) ἐκεῖνα, εἰς τὰ ὁποῖα ἐνικᾶτο. [12]) Συνώνμ. τῷ ἐκυλινδεῖτο, = ἐκυλίετο (μεταφορ.), ἐπανήρχετο εἰς τὸ νὰ δοκιμάζῃ (πειρᾶσθαι) νὰ τὸ ἐκτελέσῃ πάλιν καλλίτερον. [13]) Τοῖς συνομηλίκοις του. [14]) Τοὺς ἐπέρασε, τοὺς ὑπερτέρησεν. [15]) Ἐξηφάνισε καταδιώκων καὶ κτυπῶν καὶ φονεύων. [16]) Ἠδύνατο. [17]) Ἂν καὶ ἤθελε. [18]) = Αὐτῷ

πρὸς αὐτόν· Ὦ πάππε, τί σε δεῖ θηρία ζητοῦντα πράγματ' ἔχειν[1]; Ἀλλ' ἐὰν ἐμὲ ἐκπέμπῃς ἐπὶ θήραν σὺν τῷ θείῳ, νομιῶ ὅσα ἂν ἴδω θηρία, ἐμοὶ ταῦτα τρέφεσθαι.
Ἐπιθυμῶν δὲ σφόδρα ἐξιέναι ἐπὶ τὴν θήραν οὐκέθ' ὁμοί- 6
ως λιπαρεῖν[2] ἐδύνατο ὥσπερ παῖς ὤν, ἀλλ' ὀκνηρότερον[3] προσῄει. Καὶ ἃ πρόσθεν τῷ Σάκα ἐμέμφετο ὅτι οὐ παρίει[4] αὐτὸν πρὸς τὸν πάππον, αὐτὸς ἤδη Σάκας ἑαυτῷ ἐγίγνετο· οὐ γὰρ προσῄει, εἰ μὴ ἴδοι εἰ καιρὸς εἴη, καὶ τοῦ Σάκα ἐδεῖτο πάντως σημαίνειν αὐτῷ[5] ὁπότε ἐγχωροίη[6] [καὶ ὁπότε καιρὸς εἴη]· ὥστε ὁ Σάκας ὑπερεφίλει[7] ἤδη καὶ οἱ ἄλλοι πάντες.

Ἐπεὶ δ' οὖν ἔγνω ὁ Ἀστυάγης σφόδρα αὐτὸν ἐπι- 7
θυμοῦντα ἔξω[8] θηρᾶν, ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ καὶ φύλακας συμπέμπει ἐφ' ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν δυσχωριῶν[9] φυλάττοιεν αὐτὸν καὶ εἰ τῶν ἀγρίων τι φανείη θηρίων. Ὁ οὖν Κῦρος τῶν ἑπομένων προθύμως ἐπυνθάνετο[10] ποίοις οὐ χρὴ θηρίοις πελάζειν[11] καὶ ποῖα χρὴ θαρροῦντα διώκειν. Οἱ δ' ἔλεγον ὅτι ἄρκτοι τε πολλοὺς ἤδη πλησιάσαντας διέφθειραν καὶ κάπροι καὶ λέοντες καὶ παρδάλεις, αἱ δὲ ἔλαφοι καὶ δορκάδες καὶ οἱ ἄγριοι οἶες καὶ οἱ ὄνοι οἱ ἄγριοι ἀσινεῖς[12] εἰσιν. Ἔλεγον δὲ καὶ τοῦτο, τὰς δυσχωρίας ὅτι δέοι

---

1) Τίς ἡ ἀνάγκη νὰ στενοχωρῆσαι (πράγματα ἔχειν) ζητῶν θηρία; 2) Παρακαλεῖν. 3) Ἐπιφυλακτικώτερον, μετὰ περισσοτ. συστολῆς. 4) Δὲν τὸν ἄφινε νὰ ὑπάγῃ. 5) Νὰ γνωστοποιῇ εἰς αὐτόν. 6) Πότε ἦτο ἐπιτετραμμένον (νὰ πηγαίνῃ). 7) Τὸν Κῦρον. 8) Ἐνν. τοῦ παραδείσου, ἑπομ. μακρὰν εἰς τὰ ὄρη. 9) Δυσβάτων τόπων, κακοτοπιές. 10) Ἠρώτα καὶ ἐμάνθανεν ἀπὸ τοὺς ἀκολουθοῦντας αὐτόν. 11) Πλησιάζειν. 12) Ἀβλαβεῖς.

φυλάττεσθε οὐδὲν ἧττον ἢ τὰ θηρία· πολλοὺς γὰρ ἤδη
8 αὐτοῖς τοῖς ἵπποις κατακρημνισθῆναι. Καὶ ὁ Κῦρος
πάντα ταῦτα ἐμάνθανε προθύμως· ὡς δὲ εἶδεν ἔλαφον
ἐκπηδήσασαν, πάντων ἐπιλαθόμενος ὧν[1] ἤκουσεν ἐδίω-
κεν οὐδὲν ἄλλο ὁρῶν ἢ ὅπη ἔφευγε. Καί πως διαπη-
δῶν αὐτῷ ὁ ἵππος πίπτει εἰς γόνατα, καὶ μικροῦ κά-
κεῖνον ἐξετραχήλισεν[2]. Οὐ μὴν ἀλλ' ἐπέμεινεν[3] ὁ Κῦ-
ρος μόλις πως, καὶ ὁ ἵππος ἐξανέστη. Ὡς δ' εἰς τὸ
πεδίον ἦλθεν, ἀκοντίσας καταβάλλει[4] τὴν ἔλαφον, κα-
λόν τι χρῆμα καὶ μέγα[5]. Καὶ ὁ μὲν δὴ ὑπερέχαιρεν·
οἱ δὲ φύλακες προσελάσαντες[6] ἐλοιδόρουν αὐτὸν [καὶ
ἔλεγον] εἰς οἷον κίνδυνον ἔλθοι, καὶ ἔφασαν κατερεῖν[7]
αὐτοῦ. Ὁ οὖν Κῦρος εἱστήκει καταβεβηκώς, καὶ ἀκούων
ταῦτα ἠνιᾶτο[8]. Ὡς δ' ᾔσθετο[9] κραυγῆς, ἀνεπήδησεν
ἐπὶ τὸν ἵππον ὥσπερ ἐνθουσιῶν, καὶ ὡς εἶδεν ἐκ τοῦ
ἀντίου κάπρον προσφερόμενον[10], ἀντίος ἐλαύνει καὶ δια-
τεινάμενος[11] εὐστόχως βάλλει εἰς τὸ μέτωπον καὶ κα-
9 τέσχε τὸν κάπρον. Ἐνταῦθα μέντοι ἤδη καὶ ὁ θεῖος
αὐτῷ ἐλοιδορεῖτο[12], τὴν θρασύτητα ὁρῶν. Ὁ δ' αὐτοῦ[13]
λοιδορουμένου ὅμως ἐδεῖτο ὅσα αὐτὸς ἔλαβε, ταῦτα

---

[1]) Λησμονήσας ὧν (ἕλξ. τούτων, ἃ) ἤκουσε. [2]) Καὶ μικροῦ (ἐνν. δεῖν) = παρ' ὀλίγον νὰ ῥίψῃ καὶ ἐκεῖνον (τὸν Κῦρον) ἐκ τοῦ τραχήλου. [3]) Ἀλλ' ὅμως ἔμεινεν (ἐκρατήθη) ἐπάνω ἐπὶ τοῦ ἵππου μετὰ πολλῆς δυσκολίας (μόλις πως). [4]) Ἱστορ. ἐνεστ. ἀντὶ κατέβαλεν = ἔρριψε χαμαί, (ἑπομ.) ἐφόνευσε. [5]) Ἐνν. οὖσαν. [6]) Αόρ. τοῦ προσελαύνω. Ἐλθόντες ἔφιπποι πλησίον του. [7]) Θὰ τὸν καταγγείλωσιν (εἰς τὸν πάππον). [8]) Ἐλυπεῖτο. [9]) Καθὼς δὲ ᾐσθάνθη κραυγήν. [10]) Τρέχοντα κατ' ἐπάνω του. [11]) Μέσον κτητ: = τεντώσας τὸ ἑαυτοῦ (τόξον) ἐπιτυχῶς ἐκτύπησε καὶ κατέβαλε τὸν κάπρον. [12]) Λοιδοροῦμαί τινι καὶ λοιδορῶ τινὰ = μέμφομαι, ἐπιπλήττω. [13]) Ὑπον: τοῦ θείου.

εᾶσαι εισκομίσαντα δοῦναι τῷ πάππῳ. Τὸν δὲ θεῖον εἰ-
πεῖν φασιν· Ἀλλ' ἢν αἴσθηται ὅτι ἐδίωκες, οὐ σοὶ μόνον
λοιδορήσεται, ἀλλὰ καὶ ἐμοὶ, ὅτι σε εἴων[1]. Καὶ ἢν
βούληται, φάναι αὐτὸν, μαστιγωσάτω, ἐπειδάν γε[2] ἐγὼ
δῶ αὐτῷ. Καὶ σύγε, ὅ,τι βούλει, ἔφη, ὦ θειε, τιμω-
ρησάμενος ταῦτα ὅμως χαρίσαί μοι. Καὶ ὁ Κυαξάρης
μέντοι τελευτῶν εἶπε· Ποίει ὅπως βούλει· σὺ γὰρ νῦν
γε ἡμῶν ἔοικας βασιλεὺς εἶναι. Οὕτω δὴ ὁ Κῦρος εἰσ- 10
κομίσας τὰ θηρία ἐδίδου τε τῷ πάππῳ καὶ ἔλεγεν ὅτι
αὐτὸς ταῦτα θηράσειεν ἐκείνῳ[3]. Καὶ τὰ ἀκόντια ἐπε-
δείκνυ μὲν οὔ, κατέθηκε δὲ ἡματωμένα ὅπου ᾤετο τὸν
πάππον ὄψεσθαι. Ὁ δὲ Ἀστυάγης ἄρα εἶπεν· Ἀλλ', ὦ
παῖ, δέχομαι μὲν ἔγωγε ἡδέως ὅσα σὺ δίδως. Οὐ μέντοι
δέομαί γε τούτων οὐδενός, ὥστε σε κινδυνεύειν. Καὶ ὁ
Κῦρος ἔφη· Εἰ τοίνυν μὴ σὺ δέει, ἱκετεύω, ὦ πάππε,
ἐμοὶ δὸς αὐτά, ὅπως τοῖς ἡλικιώταις ἐγὼ διαδῶ[4]. Ἀλλ',
ὦ παῖ, ἔφη ὁ Ἀστυάγης, καὶ ταῦτα λαβὼν διαδίδου ὅτῳ
σὺ βούλει καὶ τῶν ἄλλων[5] ὁπόσα ἐθέλεις. Καὶ ὁ Κῦρος 11
λαβὼν ἐδίδου τε ἄρας[6] τοῖς παισὶ καὶ ἅμα ἔλεγεν· Ὦ
παῖδες, ὡς ἄρα[7] ἐφλυαροῦμεν ὅτε τὰ ἐν τῷ παραδείσῳ
θηρία ἐθηρῶμεν· ὅμοιον ἔμοιγε δοκεῖ εἶναι οἷόνπερ εἴ
τις δεδεμένα ζῷα θηρῴη. Πρῶτον μὲν γὰρ ἐν μικρῷ
χωρίῳ[8] ἦν, ἔπειτα λεπτὰ καὶ ψωραλέα, καὶ τὸ μὲν αὐ-
τῶν χωλὸν ἦν, τὸ δὲ κολοβόν· τὰ δ' ἐν τοῖς ὄρεσι καὶ
λειμῶσι θηρία ὡς[9] μὲν καλὰ, ὡς δὲ μεγάλα, ὡς δὲ λι-

1) Ἐνν. διώκειν. 2) Ὅταν βεβαίως. 3) Δοτ. χαριστικὴ ἢ τῆς ἠθικῆς σχέσεως. = Δι' ἐκεῖνον. 4) Διαμοιράσω. 5) Θηρίων. 6) Ἀόρ. τοῦ αἴρω. = Λαβών. 7) Πόσον βεβαίως. 8) Ἐντὸς μικρᾶς ἐκτάσεως τόπου. 9) Πόσον.

παρὰ[1] ἐφαίνετο. Καὶ αἱ μὲν ἔλαφοι ὥσπερ πτηναὶ[2] ἥλ-
λοντο πρὸς τὸν οὐρανὸν, οἱ δὲ κάπροι ὥσπερ τοὺς ἄν-
δρας φασὶ[3] τοὺς ἀνδρείους ὁμόσε ἐφέροντο· ὑπὸ δὲ
τῆς πλατύτητος[4] οὐδὲ ἁμαρτεῖν οἷόν τ' ἦν αὐτῶν·
καλλίω δὴ, ἔφη, ἔμοιγε δοκεῖ καὶ τεθνηκότα εἶναι
ταῦτα ἢ ζῶντα ἐκεῖνα τὰ περιῳκοδομημένα[5]. Ἀλλ'
ἄρα ἂν, ἔφη, ἀφεῖεν καὶ ὑμᾶς οἱ πατέρες ἐπὶ θή-
ραν[6]; Καὶ ῥᾳδίως γ' ἂν[7], ἔφασαν, εἰ Ἀστυάγης κε-
12 λεύοι. Καὶ ὁ Κῦρος εἶπε· Τίς οὖν ἂν ἡμῖν[8] Ἀστυ-
άγει μνησθείη; Τίς γὰρ ἂν[9], ἔφασαν, σοῦ γε ἱκα-
νώτερος πεῖσαι; Ἀλλὰ μὰ τὸν Δία, ἔφη, ἐγὼ μὲν
οὐκ οἶδ' ὅστις ἄνθρωπος γεγένημαι· οὐδὲ γὰρ οἷός τ'
εἰμὶ λέγειν ἔγωγε οὐδ' ἀναβλέπειν[10] πρὸς τὸν πάππον
ἐκ τοῦ ἴσου[11] ἔτι δύναμαι. Ἢν δὲ τοσοῦτον ἐπιδιδῶ[12],
δέδοικα, ἔφη, μὴ παντάπασι βλάξ τις καὶ ἠλίθιος γένω-
μαι· παιδάριον δ' ὢν δεινότατος λαλεῖν ἐδόκουν εἶναι.
Καὶ οἱ παῖδες εἶπον· Πονηρὸν λέγεις τὸ πρᾶγμα[13], εἰ
μηδ' ὑπὲρ ἡμῶν ἄν τι δέῃ δυνήσει πράττειν, ἀλλ' ἄλ-

---

1) Παχέα, κατ' ἀντίθεσιν πρὸς τὸ λεπτὰ = λιπόσαρκα, ἰσχνά. 2) Ὥσπερ πτηναί: ὡς νὰ ἦσαν πετούμεναι ἐπήδων εἰς τὸν οὐρανόν. (Ὑπερβολὴ ἐκφράσεως πρὸς μείζονα παράστασιν τοῦ ἥλλοντο). 3) Ἐνν. ὡς εἰδ. ἀπαρέμφ. τοῦ φασὶν παραλαμβανόμενον ἐκ τοῦ κατωτέρω τό· ὁμόσε φέρεσθαι = ἐφορμᾶν. 4) Διὰ τὸ πλάτος (τοῦ σώματός) των. 5) Τὰ ἐντὸς τῆς οἰκοδομῆς (τῆς μάνδρας τοῦ παραδείσου) περικεκλεισμένα. 6) Ἀλλὰ θὰ ἦνε δυνατὸν τάχα νὰ μᾶς ἀφήσουν κτλ. 7) Ἀφεῖεν ἂν, εἰ κελεύοι. 8) Δοτ. τῆς ἠθικῆς σχέσεως. = Τίς θὰ μᾶς (κάμῃ τὴν χάριν νὰ) τὸ ἀναφέρῃ εἰς τὸν Ἀστυάγην; 9) Ἐνν. εἴη. 10) Βλέπειν κατὰ πρόσωπον, ἀτενίζειν. 11) = Ἐπίσης, πρότερον. 12) Ἐνν. ὥστε μὴ ἀναβλέπειν (μὴ τολμᾶν ἀτενίζειν κατὰ πρόσωπον). Ἐὰν προχωρῶ δηλ. εἰς τὸ νὰ ἦμαι δειλός, ὥστε νὰ μὴ...κτλ. 13) Πονηρόν ἐστι τὸ πρᾶγμα, ὅ λέγεις.

λου τινὸς τὸ ἐπὶ σὲ ἀνάγκη ἔσται δεῖσθαι[1] ἡμᾶς. Ἀκού- 13
σας δὲ ταῦτα ὁ Κῦρος ἐδήχθη[2], καὶ σιγῇ ἀπελθὼν δια-
κελευσάμενος ἑαυτῷ[3] τολμᾶν εἰσῆλθεν, ἐπιβουλεύσας[4]
ὅπως ἂν ἀλυπότατα εἴποι πρὸς τὸν πάππον καὶ διαπρά-
ξειεν αὐτῷ τε καὶ τοῖς παισὶν ὧν ἐδέοντο. Ἤρξατο
οὖν ὧδε.

Εἰπέ μοι, ἔφη, ὦ πάππε, ἤν τις ἀποδρᾷ[5] σε τῶν οἰ-
κετῶν καὶ λάβῃς[6] αὐτὸν, τί αὐτῷ χρήσει[7]; Τί ἄλλο[8],
ἔφη, ἢ δήσας ἐργάζεσθαι ἀναγκάσω; Ἢν δὲ αὐτόμα-
τος[9] πάλιν ἔλθῃ, πῶς ποιήσεις; Τί δὲ, ἔφη, εἰ μὴ μα-
στιγώσας γε, ἵνα μὴ αὖθις τοῦτο ποιῇ, ἐξ ἀρχῆς χρή-
σομαι[10]; Ὥρα ἂν[11], ἔφη ὁ Κῦρος, σοὶ παρασκευάζε-
σθαι εἴη ὅτῳ μαστιγώσεις με, ὡς βουλεύομαί γε ὅπως[12]
σε ἀποδρῶ λαβὼν τοὺς ἡλικιώτας ἐπὶ θήραν. Καὶ ὁ
Ἀστυάγης· Καλῶς, ἔφη, ἐποίησας προειπών· ἔνδοθεν
γὰρ, ἔφη, ἀπαγορεύω σοι μὴ κινεῖσθαι. Χαρίεν γὰρ[13], ἔφη,
εἰ ἕνεκα κρεαδίων[14] τῇ θυγατρὶ τὸν παῖδα ἀποβουκο-
λήσαιμι[15]. Ἀκούσας ταῦτα ὁ Κῦρος ἐπείθετο μὲν καὶ 14
ἔμενεν, ἀνιαρὸς δὲ καὶ σκυθρωπὸς ὢν σιωπῇ διῆγεν.

---

1) Σύνταξ: «ἀλλ' ἔσται ἀνάγκη (θὰ ἀναγκασθῶμεν) δεῖσθαι ἡμᾶς ἄλλου τινὸς (νὰ παρακαλῶμεν ἄλλον τινὰ) τὸ ἐπὶ σὲ (δι' ὅ,τι ἐξαρτᾶται ἀπὸ σοῦ» 2) Δάκνω=δαγκάνω. Ἀλλ' ἐνταῦθα ἔχει μεταφορικῶς ἠθικὴν ἔννοιαν τὸ ἐδήχθη=ἐπληγώθη τὴν φιλοτιμίαν του, ἐλυπήθη κατάκαρδα. 3) Παροτρύνας, βιάσας ἑαυτὸν τολμᾶν (νὰ εἶνε τολμηρός. 4) Διαλογισθεὶς πῶς .... 5) Φύγῃ κρυφίως. 6) Συλλάβῃς. 7) Τί (συστοιχ. ἀντικμ. τίνα χρῆσιν) χρήσει =πῶς θὰ τὸν μεταχειρισθῇς. 8) Ἐνν. χρήσωμαι αὐτῷ. 9) Αὐθόρμητος. 10) Θὰ τὸν μεταχειρισθῶ ὅπως ἐξ ἀρχῆς (πρὶν δηλ. ἀποδράσῃ. 11) Ὥρα ἂν...εἴη=καιρὸς θὰ εἶνε. 12) Πῶς. 13) Διότι θὰ ἦτο νόστιμον ἂν...κτλ. 14) Ὑποκοριστ. τοῦ κρέας 15) Ἀφήσω νὰ χαθῇ.

Ὁ μέντοι Ἀστυάγης ἐπεὶ ἔγνω αὐτὸν λυπούμενον ἰσχυρῶς, βουλόμενος αὐτῷ χαρίζεσθαι ἐξάγει ἐπὶ θήραν, καὶ πεζοὺς πολλοὺς καὶ ἱππέας συναλίσας[1] καὶ τοὺς παῖδας καὶ συνελάσας[2] εἰς τὰ ἱππάσιμα χωρία τὰ θηρία ἐποίησε μεγάλην θήραν. Καὶ βασιλικῶς[3] δὴ παρὼν αὐτὸς ἀπηγόρευε μηδένα βάλλειν, πρὶν Κῦρος ἐμπλησθείη[4] θηρῶν. Ὁ δὲ Κῦρος οὐκ εἴα κωλύειν, ἀλλ'· Εἰ βούλει, ἔφη, ὦ πάππε, ἡδέως με θηρᾶν, ἄφες τοὺς κατ' ἐμὲ[5] πάντας διώκειν καὶ διαγωνίζεσθαι ὅπως ἕκαστος κράτιστα δύναιτο. Ἐνταῦθα δὴ ὁ Ἀστυάγης ἀφίησι, καὶ στὰς ἐθεᾶτο ἁμιλλωμένους[6] ἐπὶ τὰ θηρία καὶ φιλονικοῦντας καὶ διώκοντας καὶ ἀκοντίζοντας. Καὶ Κύρῳ ἥδετο οὐ δυναμένῳ σιγᾶν ὑπὸ τῆς ἡδονῆς, ἀλλ' ὥσπερ σκύλακι γενναίῳ ἀνακλάζοντι[7], ὁπότε πλησιάζοι θηρίῳ, καὶ παρακαλοῦντι ὀνομαστὶ ἕκαστον[8]. Καὶ τοῦ μὲν καταγελῶντα αὐτὸν ὁρῶν ηὐφραίνετο, τὸν δέ τινα καὶ ἐπαινοῦντα [αὐτὸν ᾐσθάνετο] οὐδ' ὁπωστιοῦν φθονερῶς[9]. Τέλος δ' οὖν πολλὰ θηρία ἔχων ὁ Ἀστυάγης ἀπῄει. Καὶ τὸ λοιπὸν οὕτως ἥσθη[10] τῇ τότε θήρᾳ ὥστε ἀεὶ ὁπότε οἷόν τ' εἴη[11] συνεξῄει τῷ Κύρῳ καὶ ἄλλους τε πολλοὺς παρελάμβανε καὶ τοὺς παῖδας, Κύρου ἕνεκα.

---

[1]) Συναθροίσας. [2]) Συμμαζεύσας, περιορίσας τὰ θηρία εἰς τὰ δι' ἱππασίαν κατάλληλα (ἱππάσιμα) μέρη. [3]) Ἐν βασιλικῇ πομπῇ, μὲ τὸ ἐπιτελεῖόν του. [4]) Πρὶν ἢ χορτάσῃ, κορεσθῇ. [5]) Τοὺς ὁμοίους (συνομηλίκους) μου. [6]) Ἐνν. αὐτούς, ἀγωνιζομένους. [7]) Κραυγάζοντι μεγαλοφώνως. [8]) Ἐνν. τῶν ὁμηλίκων (τῶν καθ' αὑτὸν ἐκ τοῦ ἄνωθι «τοὺς κατ' ἐμέ». [9]) Ἄνευ τινὸς φθόνου. [10]) Παθ. ἀόρ. τοῦ ἥδομαι = εὐχαριστοῦμαι. [11]) Ὁπότε οἷόν τ' εἴη (ἐνν. ἐξιέναι) = ὁσάκις τῷ ἦτο δυνατὸν νὰ ἐξέρχηται.

Τὸν μὲν δὴ πλεῖστον χρόνον οὕτω διῆγεν ὁ Κῦρος, πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τινος συναίτιος[1] ὤν, κακοῦ δὲ οὐδενός.

Ἀμφὶ δὲ τὰ πέντε ἢ ἑκκαίδεκα ἔτη γενομένου αὐ- 16
τοῦ ὁ υἱὸς τοῦ Ἀσσυρίων βασιλέως[2] γαμεῖν[3] μέλλων
ἐπεθύμησεν αὐτὸς[4] θηρᾶσαι εἰς τοῦτον τὸν χρόνον.
Ἀκούων οὖν ἐν τοῖς μεθορίοις τοῖς τε αὐτῶν καὶ τοῖς
Μήδων πολλὰ θηρία εἶναι ἀθήρευτα διὰ τὸν πόλεμον[5],
ἐνταῦθα ἐπεθύμησεν ἐξελθεῖν. Ὅπως οὖν ἀσφαλῶς θη-
ρῴη, ἱππέας τε προσέλαβε πολλοὺς καὶ πελταστάς, οἵ-
τινες ἔμελλον αὐτῷ ἐκ τῶν λασίων[6] τὰ θηρία ἐξελᾶν
εἰς τὰ ἐργάσιμά τε καὶ εὐήλατα. Ἀφικόμενος δὲ ὅπου
ἦν αὐτοῖς[7] τὰ φρούρια καὶ ἡ φυλακή, ἐνταῦθα ἐδει-
πνοποιεῖτο, ὡς πρῲ τῇ ὑστεραίᾳ θηράσων. Ἤδη δὲ 17
ἑσπέρας γενομένης ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ ἔρ-
χεται ἐκ πόλεως καὶ ἱππεῖς καὶ πεζοί[8]. Ἔδοξεν οὖν
αὐτῷ πολλὴ στρατιὰ παρεῖναι· δύο γὰρ ὁμοῦ ἦσαν φυ-
λακαί, πολλούς τε αὐτὸς ἧκεν ἔχων ἱππέας καὶ πεζούς.
Ἐβουλεύσατο οὖν κράτιστον εἶναι λεηλατῆσαι ἐκ τῆς
Μηδικῆς[9], καὶ λαμπρότερόν τ' ἂν φανῆναι τὸ ἔργον
τῆς θήρας[10] καὶ ἱερείων[11] ἂν πολλὴν ἀφθονίαν ἐνόμιζε
γενέσθαι. Οὕτω δὴ πρῲ ἀναστὰς ἦγε τὸ στράτευμα,

---

[1]) Πρόξενος. [2]) Δηλ. τοῦ Ναβουχοδονόσορος. [3]) Νὰ νυμφευθῇ. [4]) Ὁ ἴδιος δηλ. νὰ κυνηγήσῃ καὶ ὄχι δι' ἄλλων θηρευτῶν. [5]) Ὃν εἶχε διεξαγάγει κατὰ τῶν Ἰουδαίων. [6]) Λασίων (δασέων) ἐνν. τόπων = δασῶν. [7]) Τοῖς Ἀσσυρίοις. [8]) Ἔρχονται ἐκ τῆς πόλεως καὶ ἱππεῖς καὶ πεζοὶ ἵνα διαδεχθῶσι (ἡ διαδοχὴ) τὴν προηγουμένην φρουράν. [9]) Μέρος τι (ἐκ) τῆς Μηδικῆς. [10]) Ὁ β'. ὅρος τῆς συγκρ. τοῦ λαμπρότερον = ἢ (παρὰ) ἡ θήρα. [11]) Ἱερεῖα, τὰ πρὸς θυσίαν σφάγια.

καὶ τοὺς μὲν πεζοὺς κατέλιπεν ἀθρόους[1] ἐν τοῖς μεθορίοις, αὐτὸς δὲ τοῖς ἵπποις προσελάσας[2] πρὸς τὰ τῶν Μήδων φρούρια, τοὺς μὲν βελτίστους καὶ πλείστους ἔχων μεθ' ἑαυτοῦ ἐνταῦθα κατέμεινεν, ὡς μὴ[3] βοηθοῖεν οἱ φρουροὶ τῶν Μήδων ἐπὶ τοὺς καταθέοντας[4], τοὺς δ' ἐπιτηδείους ἀφῆκε κατὰ φυλὰς[5] ἄλλους ἄλλοσε καταθεῖν, καὶ ἐκέλευε περιβαλομένους ὅτῳ τις ἐπιτυγχάνοι ἐλαύνειν πρὸς ἑαυτόν[6]. Οἱ μὲν δὴ ταῦτα ἔπραττον.

18 Σημανθέντων[7] δὲ τῷ 'Αστυάγει ὅτι πολέμιοί εἰσιν ἐν τῇ χώρᾳ, ἐξεβοήθει[8] καὶ αὐτὸς πρὸς τὰ ὅρια σὺν τοῖς περὶ αὐτὸν καὶ ὁ υἱὸς αὐτοῦ ὡσαύτως σὺν τοῖς παρατυχοῦσιν ἱππόταις, καὶ τοῖς ἄλλοις δὲ ἐσήμαινε πᾶσιν ἐκβοηθεῖν. Ὡς δὲ εἶδον πολλοὺς ἀνθρώπους τῶν 'Ασσυρίων συντεταγμένους καὶ τοὺς ἱππέας ἡσυχίαν ἔχοντας, ἔστησαν[9] καὶ οἱ Μῆδοι. Ὁ δὲ Κῦρος ὁρῶν ἐκβοηθοῦντας καὶ τοὺς ἄλλους πασσυδὶ[10], ἐκβοηθεῖ καὶ αὐτὸς πρῶτον τότε ὅπλα ἐνδύς, οὔποτε οἰόμενος[11]· οὕτως ἐπεθύμει αὐτοῖς ἐξοπλίσασθαι· μάλα δὲ καλὰ ἦν καὶ ἁρμόττοντα[12] αὐτῷ ἃ ὁ πάππος περὶ τὸ σῶμα ἐπεποίητο[13]. Οὕτω δὲ ἐξοπλισάμενος προσήλασε τῷ ἵππῳ.

---

1) Συγκεντρωμένους εἰς ἓν μέρος. 2) Προσεγγίσας ἔφιππος. 3) Ὡς μὴ = ἵνα μή. 4) Κατὰ τῶν τρεχόντων, τῶν εἰσβαλλόντων. 5) Κατὰ σώματα. 6) 'Αφοῦ ἁρπάσωσιν ὅ,τι ἤθελεν ἐπιτύχει ἕκαστος νὰ ἐπανέρχηται ἔφιππος (ἐλαύνειν) πρὸς αὐτόν. 7) Ἡ πρότ. «ὅτι πολέμιοί εἰσιν..κτλ:» εἶνε ὑποκμ. τοῦ σημανθέντων = ἀναγγελθέντων. 8) 'Εξήρχετο εἰς βοήθειαν. 9) Μέσον. = 'Εσταμάτησαν. 10) 'Επίρ. παρὰ ποιητ: = πανστρατιᾷ. 11) 'Ενν. ἐνδύεσθαι ὅπλα. 12) Τὰ ὁποῖα τοῦ ἐταίριαζον. 13) Μέσον διάμεσον: = διέταξεν (ἄλλους) ποιῆσαι.

Καὶ ὁ Ἀστυάγης ἐθαύμασε μὲν τίνος κελεύσαντος ἥκοι[1],
ὅμως δὲ εἶπεν αὐτῷ μένειν παρ' ἑαυτόν. Ὁ δὲ Κῦρος 19
ὡς εἶδε πολλοὺς ἱππέας ἀντίους, ἤρετο· Ἦ οὗτοι, ἔφη[2],
ὦ πάππε, πολέμιοί εἰσιν, οἳ ἐφεστήκασι τοῖς ἵπποις ἠρέμα;
Πολέμιοι μέντοι, ἔφη. Ἦ καὶ ἐκεῖνοι, ἔφη, οἱ ἐλαύνον-
τες[3]; Κἀκεῖνοι μέντοι. Νὴ τὸν Δί', ἔφη, ὦ πάππε, ἀλλ'
οὖν πονηροί γε φαινόμενοι[4] καὶ ἐπὶ πονηρῶν ἱππαρίων
ἄγουσιν[5] ἡμῶν τὰ χρήματα· οὐκοῦν χρὴ ἐλαύνειν τινὰς
ἡμῶν ἐπ' αὐτούς. Ἀλλ' οὐχ ὁρᾷς, ἔφη, ὦ παῖ, ὅσον[6]
τὸ στῖφος τῶν ἱππέων ἕστηκε συντεταγμένον[7]; Οἳ ἢν
ἐπ' ἐκείνους[8] ἡμεῖς ἐλαύνωμεν, ὑποτεμοῦνται ἡμᾶς
πάλιν [ἐκεῖνοι[9]]· ἡμῖν δὲ οὔπω ἡ ἰσχὺς πάρεστιν.
Ἀλλ' ἢν σὺ μένῃς, ἔφη ὁ Κῦρος, καὶ ἀναλαμβάνῃς
τοὺς προσβοηθοῦντας[10], φοβήσονται οὗτοι καὶ οὐ κινή-
σονται, οἱ δ' ἄγοντες[11] εὐθὺς ἀφήσουσι τὴν λείαν, ἐπει-
δὰν ἴδωσί τινας ἐπ' αὐτοὺς ἐλαύνοντας.

Ταῦτ' εἰπόντος[12] αὐτοῦ ἔδοξέ τι[13] λέγειν τῷ Ἀστυ- 20
άγει. Καὶ ἅμα θαυμάζων ὡς καὶ ἐφρόνει καὶ ἐγρηγόρει
κελεύει τὸν υἱὸν λαβόντα τάξιν[14] ἱππέων ἐλαύνειν ἐπὶ
τοὺς ἄγοντας τὴν λείαν. Ἐγὼ δέ, ἔφη, ἐπὶ τούσδε, ἢν

---

1) Εἰς τὸ κέλευσμα (εἰς τὴν διαταγὴν) τίνος ἦλθε. 2) Τὸ ἔφη παρέλκει μετὰ τὸ ταυτόσημον ἤρετο. 3) Οἱ τρέχοντες ἔφιπποι. 5) Ἂν καὶ φαίνωνται ἐλεεινοὶ καὶ ἐπὶ ἐλεεινῶν ἱππαρίων. 4) Λεηλατοῦσι τὰ πράγματά μας. 6) Πόσον. 7) Ὁμοῦ παρατεταγμένον. 8) Τοὺς λεηλατοῦντας. 9) Δηλ. οἱ συντεταγμένοι. Τὸ ἐκεῖνοι ὡς παρέλκον μετὰ τὸ οἵ, ἠδύνατο νὰ λείπῃ. Ὑποτεμοῦνται ἡμᾶς = θὰ μᾶς κόψουν (κλείσουν) τὸν δρόμον. 10) Ἐνν. Μήδοις. 11) Οἱ λεηλατοῦντες. 12) Ἀντὶ εἰπών. 13) Ἡ ἀντωνυμ. τὶ ἐνταῦθα σημ: = ἀξιόλογόν τι, καλόν τι. Δηλ: ἐφάνη εἰς τὸν Ἀστυάγην ὅτι ὁ Κῦρος τῷ ἔλεγε κἄτι καλόν, ἄξιον προσοχῆς. 14) Σῶμα, τάγμα ἱππέων.

ἐπὶ σὲ κινῶνται, ἐλῶ[1], ὥστε ἀναγκασθήσονται ἡμῖν
προσέχειν τὸν νοῦν. Οὕτω δὴ ὁ Κυαξάρης λαβὼν τῶν
ἐρρωμένων[2] ἵππων τε καὶ ἀνδρῶν προσελαύνει. Καὶ ὁ
Κῦρος ὡς εἶδεν ὁρμωμένους, ἐξορμᾷ, καὶ αὐτὸς πρῶ-
τος ἡγεῖτο ταχέως, καὶ ὁ Κυαξάρης μέντοι ἐφείπετο,
καὶ οἱ ἄλλοι δὲ οὐκ ἀπελείποντο[3]. Ὡς δὲ εἶδον αὐτοὺς
πελάζοντας οἱ λεηλατοῦντες, εὐθὺς ἀφέντες τὰ χρή-
21 ματα ἔφευγον. Οἱ δ' ἀμφὶ τὸν Κῦρον[4] ὑπετέμνοντο,
καὶ οὓς μὲν κατελάμβανον[5] εὐθὺς ἔπαιον, πρῶτος δὲ
ὁ Κῦρος, ὅσοι δὲ παραλλάξαντες[6] αὐτῶν ἔφθασαν, κα-
τόπιν τούτους ἐδίωκον, οὐκ ἀνίεσαν[7], ἀλλ' ᾕρουν[8] τι-
νὰς αὐτῶν. Ὥσπερ δὲ κύων γενναῖος ἄπειρος ἀπρονοή-
τως φέρεται πρὸς κάπρον, οὕτω καὶ ὁ Κῦρος ἐφέρετο,
μόνον ὁρῶν τὸ παίειν τὸν ἁλισκόμενον, ἄλλο δ' οὐδὲν
προνοῶν. Οἱ δὲ πολέμιοι ὡς ἑώρων πονοῦντας τοὺς
σφετέρους, προυκίνησαν τὸ στῖφος, ὡς παυσομένους
22 τοῦ διωγμοῦ, ἐπεὶ σφᾶς ἴδοιεν προορμήσαντας. Ὁ δὲ
Κῦρος οὐδὲν μᾶλλον ἀνίει[9], ἀλλ' ὑπὸ τῆς χαρμονῆς
ἀνακαλῶν τὸν θεῖον ἐδίωκε καὶ ἰσχυρὰν τὴν φυγὴν τοῖς
πολεμίοις κατέχων[10] ἐποίει, καὶ ὁ Κυαξάρης μέντοι ἐφεί-
πετο, ἴσως καὶ αἰσχυνόμενος τὸν πατέρα, καὶ οἱ ἄλλοι
δὲ εἵποντο, προθυμότεροι ὄντες ἐν τῷ τοιούτῳ[11] εἰς
τὸ διώκειν καὶ οἱ μὴ πάνυ πρὸς τοὺς ἐναντίους ἄλκιμοι

---

[1]) Μέλ. β'. τοῦ ἐλαύνω. Θὰ τρέξω ἔφιππος. [2]) Παραλαβὼν (ἐνν. τινὰς) τῶν δυνατῶν κτλ. [3]) Δὲν καθυστέρουν, δὲν ἔμενον ὀπίσω. [4]) = Ὁ Κῦρος καὶ οἱ ὀπαδοί του [5]) Ὅσους μὲν ἐπρόφθανον. [6]) Ὅσοι δὲ ἐπρόφθασαν καὶ ἐπροσπέρασαν. [7]) Δὲν τοὺς ἄφηναν. [8]) Ἀλλὰ συνελάμβανον. [9]) Ἔπαυε. [10]) Νικων. [11]) Εἰς τοιαύτην περίστασιν.

όντες. Ὁ δὲ Ἀστυάγης ὡς ἑώρα τοὺς μὲν ἀπρονοήτως
διώκοντας, τοὺς δὲ πολεμίους ἀθρόους τε καὶ τεταγμέ-
νους ὑπαντῶντας[1], δείσας περί τε τοῦ υἱοῦ καὶ τοῦ Κύ-
ρου μὴ εἰς παρεσκευασμένους ἀτάκτως ἐμπεσόντες πά-
θοιέν τι, ἡγεῖτο εὐθὺς πρὸς τοὺς πολεμίους. Οἱ δ' αὖ 23
πολέμιοι ὡς εἶδον τοὺς Μήδους προκινηθέντας, διατει-
νάμενοι οἱ μὲν τὰ παλτὰ οἱ δὲ τὰ τόξα εἱστήκεσαν, ὡς[2]
αὖ, ἐπειδὴ εἰς τόξευμα ἀφίκοιντο, στησομένους, ὥσ-
περ τὰ πλεῖστα εἰώθεσαν ποιεῖν. Μέχρι γὰρ τοσούτου[3],
ὁπότε ἐγγύτατα γένοιντο, προσήλαυνον ἀλλήλοις καὶ
ἠκροβολίζοντο πολλάκις μέχρι ἑσπέρας. Ἐπεὶ δὲ ἑώρων
τοὺς μὲν σφετέρους[4] φυγῇ εἰς ἑαυτοὺς[5] φερομένους,
τοὺς δ' ἀμφὶ τὸν Κῦρον ἐπ' αὐτοὺς ὁμοῦ ἀγομένους,
τὸν δὲ Ἀστυάγην σὺν τοῖς ἵπποις ἐντὸς γιγνόμενον
ἤδη τοξεύματος[6], ἐκκλίνουσι καὶ φεύγουσιν ὁμόθεν διώ-
κοντας ἀνὰ κράτος· ᾕρουν δὲ πολλούς· καὶ τοὺς μὲν
ἁλισκομένους ἔπαιον καὶ ἵππους καὶ ἄνδρας, τοὺς δὲ
πίπτοντας κατέκαινον· καὶ οὐ πρόσθεν ἔστησαν πρὶν[7]
πρὸς τοῖς πεζοῖς τῶν Ἀσσυρίων ἐγένοντο. Ἐνταῦθα
μέντοι δείσαντες μὴ καὶ ἐνέδρα τις μείζων ὑπείη, ἐπέ-
σχον[8]. Ἐκ τούτου δὴ[9] ἀνῆγεν ὁ Ἀστυάγης, μάλα χαί- 24
ρων καὶ τῇ ἱπποκρατίᾳ, καὶ τὸν Κῦρον οὐκ ἔχων[10] ὅ,τι

[1]) Δεχομένους (ἀντιτασσομένους πρὸς) τοὺς ἐναντίους. [2]) Πιστεύοντες ὅτι (ὡς) θέλουσι σταματήσει οἱ Μῆδοι ὅταν (=ἐπειδὴ) φθάσωσιν εἰς ἀπόστασιν (βολῆς) τοξεύματος. [3]) Δηλ. μέχρι τόσης ἀποστάσεως (ὅσῳ ἐξικνεῖται βολὴ τοξεύματος. [4]) Τοὺς μὲν ἰδικούς των. [5]) Εἰς τὸ ἑαυτῶν μέρος (εἰς τὸ σῶμα τῶν Ἀσσυρίων. [6]) Ἐντὸς (βολῆς δηλ.) τοξεύματος. [7]) Παρὰ ὅταν ἔφθασαν (ἐγένοντο) πλησίον τῶν πεζῶν. [8]) Ἐσταμάτησαν. [9]) Μετὰ τοῦτο λοιπόν: [10]) Οὐκ ἔχων = ἀπορῶν τί ἔπρεπε νὰ εἴπῃ διὰ τὸν Κῦρον.

χρὴ λέγειν, αἴτιον μὲν ὄντα εἰδὼς τοῦ ἔργου, μαινόμενον δὲ γιγνώσκων τῇ τόλμῃ. Καὶ γὰρ τότε ἀπιόντων οἴκαδε μόνος τῶν ἄλλων ἐκεῖνος οὐδὲν ἄλλο[1] ἢ τοὺς πεπτωκότας περιελαύνων ἐθεᾶτο, καὶ μόλις αὐτὸν ἀφελκύσαντες[2] οἱ ἐπὶ τοῦτο ταχθέντες προσήγαγον τῷ Ἀστυάγει, μάλα ἐπίπροσθεν ποιούμενον[3] τοὺς προσάγοντας, ὅτι ἑώρα τὸ πρόσωπον τοῦ πάππου ἠγριωμένον ἐπὶ τῇ θέᾳ τῇ αὐτοῦ[4].

25 Ἐν μὲν δὴ Μήδοις ταῦτα ἐγεγένητο, καὶ οἵ τε ἄλλοι πάντες τὸν Κῦρον διὰ στόματος εἶχον[5] καὶ ἐν λόγῳ καὶ ἐν ᾠδαῖς, ὅ τε Ἀστυάγης καὶ πρόσθεν τιμῶν αὐτὸν τότε ὑπερεξεπέπληκτο[6] ἐπ' αὐτῷ. Καμβύσης δὲ ὁ τοῦ Κύρου πατὴρ ἥδετο μὲν πυνθανόμενος ταῦτα, ἐπεὶ δ' ἤκουσεν ἔργα ἀνδρὸς ἤδη διαχειριζόμενον τὸν Κῦρον, ἀπεκάλει δή[7], ὅπως τὰ ἐν Πέρσαις ἐπιχώρια ἐπιτελοίη. Καὶ ὁ Κῦρος δὲ ἐνταῦθα λέγεται εἰπεῖν ὅτι ἀπιέναι βούλοιτο, μὴ ὁ πατήρ τι ἄχθοιτο[8] καὶ ἡ πόλις[9] μέμφοιτο. Καὶ τῷ Ἀστυάγει δὲ ἐδόκει εἶναι ἀναγκαῖον ἀποπέμπειν αὐτόν. Ἔνθα δὴ ἵππους τε αὐτῷ δοὺς οὓς αὐτὸς ἐπεθύμει λαβεῖν καὶ ἄλλα συσκευάσας πολλὰ ἔπεμπε καὶ διὰ τὸ φιλεῖν αὐτὸν καὶ ἅμα ἐλπίδας ἔχων

---

[1]) Δηλ. ἐποίει. [2]) Ἀποσπάσαντες αὐτὸν (ἀπὸ τοῦ νὰ θεᾶται τ. ἔ. περιελαύνων τοὺς πεπτωκότας. [3]) Ἐπίπροσθεν ποιούμενον τούς...=θέτοντα πολὺ ἐμπρός του τούς... [4]) Ἐπὶ τῇ θέᾳ τῇ ἑαυτοῦ=διὰ τὸ ὅτι ἐθεᾶτο αὐτὸς (τοὺς πεπτωκότας. [5]) Τὸν εἶχον εἰς τὸ στόμα των, τ. ἔ. ὡμίλουν ἀδιακόπως περὶ αὐτοῦ. [6]) Εἶχεν ὑπερεκπλαγῇ δι' αὐτόν. [7]) Τὸν προσεκάλει τότε (νὰ ἐπιστρέψῃ πλησίον του), διὰ νὰ ἀποτελειώσῃ τὰ νόμιμα, τὰ περὶ τῆς ἀγωγῆς τῶν παίδων διατεταγμένα. [8]) Μή τι ἄχθοιτο=μήπως ἤθελε δυσαρεστηθῇ κατά τι. [9]) Τὸ ἔθνος του.

μεγάλας ἐν αὐτῷ ἄνδρα ἔσεσθαι ἱκανὸν καὶ φίλους ὠφελεῖν καὶ ἐχθροὺς ἀνιᾶν. Ἀπιόντα δὲ τὸν Κῦρον προύπεμπον ἅπαντες καὶ παῖδες [καὶ ἥλικες] καὶ ἄνδρες καὶ γέροντες ἐφ' ἵππων καὶ Ἀστυάγης αὐτός, καὶ οὐδένα ἔφασαν ὅντιν' οὐ δακρύοντ' ἀποστρέφεσθαι[1]. Καὶ Κῦρον 26
δὲ αὐτὸν λέγεται σὺν πολλοῖς δακρύοις ἀποχωρῆσαι. Πολλὰ δὲ δῶρα διαδοῦναί φασιν αὐτὸν τοῖς ἡλικιώταις ὧν[2] Ἀστυάγης αὐτῷ ἐδεδώκει, τέλος δὲ καὶ ἣν εἶχε στολὴν[3] τὴν Μηδικὴν ἐκδύντα δοῦναί τινι, [δῆλον ὅτι τούτῳ] ὃν μάλιστα ἠσπάζετο. Τοὺς μέντοι λαβόντας καὶ δεξαμένους τὰ δῶρα λέγεται Ἀστυάγει ἀπενεγκεῖν, Ἀστυάγην δὲ δεξάμενον Κύρῳ ἀποπέμψαι, τὸν δὲ πάλιν τε ἀποπέμψαι εἰς Μήδους[4] καὶ εἰπεῖν· Εἰ βούλει, ὦ πάππε, ἐμὲ καὶ πάλιν ἰέναι ὡς σὲ[5] μὴ αἰσχυνόμενον, ἔα ἔχειν εἴ τῳ τι ἐγὼ δέδωκα[6]. Ἀστυάγην δὲ ταῦτα ἀκούσαντα ποιῆσαι ὥσπερ Κῦρος ἐπέστειλεν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Κύρου ἀρχηγία Περσῶν. — Δημηγορία Κύρου πρὸς τοὺς χιλίους ἡγεμόνας τοῦ ἑαυτοῦ στρατοῦ καὶ ἐπὶ τοὺς Μήδους παρότρυνσις.

Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελθὼν ἐν Πέρσαις ἐνιαυτὸν λέγεται ἐν τοῖς παισὶν[7] ἔτι γενέσθαι. Καὶ τὸ μὲν πρῶτον οἱ παῖδες ἔσκωπτον αὐτὸν ὡς ἡδυπαθεῖν ἐν

---

[1]) Καὶ ἔλεγον ὅτι οὐδεὶς ἦτο ὅστις δὲν ἐπέστρεφεν δακρυρροῶν. [2]) = Ἐξ ἐκείνων, ἅ. [3]) Τὴν Μηδ. στολήν, ἣν εἶχεν (ἐφόρει). [4]) Εἰς τὴν Μηδίαν. [5]) Ὡς σὲ ... = πρὸς σὲ χωρὶς νὰ ἐντρέπωμαι. [6]) Ἐπίτρεψον νὰ ἔχῃ ὅ,τι εἴς τινα (= εἴ τῳ τι) ἐγὼ ἔχω δώσει. [7]) Εἰς τὴν τάξιν τῶν παίδων.

Μήδοις μεμαθηκὼς ἥκοι· ἐπεὶ δὲ καὶ ἐσθίοντα αὐτὸν ἑώρων ὥσπερ καὶ αὐτοὶ ἡδέως καὶ πίνοντα, καὶ εἴ ποτ' ἐν ἑορτῇ εὐωχία γένοιτο, ἐπιδιδόντα μᾶλλον αὐτὸν τοῦ ἑαυτοῦ μέρους [1] ᾐσθάνοντο ἢ προσδεόμενον [2], καὶ πρὸς τούτοις δὲ τ' ἄλλα κρατιστεύοντα [3] αὐτὸν ἑώρων ἑαυτῶν, ἐνταῦθα δὴ πάλιν ὑπέπτησσον [4] αὐτῷ οἱ ἥλικες. Ἐπεὶ δὲ διελθὼν τὴν παιδείαν ταύτην ἤδη εἰσῆλθεν εἰς τοὺς ἐφήβους, ἐν τούτοις αὖ ἐδόκει κρατιστεύειν καὶ μελετῶν ἃ χρῆν καὶ καρτερῶν καὶ αἰδούμενος τοὺς πρεσβυτέρους καὶ πειθόμενος τοῖς ἄρχουσι.

2 . Προϊόντος δὲ τοῦ χρόνου ὁ μὲν Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνήσκει, ὁ δὲ Κυαξάρης ὁ τοῦ Ἀστυάγους παῖς, τῆς δὲ Κύρου μητρὸς ἀδελφός, τὴν βασιλείαν
4 ἔσχε τὴν Μήδων. Κυαξάρης δὲ [ὁ τοῦ Ἀστυάγους παῖς] ἐπεὶ ᾐσθάνετο τήν τ' ἐπιβουλὴν καὶ τὴν παρασκευὴν τῶν συνισταμένων ἐφ' ἑαυτὸν [5], αὐτός τε εὐθέως ὅσα ἐδύνατο ἀντιπαρεσκευάζετο καὶ εἰς Πέρσας ἔπεμπε πρός τε τὸ κοινὸν [6] καὶ πρὸς Καμβύσην τὸν τὴν ἀδελφὴν ἔχοντα καὶ βασιλεύοντα ἐν Πέρσαις. Ἔπεμπε δὲ καὶ πρὸς Κῦρον, δεόμενος αὐτοῦ πειρᾶσθαι ἄρχοντα ἐλθεῖν [7] τῶν ἀνδρῶν, εἴ τινας πέμπει στρατιώτας τὸ Περσῶν κοινόν. Ἤδη γὰρ καὶ ὁ Κῦρος διατετελεκὼς τὰ ἐν τοῖς ἐφήβοις δέκα ἔτη ἐν τοῖς τελείοις ἀνδράσιν ἦν·

[1]) Ἐκ τοῦ μεριδίου του. [2]) Παρὰ ἔχοντα χρείαν περισσοτέρου. [3]) Καὶ κατὰ τὰ ἄλλα ἦτο ἀνώτερος αὐτῶν. [4]) Ὑπετάσσοντο, ἐζάρωναν. [5]) Τῶν ἐναντίον αὐτοῦ συνηνωμένων. [6]) Πρὸς τοὺς βουλευτὰς δηλ. τῶν Περσῶν, ὡς κατωτέρω λέγει «οἱ βουλεύοντες γεραίτεροι», διότι ὁ Ξενοφῶν γράφων εἶχεν ὑπ' ὄψιν τὴν πολιτείαν τῶν Λακεδαιμονίων. [7]) Πειρᾶσθαι ἄρχοντα ἐλθεῖν = νὰ προσπαθήσῃ νὰ ἔλθῃ ἀρχηγὸς τῶν ἀνδρῶν.

Οὕτω δὴ δεξαμένου τοῦ Κύρου οἱ βουλεύοντες γεραί- 5
τεροι αἱροῦνται αὐτὸν ἄρχοντα τῆς εἰς Μήδους στρα-
τιᾶς. Ἔδοσαν δὲ αὐτῷ καὶ προσελέσθαι διακοσίους τῶν
ὁμοτίμων[1], τῶν δ' αὖ διακοσίων ἑκάστῳ τέτταρας ἔδω-
καν προσελέσθαι[2] καὶ τούτους ἐκ τῶν ὁμοτίμων· γί-
γνονται μὲν δὴ οὗτοι χίλιοι· τῶν δ' αὖ χιλίων τούτων
ἑκάστῳ ἔταξαν ἐκ τοῦ δήμου[3] τῶν Περσῶν δέκα μὲν
πελταστὰς προσελέσθαι, δέκα δὲ σφενδονήτας, δέκα
δὲ τοξότας· καὶ οὕτως ἐγένοντο μύριοι μὲν τοξόται,
μύριοι δὲ πελτασταί, μύριοι δὲ σφενδονῆται· χωρὶς δὲ
τούτων οἱ χίλιοι ὑπῆρχον. Τοσαύτη μὲν δὴ στρατιὰ
τῷ Κύρῳ ἐδόθη. Ἐπεὶ δὲ ᾐρέθη τάχιστα, ἤρχετο πρῶ- 6
τον ἀπὸ τῶν θεῶν· καλλιερησάμενος[4] δὲ τότε προσῃρεῖτο
τοὺς διακοσίους· ἐπεὶ δὲ προσείλοντο καὶ οὗτοι δὴ τοὺς
τέτταρας ἕκαστοι, συνέλεξεν αὐτοὺς καὶ εἶπε τότε πρῶ-
τον ἐν αὐτοῖς τάδε.

Ἄνδρες φίλοι, ἐγὼ προσειλόμην μὲν ὑμᾶς, οὐ νῦν 7
πρῶτον δοκιμάσας, ἀλλ' ἐκ παίδων ὁρῶν ὑμᾶς ἃ μὲν
καλὰ ἡ πόλις νομίζει, προθύμως ταῦτα ἐκπονοῦντας, ἃ
δὲ αἰσχρὰ ἡγεῖται, παντελῶς τούτων ἀπεχομένους. Ὧν
δ' ἕνεκα αὐτός τε οὐκ ἄκων εἰς τόδε τὸ τέλος[5] κατέστην
καὶ ὑμᾶς παρεκάλεσα[6] δηλῶσαι ὑμῖν βούλομαι. Ἐγὼ γὰρ 8
κατενόησα ὅτι οἱ πρόγονοι χείρονες μὲν ἡμῶν οὐδὲν

[1]) Ὁμότιμοι ἐλέγοντο οἱ εἰς τὴν ἀνωτέραν τάξιν τῶν Περσῶν ἀνήκοντες, διατρίβοντες περὶ τὸν βασιλέα, καὶ τῶν αὐτῶν τιμῶν καὶ ἀξιωμάτων ἀπολαύοντες. [2]) Τοῦ ῥήμ. προσαιρέω = ἐκλέγω προσέτι. [3]) Δηλ. ἐκ τῆς τάξεως τῶν μὴ ὁμοτίμων. [4]) Θυσιάσας δὲ καὶ ἰδὼν ὅτι ἡ θυσία ἦτο καλὴ (εὐπρόσδεκτος παρὰ τῶν θεῶν). [5]) Εἰς τοῦτο τὸ ἀξίωμα. [6]) Ἐνν. καταστῆναι εἰς τόδε τὸ τέλος.

ἐγένοντο· ἀσκοῦντες γοῦν κἀκεῖνοι διετέλεσαν ἅπερ ἔργα ἀρετῆς νομίζεται· ὅ,τι μέντοι προσεκτήσαντο τοιοῦτοι ὄντες ἢ τῷ τῶν Περσῶν κοινῷ ἀγαθὸν ἢ αὐ-
9 τοῖς, τοῦτ' οὐκέτι δύναμαι ἰδεῖν. Καίτοι ἐγὼ οἶμαι οὐδεμίαν ἀρετὴν ἀσκεῖσθαι ὑπ' ἀνθρώπων ὡς μηδὲν πλεῖον ἔχωσιν οἱ ἐσθλοὶ γενόμενοι[1] τῶν πονηρῶν, ἀλλ' οἵ τε τῶν παραυτίκα ἡδονῶν[2] ἀπεχόμενοι οὐχ ἵνα μηδέποτε εὐφρανθῶσι, τοῦτο πράττουσιν, ἀλλ' ὡς διὰ ταύτην τὴν ἐγκράτειαν πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφραινούμενοι οὕτω παρασκευάζονται· οἵ τε λέγειν προθυμούμενοι δεινοὶ γενέσθαι[3] οὐχ ἵνα εὖ λέγοντες μηδέποτε παύσωνται, τοῦτο[4] μελετῶσιν, ἀλλ' ἐλπίζοντες τῷ λέγειν εὖ[5] πείθοντες ἀνθρώπους πολλὰ καὶ μεγάλα ἀγαθὰ διαπράξεσθαι· οἵ τε αὖ τὰ πολεμικὰ ἀσκοῦντες οὐχ ὡς μαχόμενοι μηδέποτε παύσωνται, τοῦτ' ἐκπονοῦσιν, ἀλλὰ νομίζοντες καὶ οὗτοι τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι πολὺν μὲν ὄλβον[6], πολλὴν δὲ εὐδαιμονίαν, μεγά-
10 λας δὲ τιμὰς καὶ ἑαυτοῖς καὶ πόλει περιάψειν[7]. Εἰ δέ τινες ταῦτα ἐκπονήσαντες πρίν τινα καρπὸν ἀπ' αὐτῶν κομίσασθαι περιεῖδον αὑτοὺς γήρᾳ[8] ἀδυνάτους γενομένους, ὅμοιον ἔμοιγε δοκοῦσι πεπονθέναι οἷον εἴ τις γεωργὸς ἀγαθὸς προθυμηθεὶς γενέσθαι[9] καὶ εὖ σπείρων καὶ εὖ φυτεύων, ὁπότε καρποῦσθαι ταῦτα δέοι[10], ἐῴη τὸν

[1]) Οἱ ἀναδειχθέντες καλοί. [2]) Αἱ παραυτίκα (καὶ ἐκ τοῦ παραχρῆμα) ἡδοναὶ = αἱ ὀλίγον διαρκοῦσαι, αἱ ταχέως παρερχόμεναι ἡδοναί. [3]) Οἱ προθυμούμενοι νὰ γίνωσι δεινοὶ εἰς τὸ λέγειν. [4]) Δηλ. τὸ εὖ λέγειν. [5]) Τῷ εὖ λέγειν = διὰ τῆς εὐγλωττίας των. [6]) Εὐτυχίαν, εὐδαιμονίαν. [7]) Θέλουσι προξενήσει. [8]) Ἠμέλησαν ἑαυτοὺς εἰς τὸ γῆρας κτλ. [9]) Νὰ γίνῃ ἀγαθὸς γεωργός. [10]) Ὁπότε ἤθελε παραστῇ ἡ ἀνάγκη, ὁ καιρός, νὰ ἀπολαύσῃ τοὺς καρπούς.

κάρπὸν ἀσυγκόμιστον εἰς τὴν γῆν πάλιν καταρρεῖν[1]. Καὶ εἴ τίς γε ἀσκητὴς πολλὰ πονήσας καὶ ἀξιόνικος γενόμενος ἀναγώνιστος διατελέσειεν, οὐδ' ἂν[2] οὗτός μοι δοκεῖ δικαίως ἀναίτιος εἶναι ἀφροσύνης. 'Αλλ' ἡμεῖς, ὦ 11
ἄνδρες, μὴ πάθωμεν ταῦτα, ἀλλ' ἐπείπερ σύνισμεν[3] ἡμῖν αὐτοῖς ἀπὸ παίδων ἀρξάμενοι ἀσκηταὶ ὄντες[4] τῶν καλῶν κἀγαθῶν ἔργων, ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὓς ἐγὼ σαφῶς ἐπίσταμαι ἰδιώτας[5] ὄντας ὡς πρὸς ἡμᾶς ἀγωνίζεσθαι. Οὐ γάρ πω[6] οὗτοι ἱκανοί εἰσιν ἀγωνισταί, οἳ ἂν τοξεύωσι καὶ ἀκοντίζωσι καὶ ἱππεύωσιν ἐπιστημόνως, ἢν δέ που πονῆσαι δέῃ, τούτῳ λείπωνται[7], ἀλλ' οὗτοι ἰδιῶταί εἰσι κατὰ τοὺς πόνους· οὐδέ γε οἵτινες ἀγρυπνῆσαι δέον ἡττῶνται τούτου, ἀλλὰ καὶ οὗτοι ἰδιῶται κατὰ τὸν ὕπνον· οὐδέ γε οἱ ταῦτα μὲν ἱκανοί, ἀπαίδευτοι δὲ ὡς χρὴ καὶ συμμάχοις καὶ πολεμίοις χρῆσθαι, ἀλλὰ καὶ οὗτοι δῆλον ὡς τῶν μεγίστων παιδευμάτων ἀπείρως ἔχουσιν[8]. 'Υμεῖς δὲ νυκτὶ μὲν δήπου 12
ὅσαπερ οἱ ἄλλοι ἡμέρᾳ δύνασθ' ἂν χρῆσθαι, πόνους δὲ τοῦ ζῆν ἡδέως ἡγεμόνας νομίζετε[9], λιμῷ δὲ ὅσαπερ ὄψῳ διαχρῆσθε[10], ὑδροποσίαν δὲ ῥᾷον τῶν λεόντων φέρετε, κάλλιστον δὲ πάντων καὶ πολεμικώτατον κτῆμα εἰς τὰς ψυχὰς συγκεκόμισθε· ἐπαινούμενοι γὰρ μᾶλλον

[1]) Νὰ καταπίπτῃ πάλιν εἰς τὴν γῆν. [2]) Ἂν εἶναι = εἴη ἄν. [3]) γ'. πληθ. πρόσωπ. τοῦ σύνοιδα = συναισθάνομαι. [4]) 'Ασκηταὶ ὄντες = ἐξασκούμενοι. [5]) 'Ανεπιτηδείους, ἀγυμνάστους. [6]) 'Ακόμη. [7]) Εἰς τοῦτο μένουσιν ὀπίσω, καθυστεροῦσι. [8]) Εἰσὶν ἄπειροι, ἀγύμναστοι. [9]) Τὰς δὲ (σωματικὰς) ἀσκήσεις νομίζετε ὡς προξένους τοῦ εὐχαρίστου βίου (τοῦ ἡδέως ζῆν). [10]) Τὴν πεῖναν δὲ μεταχειρίζεσθε (ἔχετε) ὡς (ὅσαπερ) τὸ προσφάγιον.

ἢ τοῖς ἄλλοις ἅπασι χαίρετε. Τοὺς δ' ἐπαίνων ἐραστὰς ἀνάγκη κτᾶσθαι τὰ αἴτια[1]. Διὰ τοῦτο πάντα μὲν
13 πόνον, πάντα δὲ κίνδυνον ἡδέως ὑποδύεσθαι[2]. Εἰ δὲ ταῦτα ἐγὼ λέγω περὶ ὑμῶν ἄλλῃ γιγνώσκων, ἐμαυτὸν ἐξαπατῶ. Ὅ,τι γὰρ μὴ τοιοῦτον ἀποϐήσεται παρ' ὑμῶν, εἰς ἐμὲ τὸ ἐλλεῖπον ἥξει[3]. Ἀλλὰ πιστεύω τοι,[4] τῇ πείρᾳ καὶ τῇ ὑμῶν εἰς ἐμὲ εὐνοίᾳ καὶ τῇ τῶν πολεμίων ἀνοίᾳ μὴ ψεύσειν[5] με ταύτας τὰς ἀγαθὰς ἐλπίδας. Ἀλλὰ θαρροῦντες ὁρμώμεθα, ἐπειδὴ καὶ ἐκποδὼν ἡμῖν γεγένηται τὸ δόξαι τῶν ἀλλοτρίων ἀδίκως ἐφίεσθαι[6]. Νῦν γὰρ ἔρχονται μὲν οἱ πολέμιοι ἄρχοντες ἀδίκων χειρῶν[7], καλοῦσι δὲ ἡμᾶς ἐπικούρους οἱ φίλοι· τί οὖν ἐστιν ἢ τοῦ ἀλέξασθαι δικαιότερον ἢ τοῦ τοῖς φίλοις ἀρήγειν[8] κάλ-
14 λιον; Ἀλλὰ μὴν κἀκεῖνο οἶμαι ὑμᾶς θαρρεῖν, τὸ μὴ παρημεληκότα με τῶν θεῶν τὴν ἔξοδον ποιεῖσθαι· πολλὰ[9] γάρ μοι συνόντες ἐπίστασθε οὐ μόνον τὰ μεγάλα ἀλλὰ καὶ τὰ μικρὰ πειρώμενον ἀεὶ ἀπὸ θεῶν ὁρμᾶσθαι. Τέλος εἶπε· Τί δεῖ ἔτι λέγειν; Ἀλλ' ὑμεῖς μὲν τοὺς ἄνδρας ἑλόμενοι καὶ ἀναλαβόντες καὶ τἄλλα παρασκευασάμενοι ἴτε[10] εἰς Μήδους· ἐγὼ δ' ἐπανελθὼν πρὸς τὸν πατέρα πρόειμι δή, ὅπως τὰ τῶν πολεμίων ὡς τάχιστα μαθὼν οἷά ἐστι παρασκευάζωμαι ὅ,τι ἂν δέωμαι, ὅπως ὡς κάλλιστα σὺν θεῷ ἀγωνιζώμεθα.

---

1) Ἐνν. τῶν ἐπαίνων. 2) = Ὑπόκεισθαι εὐχαρίστως εἰς.. 3) Εἰς ἐμὲ θέλει ἐπιπέσῃ ἡ ἔλλειψις. 4) Τῷ ὄντι. 5) Νὰ μὴ με διαψεύσωσιν. 6) Ἡ ἰδέα τοῦ ὅτι ἐπιθυμοῦμεν ἀδίκως τὰ ξένα. 7) Ἄρχω χειρῶν ἀδίκων: φράσις = κάμνω ἀρχὴν εἰς ἀδίκους ἀποπείρας. 8) Βοηθεῖν. 9) Εἰς πολλὰς περιστάσεις. 10) Πορεύεσθε.



ΠΛΟΥΤΑΡΧΟΥ

ΕΚ ΤΩΝ ΠΑΡΑΛΛΗΛΩΝ ΒΙΩΝ



Α΄. ΘΕΜΙΣΤΟΚΛΗΣ

Ὁ βίος οὗτος εἶνε ὁ ἕβδομος τῶν παραλλήλων τοῦ Πλουτάρχου. Παραβάλλει δ' αὐτὸν ὁ συγγραφεὺς πρὸς τὸν τοῦ Ῥωμαίου Καμίλλου.

Θεμιστοκλεῖ δὲ τὰ μὲν ἐκ γένους ἀμαυρότερα[1] πρὸς δόξαν ὑπῆρχε· πατρὸς γὰρ ἦν Νεοκλέους οὐ τῶν ἄγαν ἐπιφανῶν Ἀθήνησι, Φρεαρρίου[2] τῶν δήμων ἐκ τῆς Λεοντίδος φυλῆς, νόθος δὲ πρὸς μητρός, ὡς λέγουσιν

Ἀβρότονον[3] Θρήϊσσα γυνὴ γένους· ἀλλὰ τεκέσθαι
Τὸν μέγαν Ἕλλησίν φημι Θεμιστοκλέα.

Φανίας[4] μέντοι τὴν μητέρα τοῦ Θεμιστοκλέους οὐ Θρᾷτταν, ἀλλὰ Καρίνην[5], οὐδ' Ἀβρότονον ὄνομα, ἀλλ' Εὐτέρπην ἀναγράφει. Νεάνθης δὲ καὶ πόλιν αὐτῇ τῆς

---

[1]) Σκοτεινότερα, ὀλιγώτερον λαμπρὰ ἢ ὥστε νὰ τὸν δοξάσωσι. [2]) Ἡ Ἀττικὴ διῄρητο εἰς 10 φυλὰς καὶ εἰς 100 (ἢ κατ' ἄλλους 174) δήμους. [3]) Ἡ Ἀβρότονον (ἐν. εἰμὶ) γυνὴ Θρᾷσσα τὸ γένος. Οἱ ἀρχαῖοι κωμικοὶ ὑποκοριζόμενοι ἐποιοῦντο χρῆσιν οὐδετέρου ὀνόματος μετὰ θηλυκοῦ ἄρθρου ἐπὶ δούλων καὶ ἑταιρῶν, ὡσεὶ μὴ ἦσαν δηλ. αὗται πρόσωπα, ἀλλὰ πράγματα ἄνευ βουλήσεως καὶ εἰς τὴν διάθεσιν τοῦ τυχόντος ὑποκείμενα, ὡς ἡ Νάννιον, ἡ Γλυκέριον, ἡ Παρθένιον κτλ. [4]) Περιπατητικὸς φιλόσοφος μαθητὴς τοῦ Ἀριστοτέλους. [5]) Καρίνη, θηλ. τοῦ Κάρ = ὁ ἐκ (τὸ ἐθνικὸν) τῆς Καρίας.

Καρίας Ἁλικαρνασσὸν προστίθησι. Διὸ καὶ τῶν νόθων εἰς Κυνόσαργες συντελούντων[1] (τοῦτο δ' ἐστὶν ἔξω πυλῶν γυμνάσιον Ἡρακλέους, ἐπεὶ κἀκεῖνος οὐκ ἦν γνήσιος ἐν θεοῖς, ἀλλ' ἐνείχετο νοθείᾳ διὰ τὴν μητέρα[2] θνητὴν οὖσαν) ἔπειθέ τινας ὁ Θεμιστοκλῆς τῶν εὖ γεγονότων[3] νεανίσκων καταβαίνοντας εἰς τὸ Κυνόσαργες ἀλείφεσθαι[4] μετ' αὐτοῦ. Καὶ τούτου γενομένου δοκεῖ πανούργως τὸν τῶν νόθων καὶ γνησίων διορισμὸν ἀνελεῖν[5]. Ὅτι μέντοι τοῦ Λυκομιδῶν γένους μετεῖχε δῆλός ἐστι· τὸ γὰρ Φλυῆσι[6] τελεστήριον[7], ὅπερ ἦν Λυκομιδῶν κοινὸν, ἐμπρησθὲν ὑπὸ τῶν βαρβάρων αὐτὸς ἐπεσκεύασε καὶ γραφαῖς ἐκόσμησεν, ὡς Σιμωνίδης ἱστόρηκεν.

Ἔτι δὲ παῖς ὢν ὁμολογεῖται φορᾶς[8] μεστὸς εἶναι, καὶ τῇ μὲν φύσει συνετὸς, τῇ δὲ προαιρέσει μεγαλοπράγμων καὶ πολιτικός. Ἐν γὰρ ταῖς ἀνέσεσι καὶ σχολαῖς ἀπὸ τῶν μαθημάτων γινόμενος[9] οὐκ ἔπαιζεν οὐδ' ἐρρᾳθύμει, καθάπερ οἱ λοιποὶ παῖδες, ἀλλ' εὑρίσκετο λόγους τινὰς μελετῶν καὶ συνταττόμενος πρὸς ἑαυτόν[10]. Ἦσαν δ' οἱ λόγοι κατηγορία τινὸς ἢ συνηγορία τῶν παίδων. Ὅθεν εἰώθει λέγειν πρὸς αὐτὸν ὁ διδάσκαλος

---

[1]) Συνερχομένων. Τὸ Κυνόσαργες ἦτο ἓν τῶν τριῶν ἐν Ἀθήναις γυμνασίων, ἤτοι τοῦτο, τὸ Λύκειον καὶ ἡ Ἀκαδημία. [2]) Ὁ Ἡρακλῆς ἦτο υἱὸς τοῦ Διὸς καὶ τῆς Ἀλκμήνης, συζύγου τοῦ Ἀμφιτρύωνος, βασιλέως τῶν Θηβῶν. [3]) Γνησίων, εὐγενῶν τὴν καταγωγήν. [4]) Ἀλείφεσθαι (μεσ. αὐτοπ.) = ἀλείφειν τὰ ἑαυτῶν σώματα πρὸς πάλην, (ἐκμ.) γυμνάζεσθαι μετ' αὐτοῦ (τοῦ Θεμιστ.) [5]) Κατήργησε τὴν διαφορὰν τῶν νόθων καὶ τῶν γνησίων. [6]) Ἐπίρ. τοπ. Φλυῆσι = ἐν Φλυᾷ, δήμῳ, τῆς Κεκροπίδος φυλῆς. [7]) Ἱερὸν (πρὸς τέλεσιν τῶν ἐλευσινείων μυστηρίων). [8]) Ὁρμῆς ἀκρατήτου. [9]) Σχολάζων, παύων ἀπὸ τὰ μαθήματα. [10]) Δι' ἑαυτόν.

ὡς «οὐδὲν ἔσῃ, παῖ, σὺ μικρὸν, ἀλλὰ μέγα πάντως ἀγαθὸν ἢ κακόν». Ἐπεὶ καὶ τῶν παιδεύσεων[1] τὰς μὲν ἠθοποιοὺς[2] ἢ πρὸς ἡδονήν τινα καὶ χάριν ἐλευθέριον σπουδαζομένας ὀκνηρῶς καὶ ἀπροθύμως ἐξεμάνθανε, τῶν δὲ[3] εἰς σύνεσιν ἢ πρᾶξιν λεγομένων δῆλος ἦν ὑπερορῶν[4] παρ' ἡλικίαν, ὡς τῇ φύσει πιστεύων[5]. Ὅθεν ὕστερον ἐν ταῖς ἐλευθερίοις καὶ ἀστείαις λεγομέναις διατριβαῖς[6] ὑπὸ τῶν πεπαιδεῦσθαι δοκούντων χλευαζόμενος ἠναγκάζετο φορτικώτερον[7] ἀμύνεσθαι, λέγων, ὅτι λύραν μὲν ἁρμόσασθαι καὶ μεταχειρίσασθαι ψαλτήριον[8] οὐκ ἐπίσταται πόλιν δὲ μικρὰν καὶ ἄδοξον παραλαβὼν ἔνδοξον καὶ μεγάλην ἀπεργάσασθαι. Καίτοι Στησίμβροτος Ἀναξαγόρου τε διακοῦσαι τον Θεμιστοκλέα φησὶ καὶ περὶ Μέλισσον σπουδάσαι τὸν φυσικὸν, οὐκ εὖ τῶν χρόνων ἁπτόμενος[9]· Περικλεῖ γὰρ, ὃς πολὺ νεώτερος ἦν Θεμιστοκλέους, Μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι Σαμίους, Ἀναξαγόρας δὲ συνδιέτριβε. Μᾶλλον οὖν ἄν τις προσέχοι τοῖς Μνησιφίλου τὸν Θεμιστοκλέα τοῦ Φρεαρρίου ζηλωτὴν γενέσθαι λέγουσιν[10] οὔτε ῥήτορος[11] ὄντος οὔτε τῶν φυσικῶν κληθέντων φιλοσόφων, ἀλλὰ τὴν καλουμένην σοφίαν, οὖσαν δὲ δεινότητα πολιτικὴν καὶ δραστήριον σύνεσιν, ἐπιτήδευμα πεποιημένου καὶ

---

[1]) Τῶν μαθημάτων. [2]) = Τὰς ποιούσας (μορφούσας) τὸ ἦθος. [3]) Ἀνακολούθως, ἀντί: τὰς δέ. [4]) Ὅτι περιφρόνει. [5]) Πεποιθὼς εἰς τὰ ἴδια φυσικὰ πλεονεκτήματα. [6]) Ἐλευθέριοι καὶ ἀστεῖαι (= τοῖς ἀστοῖς προσήκουσαι) διατριβαὶ (ἐνασχολήσεις) ἦσαν ἡ μουσική, ἡ ὀρχηστικὴ κλπ. [7]) Τραχύτερον. [8]) Ἔγχορδον μουσικὸν ὄργανον, εἶδος κιθάρας. [9]) Οὐκ ὀρθῶς ὑπολογιζόμενος τοὺς χρόνους. [10]) Τοῖς λέγουσιν τὸν Θεμ. γενέσθαι ζηλωτὴν (= μαθητὴν) τοῦ Φρ. [11]) Διδασκάλου τῆς ῥητορικῆς.

διασώζοντος ὥσπερ αἵρεσιν ἐκ διαδοχῆς ἀπὸ Σόλωνος· ἣν οἱ μετὰ ταῦτα δικανικαῖς μίξαντες τέχναις καὶ μεταγαγόντες ἀπὸ τῶν πράξεων τὴν ἄσκησιν ἐπὶ τοὺς λόγους σοφισταὶ προσηγορεύθησαν. Τούτῳ[1] μὲν οὖν ἤδη πολιτευόμενος ἐπλησίαζεν. Ἐν δὲ ταῖς πρώταις τῆς νεότητος ὁρμαῖς ἀνώμαλος ἦν καὶ ἀστάθμητος[2], ἅτε τῇ φύσει καθ' αὑτὴν χρώμενος ἄνευ λόγου[3] καὶ παιδείας ἐπ' ἀμφότερα[4] μεγάλας ποιουμένῃ μεταβολὰς τῶν ἐπιτηδευμάτων καὶ πολλάκις ἐξισταμένῃ[5] πρὸς τὸ χεῖρον, ὡς ὕστερον αὐτὸς ὡμολόγει, καὶ τοὺς τραχυτάτους πώλους ἀρίστους ἵππους γίνεσθαι φάσκων, ὅταν ἧς προσήκει τύχωσι παιδείας καὶ καταρτύσεως. Ἃ δὲ τούτων ἐξαρτῶσιν ἔνιοι διηγήματα πλάττοντες, ἀποκήρυξιν μὲν ὑπὸ τοῦ πατρὸς αὐτοῦ, θάνατον δὲ τῆς μητρὸς ἑκούσιον ἐπὶ τῇ τοῦ παιδὸς ἀτιμίᾳ περιλύπου γενομένης, δοκεῖ κατεψεῦσθαι· καὶ τοὐναντίον εἰσὶν οἱ λέγοντες, ὅτι τὰ κοινὰ πράττειν[6] ἀποτρέπων αὐτὸν ὁ πατὴρ ἐπεδείκνυε πρὸς τῇ θαλάσσῃ τὰς παλαιὰς τριήρεις ἐρριμμένας καὶ παρορωμένας, ὡς δὴ καὶ πρὸς τοὺς δημαγωγούς, ὅταν ἄχρηστοι φαίνωνται, τῶν πολλῶν[7] ὁμοίως ἐχόντων.

III. Ταχὺ μέντοι καὶ νεανικῶς[8] ἔοικεν ἅψασθαι τοῦ Θεμιστοκλέους τὰ πολιτικὰ πράγματα καὶ σφόδρα ἡ πρὸς δόξαν ὁρμὴ κρατῆσαι. Δι' ἣν εὐθὺς ἐξ ἀρχῆς τοῦ πρω-

---

1) Δηλ. τῷ Μνησιφίλῳ. 2) Ἀκατάστατος. 3) Ἄνευ τῆς λογικῆς καὶ τῆς μορφώσεως. 4) Δηλ. πρὸς τὸ ἀγαθὸν καὶ τὸ κακόν. 5) Παρεκτρεπομένη. 6) Τὰ κοινὰ πράττω = ἀσχολοῦμαι εἰς τὰ τῆς πολιτείας = πολιτεύομαι. 7) Τοῦ ὄχλου ὁμοίως διακειμένου. 8) Μετὰ (νεανικῆς) σφοδρότητος, ἐπμ. ἰσχυρῶς.

τεύειν ἐφιέμενος ἰταμῶς[1] ὑφίστατο τὰς πρὸς τοὺς δυναμένους ἐν τῇ πόλει καὶ πρωτεύοντας ἀπεχθείας, μάλιστα δὲ Ἀριστείδην[2] τὸν Λυσιμάχου, τὴν ἐναντίαν[3] ἀεὶ πορευόμενος αὐτῷ. Καίτοι δοκεῖ παντάπασιν ἡ πρὸς τοῦτον ἔχθρα μειρακιώδη λαβεῖν ἀρχήν· ἠράσθησαν γὰρ ἀμφότεροι τοῦ καλοῦ Στησίλεω, Κείου τὸ γένος ὄντος, ὡς Ἀρίστων ὁ φιλόσοφος ἱστόρηκεν. Ἐκ δὲ τούτου διετέλουν καὶ περὶ τὰ δημόσια στασιάζοντες. Οὐ μὴν ἀλλ' ἡ τῶν βίων καὶ τῶν τρόπων ἀνομοιότης ἔοικεν αὐξῆσαι τὴν διαφοράν. Πρᾷος γὰρ ὢν φύσει καὶ καλοκαγαθικὸς τὸν τρόπον ὁ Ἀριστείδης, καὶ πολιτευόμενος οὐ πρὸς χάριν[4] οὐδὲ πρὸς δόξαν, ἀλλ' ἀπὸ τοῦ βελτίστου[5] μετὰ ἀσφαλείας καὶ δικαιοσύνης, ἠναγκάζετο τῷ Θεμιστοκλεῖ τὸν δῆμον ἐπὶ πολλὰ κινοῦντι καὶ μεγάλας ἐπιφέροντι καινοτομίας ἐναντιοῦσθαι πολλάκις, ἐνιστάμενος αὐτοῦ πρὸς τὴν αὔξησιν. Λέγεται γὰρ οὕτω παράφορος πρὸς δόξαν εἶναι καὶ πράξεων μεγάλων ὑπὸ φιλοτιμίας ἐραστής, ὥστε νέος ὢν ἔτι τῆς ἐν Μαραθῶνι μάχης πρὸς τοὺς βαρβάρους γενομένης καὶ τῆς Μιλτιάδου στρατηγίας διαβοηθείσης σύννους ὁρᾶσθαι τὰ πολλὰ[6] πρὸς ἑαυτῷ καὶ τὰς νύκτας ἀγρυπνεῖν καὶ τοὺς πότους παραιτεῖσθαι τοὺς συνήθεις, καὶ λέγειν πρὸς τοὺς ἐρωτῶντας καὶ θαυμάζοντας τὴν περὶ τὸν βίον μεταβολήν, ὡς καθεύδειν αὐτὸν οὐκ ἐῴη τὸ τοῦ

---

1) Θρασέως, ἀναιδῶς. 2) Ἀντί: τὴν πρὸς τὸν Ἀριστ. (ἀπέχθειαν). 3) Ἐνν. ὁδόν: = ἀντιπολιτευόμενος αὐτόν. 4) Ἐνν. τινός. Ὄχι διὰ νὰ κάμῃ χάριν κανενὸς οὔτε διὰ νὰ δοξασθῇ. 5) Δηλ. ὁρμώμενος ἀπὸ τοῦ βελτίστου, κάμνων ἀρχὴν ἀπὸ τὸ ἀγαθόν. 6) Πολλάκις, ὡς ἐπὶ τὸ πολύ.

Μιλτιάδου τρόπαιον. Οἱ μὲν γὰρ ἄλλοι πέρας ᾤοντο τοῦ πολέμου τὴν ἐν Μαραθῶνι τῶν βαρβάρων ἧτταν εἶναι, Θεμιστοκλῆς δὲ ἀρχὴν μειζόνων ἀγώνων, ἐφ' οὓς ἑαυτὸν ὑπὲρ τῆς ὅλης Ἑλλάδος ἤλειφε[1] καὶ τὴν πόλιν ἤσκει πόρρωθεν ἤδη προσδοκῶν τὸ μέλλον[2].

Καὶ πρῶτον μὲν τὴν Λαυρεωτικὴν πρόσοδον ἀπὸ τῶν ἀργυρείων μετάλλων ἔθος ἐχόντων Ἀθηναίων διανέμεσθαι[3], μόνος εἰπεῖν ἐτόλμησε παρελθὼν εἰς τὸν δῆμον, ὡς χρὴ τὴν διανομὴν ἐάσαντας ἐκ τῶν χρημάτων τούτων κατασκευάσασθαι τριήρεις ἐπὶ τὸν πρὸς Αἰγινήτας πόλεμον. Ἤκμαζε γὰρ οὗτος[4] ἐν τῇ Ἑλλάδι μάλιστα καὶ κατεῖχον οἱ Αἰγινῆται πλήθει νεῶν τὴν θάλασσαν[5]. Ἧι[6] καὶ ῥᾷον Θεμιστοκλῆς συνέπεισεν, οὐ Δαρεῖον οὐδὲ Πέρσας (μακρὰν γὰρ ἦσαν οὗτοι καὶ δέος οὐ πάνυ βέβαιον ὡς ἀφιξόμενοι παρεῖχον) ἐπισείων[7], ἀλλὰ τῇ πρὸς Αἰγινήτας ὀργῇ καὶ φιλονεικίᾳ τῶν πολιτῶν ἀποχρησάμενος εὐκαίρως[8] ἐπὶ τὴν παρασκευήν. Ἑκατὸν γὰρ ἀπὸ τῶν χρημάτων ἐκείνων ἐποιήθησαν τριήρεις, αἳ καὶ πρὸς Ξέρξην ἐναυμάχησαν. Ἐκ δὲ τούτου[9] κατὰ μικρὸν ὑπάγων καὶ καταβιβάζων τὴν πόλιν πρὸς τὴν θάλασσαν, ὡς τὰ πεζὰ μὲν οὐδὲ τοῖς ὁμό-

---

1) Ἐν τῇ μεταφορικ. σημασ: = προηλείφετο (ὡς οἱ παλαισταὶ δηλ: εἰς τοὺς ἀγῶνας, ἀπμ.) προετοιμάζετο. 2) Μακρόθεν ἀκόμη προβλέπων τὸ μέλλον. 3) Τὴν πρόσοδον, ἣν εἶχον ἐκ τῶν ἀργυρούχων μεταλλείων τοῦ Λαυρείου, καὶ ἣν κατ' ἔθος διεμοίραζον πρὸς ἀλλήλους οἱ Ἀθ. 4) Ὁ πόλεμος. 5) Ἦσαν θαλασσοκράτορες. 6) Διὰ τοῦτο δέ. 7) Μὴ σείων κατ' αὐτῶν (μὴ φοβερίζων αὐτοὺς μὲ) τὸν Δαρεῖον οὐδὲ τοὺς Πέρσας. 8) Μεταχειρισθεὶς καταλλήλως. 9) Μετὰ ταῦτα δὲ ὀλίγον κατ' ὀλίγον προσελκύων τοὺς πολίτας (τὴν πόλιν) πρὸς τὴν θάλασσαν (νὰ γίνωσι τ. ἔ. ναυτικοί,

ροις ἀξιομάχους ὄντας[1], τῇ δ' ἀπὸ τῶν νεῶν ἀλκῇ[2] καὶ τοὺς βαρβάρους ἀμύνασθαι καὶ τῆς Ἑλλάδος ἄρχειν δυναμένους, ἀντὶ μονίμων ὁπλιτῶν, ὥς φησιν ὁ Πλάτων, ναυβάτας καὶ θαλαττίους ἐποίησε, καὶ διαβολὴν καθ' αὑτοῦ παρέσχεν, ὡς ἄρα[3] Θεμιστοκλῆς τὸ δόρυ καὶ τὴν ἀσπίδα τῶν πολιτῶν παρελόμενος εἰς ὑπηρέσιον[4] καὶ κώπην συνέστειλε[5] τὸν Ἀθηναίων δῆμον. Ἔπραξε[6] δὲ ταῦτα Μιλτιάδου κρατήσας ἀντιλέγοντος, ὡς ἱστορεῖ Στησίμβροτος. Εἰ μὲν δὴ τὴν ἀκρίβειαν καὶ τὸ καθαρὸν τοῦ πολιτεύματος ἔβλαψεν ἢ μὴ ταῦτα πράξας, ἔστω φιλοσοφώτερον ἐπισκοπεῖν· ὅτι δὲ ἡ τότε σωτηρία τοῖς Ἕλλησιν ἐκ τῆς θαλάσσης ὑπῆρξε καὶ τὴν Ἀθηναίων πόλιν αὖθις ἀνέστησαν[7] αἱ τριήρεις ἐκεῖναι τά τ' ἄλλα καὶ Ξέρξης αὐτὸς ἐμαρτύρησε. Τῆς γὰρ πεζικῆς δυνάμεως ἀθραύστου διαμενούσης ἔφυγε μετὰ τὴν τῶν νεῶν ἧτταν, ὡς οὐκ ὢν ἀξιόμαχος, καὶ Μαρδόνιον ἐμποδὼν εἶναι τοῖς Ἕλλησι τῆς διώξεως[8] μᾶλλον ἢ δουλωσόμενον αὐτούς, ὡς ἐμοὶ δοκεῖ, κατέλιπε.

V. Σύντονον[9] δὲ αὐτὸν γεγονέναι χρηματιστὴν οἱ μέν τινές φασι δι' ἐλευθεριότητα· καὶ γὰρ φιλοθύτην ὄντα καὶ λαμπρὸν ἐν ταῖς περὶ τοὺς ξένους δαπάναις ἀφθόνου

---

[1]) Τὴν πόλιν ... ὡς ὄντας: σχῆμα κατὰ σύνεσιν, διότι ἀναφέρεται εἰς τὸ (ἐν τῇ πόλει περιεχόμενον) τοὺς πολίτας. Ὁμόρους ἐννοεῖ τοὺς συνορεύοντας Βοιωτούς. [2]) Ἡ ἀπὸ τῶν νέων ἀλκὴ = ἡ δύναμις τοῦ ναυτικοῦ. [3]) Ὅτι τῷ ὄντι. [4]) Ὑπηρέσιον ἦτο τὸ ἐξ ἐρίου δέρμα, ἀφ' οὗ ἐκάθηντο οἱ κωπηλατοῦντες. [5]) Περιώρισε τοὺς Ἀθ. πολίτας. [6]) Κατώρθωσε. [7]) Ἀνήγειραν ἐκ νέου (διότι εἶχε πυρποληθῇ ὑπὸ τῶν Περσῶν. [8]) Διὰ νὰ ἐμποδίζῃ τοὺς Ἕλληνας τοῦ νὰ καταδιώκωσιν αὐτόν. [9]) Δραστήριον.

δεῖσθαι χορηγίας· οἱ δὲ τοὐναντίον γλισχρότητα[1] πολλὴν καὶ μικρολογίαν κατηγοροῦσιν, ὡς καὶ τὰ πεμπόμενα[2] τῶν ἐδωδίμων πωλοῦντος. Ἐπεὶ δὲ Φιλίδης ὁ ἱπποτρόφος αἰτηθεὶς ὑπ' αὐτοῦ πῶλον οὐκ ἔδωκεν, ἠπείλησε τὴν οἰκίαν αὐτοῦ ταχὺ ποιήσειν δούρειον ἵππον[3], αἰνιξάμενος ἐγκλήματα συγγενικὰ καὶ δίκας τῷ ἀνθρώπῳ πρὸς οἰκείους τινὰς ταράξειν. Τῇ δὲ φιλοτιμίᾳ[4] πάντας ὑπερέβαλεν, ὥστ' ἔτι μὲν νέος ὢν καὶ ἀφανὴς Ἐπικλέα τὸν ἐξ Ἑρμιόνης κιθαριστὴν σπουδαζόμενον ὑπὸ τῶν Ἀθηναίων ἐκλιπαρῆσαι[5] μελετᾶν παρ' αὑτῷ, φιλοτιμούμενος πολλοὺς τὴν οἰκίαν ζητεῖν καὶ φοιτᾶν πρὸς αὐτόν. Εἰς δ' Ὀλυμπίαν ἐλθὼν καὶ διαμιλλώμενος τῷ Κίμωνι περὶ δεῖπνα καὶ σκηνὰς καὶ τὴν ἄλλην λαμπρότητα καὶ παρασκευήν, οὐκ ἤρεσκε τοῖς Ἕλλησιν. Ἐκείνῳ μὲν γὰρ ὄντι νέῳ καὶ ἀπ' οἰκίας μεγάλης ᾤοντο δεῖν τὰ τοιαῦτα συγχωρεῖν· ὁ δὲ μήπω γνώριμος γεγονώς, ἀλλὰ δοκῶν ἐξ οὐχ ὑπαρχόντων καὶ παρ' ἀξίαν ἐπαίρεσθαι προσωφλίσκανεν ἀλαζονείαν[6]. Ἐνίκησε δὲ καὶ χορηγῶν[7] τραγῳδοῖς, μεγάλην ἤδη τότε σπουδὴν καὶ φιλοτιμίαν τοῦ

---

[1]) Φειδωλίαν. [2]) Τὰ πεμπόμενα (ὡς δῶρα. [3]) Καθὼς δηλ. ἐκ τοῦ δουρείου ἵππου ἐξῆλθον οἱ Ἕλληνες ἁλώσαντες τὴν Τρωάδα οὕτω καὶ ἐκ τοῦ οἴκου του νὰ προκύψουν σκάνδαλα καὶ δίκαι οἰκογενειακαὶ διὰ νὰ τὸν καταστρέψουν. [4]) Κατὰ δὲ τὴν φιλοδοξίαν. [5]) Ὅτι τὸν παρεκάλεσε νὰ κάμνῃ τὰς μελέτας του παρ' αὑτῷ (τῷ Θεμιστ., δηλ. εἰς τὴν οἰκίαν τοῦ Θεμιστ. [6]) Ἐθεωρεῖτο ὡς ἀλαζών, ὡς μωρός. [7]) Χορηγοὶ ἐλέγοντο οἱ πλουσιώτεροι ἰδιῶται, οἱ ἐξ ἰδίων δαπανῶντες (χορηγοῦντες τὴν ἀναγκαίαν δαπάνην) πρὸς ἐξάσκησιν τοῦ χοροῦ διὰ τραγῳδίαν. Ὁ χορηγὸς δέ, ἂν ὁ χορὸς ἠρίστευε κατὰ τὴν ἀπὸ σκηνῆς παράστασιν τοῦ δράματος, ἐλάμβανεν ὡς ἔπαθλον χορηγικὸν τρίποδα, ὃν κατεσκεύαζεν ἰδίᾳ δαπάνῃ.

ἀγῶνος ἔχοντος, καὶ πίνακα τῆς νίκης ἀνέθηκε τοιαύτην ἐπιγραφὴν ἔχοντα· «Θεμιστοκλῆς Φρεάρριος ἐχορήγει, Φρύνιχος ἐδίδασκεν[1], Ἀδείμαντος ἦρχεν[2]». Οὐ μὴν ἀλλὰ τοῖς πολλοῖς ἐνήρμοττε[3], τοῦτο μὲν ἑκάστου τῶν πολιτῶν τοὔνομα λέγων ἀπὸ στόματος[4], τοῦτο δὲ κριτὴν ἀσφαλῆ περὶ τὰ συμβόλαια[5] παρέχων ἑαυτόν, ὥστε που καὶ πρὸς Σιμωνίδην τὸν Κεῖον εἰπεῖν, αἰτούμενόν τι τῶν οὐ μετρίων[6] παρ' αὐτοῦ στρατηγοῦντος, ὡς οὔτ' ἐκεῖνος ἂν γένοιτο ποιητὴς ἀγαθὸς ᾄδων παρὰ μέλος οὔτ' αὐτὸς ἀστεῖος[7] ἄρχων παρὰ νόμον χαριζόμενος. Πάλιν δέ ποτε τὸν Σιμωνίδην ἐπισκώπτων ἔλεγε νοῦν οὐκ ἔχειν, Κορινθίους μὲν λοιδοροῦντα μεμεγάλην οἰκοῦντας πόλιν, αὑτοῦ δὲ ποιούμενον[8] εἰκόνας οὕτως ὄντος αἰσχροῦ τὴν ὄψιν[9]. Αὐξόμενος δὲ καὶ τοῖς πολλοῖς ἀρέσκων τέλος κατεστασίασεν καὶ μετέστησεν[10] ἐξοστρακισθέντα τὸν Ἀριστείδην.

Ἤδη δὲ τοῦ Μήδου[11] καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα καὶ τῶν Ἀθηναίων βουλευομένων περὶ στρατηγοῦ, τοὺς μὲν ἄλλους ἑκόντας ἐκστῆναι τῆς στρατηγίας λέγουσίν ἐκπεπληγμένους τὸν κίνδυνον, Ἐπικύδην δὲ τὸν Εὐφημίδου δημαγωγὸν ὄντα δεινὸν μὲν εἰπεῖν, μαλακὸν δὲ τὴν ψυχὴν καὶ χρημάτων ἥττονα[12], τῆς ἀρχῆς ἐφίε-

---

1) Τραγικὸς ποιητὴς πρὸ τοῦ Αἰσχύλου, μαθητὴς τοῦ Θέσπιδος, ὅστις παρίστανε καὶ ἐδίδασκε τοὺς ὑποκριτὰς πῶς νὰ παραστήσωσι τὸ δρᾶμα. 2) Ἦν ἄρχων ἐπώνυμος (τῷ α'. ἔτει τῆς 27ης Ὀλυμπ. ἤτοι τῷ 476 π. Χ. 3) Ἤρεσκε. 4) Λέγων ἐκ μνήμης, ἐκστηθίζων. 5) Τὰς ἐμπορικὰς συναλλαγάς. 6) = Τῶν οὐ δικαίων. 7) Καλός, σπουδαῖος. 8) Ἑαυτοῦ δὲ κάμνοντα εἰκόνας. 9) Δυσειδοῦς. 10) = Ἀπεμάκρυνεν, ἐξώρισε. 11) Τοῦ Ξέρξου, βασιλ. τῶν Περσῶν. 12) Κατώτερον χρημάτων, δηλ. διαφθειρόμενον διὰ χρημάτων.

σθαι καὶ κρατήσειν ἐπίδοξον εἶναι τῇ χειροτονίᾳ. Τὸν οὖν Θεμιστοκλέα δείσαντα, μὴ τὰ πράγματα διαφθαρείη παντάπασι τῆς ἡγεμονίας εἰς ἐκεῖνον ἐμπεσούσης, χρήμασι τὴν φιλοτιμίαν ἐξωνήσασθαι παρὰ τοῦ Ἐπικύδους. Ἐπαινεῖται δ' αὐτοῦ[1] καὶ τὸ περὶ τὸν δίγλωττον[2] ἔργον ἐν τοῖς πεμφθεῖσιν ὑπὸ βασιλέως ἐπὶ γῆς καὶ ὕδατος αἴτησιν. Ἑρμηνέα γὰρ ὄντα συλλαβὼν διὰ ψηφίσματος ἀπέκτεινεν ὅτι φωνὴν Ἑλληνίδα βαρβάροις προστάγμασιν ἐτόλμησε χρῆσαι[3]. Ἔτι δὲ καὶ[4] τὸ περὶ Ἄρθμιον τὸν Ζελείτην· Θεμιστοκλέους γὰρ εἰπόντος[5] καὶ τοῦτον εἰς τοὺς ἀτίμους καὶ παῖδας αὐτοῦ καὶ γένος ἐνέγραψαν[6], ὅτι τὸν ἐκ Μήδων[7] χρυσὸν εἰς τοὺς Ἕλληνας ἐκόμισε. Μέγιστον δὲ πάντων[8] τὸ καταλῦσαι τοὺς Ἑλληνικοὺς πολέμους[9] καὶ διαλλάξαι τὰς πόλεις ἀλλήλαις, πείσαντα τὰς ἔχθρας διὰ τὸν πόλεμον[10] ἀναβαλέσθαι· πρὸς ὃ καὶ Χείλεων τὸν Ἀρκάδα μάλιστα συναγωνίσασθαι[11] λέγουσι.

VII. Παραλαβὼν δὲ τὴν ἀρχὴν εὐθὺς μὲν ἐπεχείρει τοὺς πολίτας ἐμβιβάζειν εἰς τὰς τριήρεις, καὶ τὴν πόλιν ἔπειθεν ἐκλιπόντας ὡς προσωτάτω τῆς Ἑλλάδος ἀπαντᾶν τῷ βαρβάρῳ κατὰ θάλατταν. Ἐνισταμένων[12] δὲ πολλῶν

---

1) Τοῦ Θεμιστ. 2) Δίγλωττον ἐννοεῖ τὸν Ἕλληνα τὸν ἑρμηνεύσαντα εἰς τοὺς Ἕλληνας τὴν ἀξίωσιν τῶν βαρβάρων τοῦ νὰ τοῖς δοθῇ γῆ καὶ ὕδωρ ὡς ἔνδειξις ὑποταγῆς τῶν Ἑλλήνων. 3) Νὰ μολύνῃ, νὰ καταισχύνῃ. 4) Ὁ καὶ προσθετ: Ἔξυπον. τὸ ἐπαινεῖσθαι (δ' ἔτι καὶ) τὸ ἔργον αὐτοῦ, τὸ περὶ Ἄρθμιον κτλ. 5) = Προτείναντος γνώμην τῇ ἐκκλησίᾳ τοῦ δήμου. 6) Ἐπὶ στήλης ὡς εἴθιζον οἱ ἀρχ. 7) Βραχυλ: ὅτι τὸν ἐν Μήδοις χρυσὸν ἐκ Μήδων ἐκόμισε. 8) Ἐνν. τῶν ἑαυτοῦ ἔργων. 9) Τοὺς μεταξὺ Αἰγινητῶν καὶ Ἀθηναίων. 10) Δηλ. τὸν Περσικόν. 11) Ὅτι καὶ Χείλεως ὁ Ἀρκὰς τὸν ἐβοήθησε πρὸς τοῦτο. 12) Ἐναντιουμένων.

ἐξήγαγε πολλὴν στρατιὰν εἰς τὰ Τέμπη μετὰ Λακεδαιμονίων, ὡς αὐτόθι προκινδυνευσόντων τῆς Θετταλίας οὔπω τότε μηδίζειν δοκούσης· ἐπεὶ δ' ἀνεχώρησαν ἐκεῖθεν ἄπρακτοι καὶ Θετταλῶν βασιλεῖ προσγενομένων ἐμήδιζε τὰ μέχρι Βοιωτίας, μᾶλλον ἤδη τῷ Θεμιστοκλεῖ προσεῖχον[1] οἱ Ἀθηναῖοι περὶ τῆς θαλάσσης[2], καὶ πέμπεται μετὰ νεῶν ἐπ' Ἀρτεμίσιον[3] τὰ στενὰ[4] φυλάξων. Ἔνθα δὴ τῶν μὲν Ἑλλήνων Εὐρυβιάδην καὶ Λακεδαιμονίους ἡγεῖσθαι κελευόντων, τῶν δ' Ἀθηναίων, ὅτι πλήθει τῶν νεῶν σύμπαντας ὁμοῦ τι[5] τοὺς ἄλλους ὑπερέβαλλον, οὐκ ἀξιούντων ἑτέροις ἕπεσθαι, συνιδὼν τὸν κίνδυνον ὁ Θεμιστοκλῆς αὐτός τε τὴν ἀρχὴν τῷ Εὐρυβιάδῃ παρῆκε[6] καὶ κατεπράϋνε τοὺς Ἀθηναίους, ὑπισχνούμενος, ἂν ἄνδρες ἀγαθοὶ γένωνται πρὸς τὸν πόλεμον, ἑκόντας αὐτοῖς παρέξειν εἰς τὰ λοιπὰ πειθομένους τοὺς Ἕλληνας. Διόπερ δοκεῖ τῆς σωτηρίας αἰτιώτατος γενέσθαι τῇ Ἑλλάδι καὶ μάλιστα τοὺς Ἀθηναίους προαγαγεῖν εἰς δόξαν, ὡς ἀνδρείᾳ μὲν τῶν πολεμίων, εὐγνωμοσύνῃ δὲ τῶν συμμάχων περιγενομένους[7]. Ἐπεὶ δὲ ταῖς Ἀφεταῖς τοῦ βαρβαρικοῦ στόλου προσμίξαντος[8] ἐκπλαγεὶς ὁ Εὐρυβιάδης τῶν κατὰ στόμα νεῶν[9] τὸ πλῆθος, ἄλλας δὲ πυνθανόμενος διακοσίας

---

1) Ἐνν. τὸν νοῦν. 2) Συμβουλεύοντι δηλ. περὶ τῆς θαλάσσης, τουτέστι νὰ ὑποδεχθῶσι τοὺς βαρβάρους κατὰ θάλασσαν. 3) Τὸ ΒΑ. ἀκρωτήριον τῆς Εὐβοίας. 4) Τὸ στενὸν (τὸν πορθμὸν) δηλ. τῶν Τρικέρων, τὸν μεταξὺ Εὐβοίας καὶ Μαγνησίας. 5) Ὁμοῦ τι σύμπαντας = σχεδὸν σύμπ. 6) Παρεχώρησε. 7) Ὑπερτερήσαντας τῶν συμμάχων κατὰ τὴν σύνεσιν (εὐγνωμοσύνῃ). 8) Ἀράξαντος. 9) Τῶν κατὰ τὸ ἔμπροσθεν μέρος τῶν νεῶν.

ὑπὲρ[1] Σκιάθου περιπλεῖν, ἐβούλετο τὴν ταχίστην εἴσω τῆς Ἑλλάδος κομισθεὶς ἅψασθαι[2] Πελοποννήσου καὶ τὸν πεζὸν στρατὸν ταῖς ναυσὶ προσπεριβαλλέσθαι, παντάπασιν ἀπρόσμαχον ἡγούμενος τὴν κατὰ θάλατταν ἀλκὴν[3] βασιλέως, δείσαντες οἱ Εὐβοεῖς, μὴ σφᾶς οἱ Ἕλληνες πρόωνται[4], κρύφα τῷ Θεμιστοκλεῖ διελέγοντο, Πελάγοντα μετὰ χρημάτων πολλῶν πέμψαντες. Ἃ λαβὼν ἐκεῖνος, ὡς Ἡρόδοτος ἱστόρηκε, τοῖς περὶ τὸν Εὐρυβιάδην ἔδωκεν. Ἐναντιουμένου δ' αὐτῷ μάλιστα τῶν πολιτῶν Ἀρχιτέλους, ὃς ἦν μὲν ἐπὶ τῆς ἱερᾶς νεὼς[5] τριήραρχος, οὐκ ἔχων δὲ χρήματα τοῖς ναύταις χορηγεῖν ἔσπευδεν ἀποπλεῦσαι, παρώξυνεν ἔτι μᾶλλον ὁ Θεμιστοκλῆς τοὺς τριηρίτας[6] ἐπ' αὐτόν, ὥστε τὸ δεῖπνον ἁρπάσαι συνδραμόντας. Τοῦ δ' Ἀρχιτέλους ἀθυμοῦντος ἐπὶ τούτῳ καὶ βαρέως φέροντος, εἰσέπεμψεν ὁ Θεμιστοκλῆς πρὸς αὐτὸν ἐν κίστῃ[7] δεῖπνον ἄρτων καὶ κρεῶν, ὑποθεὶς κάτω[8] τάλαντον ἀργυρίου καὶ κελεύσας αὐτόν τε δειπνεῖν ἐν τῷ παρόντι καὶ μεθ' ἡμέραν[9] ἐπιμεληθῆναι τῶν τριηριτῶν· εἰ δὲ μή, καταβοήσειν αὐτοῦ[10] πρὸς τοὺς πολίτας ὡς ἔχοντος ἀργύριον παρὰ τῶν πολεμίων. Ταῦτα μὲν οὖν Φανίας ὁ Λέσβιος εἴρηκεν.

VIII. Αἱ δὲ γενόμεναι τότε πρὸς τὰς τῶν βαρβάρων ναῦς

[1]) Ὑπεράνω. [2]) Ἐπανελθὼν (κομισθεὶς = κομίσας ἑαυτὸν) νὰ προσεγγίσῃ, νὰ προσορμισθῇ εἰς τὴν Πελοπόν. [3]) Τὴν ναυτ. δύναμιν τοῦ βασιλ. [4]) Ὑποτ. μ. ἀορ. β'. τοῦ προΐημι = μὴ ἐγκαταλείπωσιν ἑαυτοὺς (εἰς τοὺς βαρβ. [5]) Τῆς Σαλαμινίας. [6]) Τοὺς ἐν τῇ τριήρει ναύτας. [7]) Ἐν ἀγγείῳ. [8]) Θέσας ὑποκάτω τῶν ἄρτων καὶ κρεῶν. [9]) Ἅμα ἐξημερώσῃ. [10]) Θὰ κραυγάσῃ ἐναντίον του, θὰ τὸν καταγγείλῃ.

περὶ τὰ στενὰ μάχαι κρίσιν μὲν εἰς τὰ ὅλα μεγάλην οὐκ ἐποίησαν[1], τῇ δὲ πείρᾳ μέγιστα τοὺς Ἕλληνας ὤνησαν[2], ὑπὸ τῶν ἔργων παρὰ τοὺς κινδύνους[3] διδαχθέντας, ὡς οὔτε πλήθη νεῶν οὔτε κόσμοι καὶ λαμπρότητες ἐπισήμων[4] οὔτε κραυγαὶ κομπώδεις ἢ βάρβαροι παιᾶνες ἔχουσί τι δεινὸν ἀνδράσιν ἐπισταμένοις εἰς χεῖρας ἰέναι[5] καὶ μάχεσθαι τολμῶσιν, ἀλλὰ δεῖ τῶν τοιούτων καταφρονοῦντας ἐπ' αὐτὰ τὰ σώματα φέρεσθαι καὶ πρὸς ἐκεῖνα διαγωνίζεσθαι συμπλακέντας. Ὃ δὴ[6] καὶ Πίνδαρος οὐ κακῶς[7] ἔοικε συνιδὼν ἐπὶ τῆς ἐν Ἀρτεμισίῳ μάχης εἰπεῖν

ὅθι[8] παῖδες Ἀθηναίων[9] ἐβάλοντο[10] φαεννὰν[11]
κρηπῖδ'[12] ἐλευθερίας·

ἀρχὴ γὰρ ὄντως τοῦ νικᾶν τὸ θαρρεῖν. Ἔστι δὲ τῆς Εὐβοίας τὸ Ἀρτεμίσιον ὑπὲρ τὴν Ἑστίαιαν αἰγιαλὸς εἰς βορέαν ἀναπεπταμένος, ἀντιτείνει[13] δ' αὐτῷ μάλιστα τῆς ὑπὸ Φιλοκτήτῃ γενομένης χώρας Ὀλιζών. Ἔχει δὲ ναὸν οὐ μέγαν Ἀρτέμιδος ἐπίκλησιν[14] Προσηώας, καὶ δένδρα περὶ αὐτῷ πέφυκε καὶ στῆλαι κύκλῳ λίθου λευκοῦ πεπήγασιν[15]· ὁ δὲ λίθος τῇ χειρὶ τριβό-

---

1) Δὲν ἔσχον κρίσιμον ἀποτέλεσμα. 2) Ὠφέλησαν δὲ τοὺς Ἕλλ. κατὰ τὴν ἐμπειρίαν. 3) Ἐν ὥρᾳ τῶν κινδ. 4) Τῶν σημείων, τῶν σημάτων (δηλ. γλυπτῶν ἐν τῇ πρῴρα εἰκόνων ἢ ἀγαλμάτων) πρὸς κόσμησιν καὶ διάκρισιν τῶν πλοίων. 5) Ἔρχεσθαι εἰς χεῖρας, συμπλέκεσθαι. 6) Τοῦτο, ὡς γνωστόν. 7) Οὐ κακῶς=καλῶς. 8) Ὅπου. 9)= Ἀθηναῖοι, ὡς καὶ τὸ υἷες Ἀχαιῶν=Ἀχαιοὶ κλπ. 10) Ἔθηκαν. 11) Ποιητ: ἀντὶ φαεινήν. 12) Θεμέλιον. 13) Ἐκτείνεται ἀντικρὺ ἡ Ὀλιζὼν πόλις τῆς χώρας κτλ. 14) Ἐπιρρηματ:= ὀνόματι. 15) Παρακμ. β'. τοῦ πήγνυμι ἐν οὐδετ. σημασίᾳ:= εἶνε ἱδρυμέναι.

μενος καὶ χρόαν καὶ ὀσμὴν κροκίζουσαν[1] ἀναδίδωσιν. Ἐν μιᾷ δὲ τῶν στηλῶν ἐλεγεῖον ἦν τόδε γεγραμμένον.

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίης ἀπὸ χώρας
παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
ναυμαχίῃ δαμάσαντες[2], ἐπεὶ στρατὸς ὤλετο Μήδων,
σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

Δείκνυται δὲ τῆς ἀκτῆς τόπος ἐν πολλῇ τῇ πέριξ θινὶ[3] κόνιν τεφρώδη καὶ μέλαιναν ἐκ βάθους ἀναδιδούς, ὥσπερ πυρίκαυστον[4], ἐν ᾧ τὰ ναυάγια καὶ νεκροὺς καῦσαι δοκοῦσι[5].

IX. Τῶν μέντοι[6] περὶ Θερμοπύλας εἰς τὸ Ἀρτεμίσιον ἀπαγγελθέντων[7] πυθόμενοι Λεωνίδαν τε κεῖσθαι[8] καὶ κρατεῖν Ξέρξην τῶν κατὰ γῆν παρόδων[9], εἴσω τῆς Ἑλλάδος ἀνεκομίζοντο, τῶν Ἀθηναίων ἐπὶ πᾶσι τεταγμένων δι' ἀρετὴν καὶ μέγα τοῖς πεπραγμένοις φρονούντων[10]. Παραπλέων δὲ τὴν χώραν ὁ Θεμιστοκλῆς, ᾗπερ κατάρσεις[11] ἀναγκαίας καὶ καταφυγὰς ἑώρα τοῖς πολεμίοις, ἐνεχάραττε κατὰ τῶν λίθων ἐπιφανῆ γράμματα[12], τοὺς μὲν εὑρίσκων ἀπὸ τύχης[13], τοὺς δ' αὐτὸς ἱστὰς περὶ τὰ ναύλοχα[14] καὶ τὰς ὑδρείας[15], ἐπισκήπτων[16] Ἴωσι διὰ τῶν γραμμάτων, εἰ μὲν οἷόν τε μετατάξασθαι

1) Κρόκῳ ὁμοίαν. 2) Νικήσαντες. 3) = Ἐν τῇ πέριξ θινὶ (=ἄμμῳ) πολλῇ (ἐνν. οὔσῃ). 4) Πυρὶ κεκαυμένην. 5) Ὑποκμ. νοητέον οἱ Ἕλληνες. 6) Ὅμως. 7) Καθ' Ἡρόδ. Ἀμβρώνυχος ὁ Ἀθηναῖος ἦν ὁ ἀναγγείλας εἰς Ἀρτεμίσιον τὰ εἰς Θερμοπ. συμβάντα. 8) Ἐνν. νεκρὸν = πέπτωκεν, ὅτι ἔχει φονευθῇ. 9) Δηλ. τῶν Θερμοπ. 10) Μεγαλοφρονούντων διὰ τὰ κατορθώματά των. 11) Κάταρσις = τόπος κατάλληλος διὰ προσόρμισιν. 12) Εὐδιάκριτα γράμματα ἐπὶ (εἰς τὰ πλευρὰ) τῶν λίθων. 13) Τυχαίως. 14) Μέρη (ὅρμοι) ἐν οἷς ἠγκυροβόλουν τὰ πλοῖα. 15) Μέρη πρὸς ὕδρευσιν. 16) Παροτρύνων.

πρὸς αὐτοὺς πατέρας ὄντας[1] καὶ προκινδυνεύοντας ὑπὲρ τῆς ἐκείνων[2] ἐλευθερίας, εἰ δὲ μή, κακοῦν τὸ βαρβαρικὸν[3] ἐν ταῖς μάχαις καὶ συνταράττειν. Ταῦτα[4], δ' ἤλπιζεν ἢ μεταστήσειν τους Ἴωνας ἢ ταράξειν ὑποπτοτέρους τοῖς βαρβάροις γενομένους. Ξέρξου δὲ διὰ τῆς Δωρίδος ἄνωθεν[5] ἐμβαλόντος εἰς τὴν Φωκίδα καὶ τὰ τῶν Φωκέων ἄστη πυρπολοῦντος οὐ προσήμυναν[6] οἱ Ἕλληνες, καίπερ τῶν Ἀθηναίων δεομένων εἰς τὴν Βοιωτίαν ἀπαντῆσαι πρὸ τῆς Ἀττικῆς, ὥσπερ αὐτοὶ κατὰ θάλατταν ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν. Μηδενὸς δ' ὑπακούοντος αὐτοῖς, ἀλλὰ τῆς Πελοποννήσου περιεχομένων[7] καὶ πᾶσαν ἐντὸς Ἰσθμοῦ τὴν δύναμιν ὡρμημένων συνάγειν, καὶ διατειχιζόντων[8] τὸν Ἰσθμὸν εἰς θάλατταν ἐκ θαλάττης, ἅμα μὲν ὀργὴ τῆς προδοσίας εἶχε[9] τοὺς Ἀθηναίους, ἅμα δὲ δυσθυμία καὶ κατήφεια μεμονωμένους. Μάχεσθαι μὲν γὰρ οὐ διενοοῦντο μυριάσι στρατοῦ τοσαύταις· ὃ δ' ἦν μόνον ἀναγκαῖον ἐν τῷ παρόντι, τὴν πόλιν ἀφέντας ἐμφῦναι ταῖς ναυσίν, οἱ πολλοὶ χαλεπῶς ἤκουον, ὡς μήτε νίκης δεόμενοι μήτε σωτηρίαν ἐπιστάμενοι θεῶν τε ἱερὰ καὶ πατέρων ἠρία[10] προϊεμένων.

Ἔνθα δὴ[11] Θεμιστοκλῆς ἀπορῶν τοῖς ἀνθρωπίνοις

---

1) Ὅτι οἱ Ἀθηναῖοι ἦσαν ἄποικοι τῶν Ἰώνων. 2) Τῶν Ἰώνων. 3) Περιληπ, ἀντὶ τοὺς βαρβάρους. 4) =Διὰ τούτων, ἢ ταῦτα παραγγέλλων ἤλπιζε κτλ. 5) Δηλ. ἐκ τοῦ ὄρους Οἴτης. 6) Προσαμύνω=βοηθῶ. 7) Φροντιζόντων περὶ τῆς Πέλοπον. 8) Χωριζόντων διὰ τείχους τὸν Ἰσμὸν ἀπὸ τῆς μιᾶς θαλάσσης (ἤτοι τοῦ Σαρωνικοῦ κόλπου) μέχρι τῆς ἄλλης (δηλ. τοῦ Κορινθιακοῦ κόλπου). 9) Κατεῖχε. 10) Τὸ ἠρίον=ὁ ἐν τῇ γῇ τάφος. 11) Τότε λοιπόν.

λογισμοῖς προσάγεσθαι[1] τὸ πλῆθος, ὥσπερ ἐν τραγῳδίᾳ μηχανὴν ἄρας[2], σημεῖα δαιμόνια[3] καὶ χρησμοὺς ἐπῆγεν[4] αὐτοῖς· σημεῖον μὲν λαμβάνων τὸ τοῦ δράκοντος[5], ὡς ἀφανὴς ἐκείναις ταῖς ἡμέραις ἐκ τοῦ σηκοῦ[6] δοκεῖ γενέσθαι· καὶ τὰς καθ' ἡμέραν αὐτῷ προτιθεμένας ἀπαρχὰς[7] εὑρίσκοντες ἀψαύστους οἱ ἱερεῖς, ἐξήγγελλον εἰς τοὺς πολλούς, τοῦ Θεμιστοκλέους λόγον διδόντος[8], ὡς ἀπολέλοιπε τὴν πόλιν ἡ θεὸς ὑφηγουμένη πρὸς τὴν θάλατταν αὐτοῖς. Τῷ δὲ χρησμῷ[9] πάλιν ἐδημαγώγει, λέγων μηδὲν ἄλλο δηλοῦσθαι ξύλινον τεῖχος ἢ τὰς ναῦς· διὸ καὶ τὴν Σαλαμῖνα θείαν, οὐχὶ δεινὴν οὐδὲ σχετλίαν καλεῖν τὸν θεόν, ὡς εὐτυχήματος μεγάλου τοῖς Ἕλλησιν ἐπώνυμον ἐσομένην[10]. Κρατήσας δὲ τῇ γνώμῃ ψήφισμα γράφει, τὴν μὲν πόλιν παρακαταθέσθαι τῇ Ἀθηνᾷ τῇ Ἀθηνάων μεδεούσῃ[11], τοὺς δ' ἐν ἡλικίᾳ πάντας ἐμβαίνειν εἰς τὰς τριήρεις, παῖδας δὲ καὶ γυναῖκας καὶ ἀνδράποδα σώζειν ἕκαστον ὡς δυνατόν. Κυρωθέντος δὲ τοῦ ψηφίσματος οἱ πλεῖστοι τῶν Ἀθηναίων ὑπεξέθεντο γονέας καὶ γυναῖκας εἰς Τροιζῆνα, φιλοτίμως πάνυ τῶν Τροιζηνίων ὑποδεχομένων· καὶ γὰρ τρέφειν ἐψηφίσαντο

---

1) = Προσάγειν πρὸς ἑαυτὸν (νὰ προσελκύῃ, νὰ πείθῃ. 2) Ἐν ταῖς τραγῳδίαις, ὅταν ἡ λύσις τοῦ δράματος ἀποβαίνει ἀνθρωπίνως ἀδύνατος, ἐπιφαίνεται ἄνωθεν Θεός τις (ἀπὸ μηχανῆς Θεός), αἰρομένου τοῦ πρὸς τοῦτο μηχανήματος, ἐπιβάλλων τὸν τρόπον τῆς λύσεως. 3) Θεῖα. 4) Ἐπεδείκνυε. 5) Τοῦ ἐν τῷ Ἐρεχθείῳ διαιτωμένου ἱεροῦ δράκοντος. 6) Σηκὸς = τὸ ἐνδότατατον τοῦ ναοῦ μέρος. 7) Προσφοράς. 8) Ἑρμηνεύοντος (τὸ φαινόμενον. 9) Ὅρα τὸν χρησμὸν ἐν Ἡροδότῳ 7,141—144. 10) Ὅτι ἤθελον ἀποβῇ (ἡ Σαλαμὶς) ὄνομα μεγάλου διὰ τοὺς Ἕλληνας εὐτυχήματος. 11) Ἀθηνάων, Ἰων. ἀντὶ = Ἀθηναίων. Μεδεούσῃ (ἐκ τοῦ μέδων = ἄρχων) = δεσποζούσῃ.

δημοσίᾳ[1], δύο ὀβολοὺς ἑκάστῳ διδόντες, καὶ τῆς ὀπώρας λαμβάνειν τοὺς παῖδας ἐξεῖναι πανταχόθεν, ἔτι δ' ὑπὲρ αὐτῶν διδασκάλοις τελεῖν[2] μισθούς. Τὸ δὲ ψήφισμα Νικαγόρας ἔγραψεν. Οὐκ ὄντων δὲ δημοσίων χρημάτων τοῖς Ἀθηναίοις, Ἀριστοτέλης μέν φησι τὴν ἐξ Ἀρείου Πάγου βουλὴν πορίσασαν ὀκτὼ δραχμὰς ἑκάστῳ τῶν στρατευομένων αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις, Κλείδημος δὲ καὶ τοῦτο τοῦ Θεμιστοκλέους ποιεῖται[3] στρατήγημα. Καταβαινόντων γὰρ[4] εἰς Πειραιᾶ τῶν Ἀθηναίων, φησὶν ἀπολέσθαι τὸ Γοργόνειον[5] ἀπὸ τῆς θεοῦ τοῦ ἀγάλματος· τὸν οὖν Θεμιστοκλέα προσποιούμενον ζητεῖν καὶ διερευνώμενον ἅπαντα χρημάτων ἀνευρίσκειν πλῆθος ἐν ταῖς ἀποσκευαῖς[6] ἀποκεκρυμμένον, ὧν εἰς μέσον[7] κομισθέντων εὐπορῆσαι τοὺς ἐμβαίνοντας εἰς τὰς ναῦς ἐφοδίων. Ἐκπλεούσης δὲ τῆς πόλεως[8] τοῖς μὲν οἶκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα τῆς τόλμης[9] παρεῖχε, γενεὰς[10] μὲν ἄλλῃ[11] προπεμπόντων[12], αὐτῶν δ' ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γονέων καὶ περιβολὰς[13] διαπερώντων εἰς τὴν νῆσον[14]. Καίτοι πολλοὶ μὲν διὰ γῆρας ὑπολειπόμενοι[15] τῶν πολιτῶν ἔλεον εἶχον[16]· ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συν-

---

1) Ἐκ τοῦ δημοσίου ταμείου. 2) = Ἀποτίνειν, πληρόνειν. 3) Νομίζει. 4) Δηλαδή. 5) Τὸ Γοργόνειον = ἡ κεφαλὴ τῆς Γοργόνος ἡ γεγλυμμένη ἐπὶ τῆς ἀσπίδος τοῦ ἀγάλματος τῆς Ἀθηνᾶς. 6) Εἰς τὰ πράγματα (τὰ ὁποῖα ἔφερον μεθ' ἑαυτῶν. 7) Πρὸς κοινὴν χρῆσιν. 8) = Τῶν πολιτῶν. 9) Θαυμασμὸν διὰ τὴν τόλμην ἐπροξένει. 10) Οἰκογενείας. 11) Ἀλλαχοῦ, εἰς ἄλλο μέρος. 12) Ἐνν. ὑποκμ. τῶν πολιτῶν. 13) Περιπτύξεις, ἐναγκαλισμούς. 14) Τῆς Σαλαμῖνος. 15) Μένοντες ὀπίσω. 16) Ἐκίνουν τὴν εὐσπλαγχνίαν.

τρόφων ζῴων ἐπικλῶσα γλυκυθυμία[1], μετ' ὠρυγῆς καὶ πόθου συμπαραθεόντων ἐμβαίνουσι τοῖς ἑαυτῶν τροφεῦσιν[2]. Ἐν οἷς[3] ἱστορεῖται κύων Ξανθίππου τοῦ Περικλέους πατρὸς οὐκ ἀνασχόμενος[4] τὴν ἀπ' αὐτοῦ μόνωσιν ἐναλέσθαι[5] τῇ θαλάττῃ καὶ τῇ τριήρει παρανηχόμενος[6] ἐκπεσεῖν εἰς τὴν Σαλαμῖνα καὶ λιποθυμήσας ἀποθανεῖν εὐθύς· οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν καὶ καλούμενον Κυνὸς σῆμα τάφον εἶναι λέγουσι.

XI Ταῦτά τε δὴ μεγάλα τοῦ Θεμιστοκλέους, καὶ τοὺς πολίτας αἰσθόμενος ποθοῦντας Ἀριστείδην καὶ δεδιότας, μὴ δι' ὀργὴν τῷ βαρβάρῳ προσθεὶς ἑαυτὸν[7] ἀνατρέψῃ τὰ πράγματα τῆς Ἑλλάδος (ἐξωστράκιστο γὰρ πρὸ τοῦ πολέμου καταστασιασθεὶς[8] ὑπὸ Θεμιστοκλέους), γράφει ψήφισμα, τοῖς ἐπὶ χρόνῳ μεθεστῶσιν ἐξεῖναι[9] κατελθοῦσι πράττειν καὶ λέγειν τὰ βέλτιστα τῇ Ἑλλάδι μετὰ τῶν ἄλλων πολιτῶν. Εὐρυβιάδου δὲ τὴν μὲν ἡγεμονίαν τῶν νεῶν ἔχοντος διὰ τὸ τῆς Σπάρτης ἀξίωμα, μαλακοῦ δὲ περὶ τὸν κίνδυνον ὄντος, αἴρειν[10] δὲ βουλομένου καὶ πλεῖν ἐπὶ τὸν Ἰσθμόν, ὅπου καὶ τὸ πεζὸν ἤθροιστο τῶν Πελοποννησίων, ὁ Θεμιστοκλῆς ἀντέλεγεν· ὅτε καὶ τὰ μνημονευόμενα λεχθῆναί φασι. Τοῦ γὰρ[11] Εὐρυβιάδου πρὸς αὐτὸν εἰπόντος· «Ὦ Θεμιστόκλεις,

[1]) Ἐπικλῶσα γλυκυθυμία=φιλοστοργία σπαράττουσα τὴν καρδίαν. [2]) Τρεχόντων ὁμοῦ μὲ τοὺς εἰς τὰ πλοῖα ἐμβαίνοντας τροφεῖς των. [3]) Μεταξὺ τούτων δέ. [4]) Ὑπομείνας. [5]) Ὅτι ἐπήδησεν. [6]) Καὶ ὅτι κολυμβῶν παρὰ τὸ πλευρὸν τῆς τριήρους κτλ. [7]) Ἑνωθεὶς μετὰ τῶν βαρβ. [8]) Καταρραδιουργηθείς. [9]) Ὅτι ἐπιτρέπεται εἰς τοὺς δι' ὡρισμένον χρόνον ἐξορισθέντας κτλ. [10]) Δηλ. τὰς ἀγκύρας τῶν πλοίων, κοινῶς νὰ σαλπάρῃ. [11]) Δηλαδή,

ἐν τοῖς ἀγῶσι τοὺς προεξανισταμένους[1] ῥαπίζουσι» «Ναὶ» εἶπεν ὁ Θεμιστοκλῆς «ἀλλὰ τοὺς ἀπολειφθέντας οὐ στεφανοῦσιν». Ἐπαραμένου δὲ τὴν βακτηρίαν ὡς πατάξοντος, ὁ Θεμιστοκλῆς ἔφη»· «Πάταξον μέν, ἄκουσον δέ». Θαυμάσαντος δὲ τὴν πρᾳότητα τοῦ Εὐρυβιάδου καὶ λέγειν κελεύσαντος, ὁ μὲν Θεμιστοκλῆς ἀνῆγεν[2] αὐτὸν ἐπὶ τὸν λόγον. Εἰπόντος δέ τινος[3], ὡς ἀνὴρ ἄπολις οὐκ ὀρθῶς διδάσκει τοὺς ἔχοντας[4] ἐγκαταλιπεῖν καὶ προέσθαι τὰς πατρίδας, ὁ Θεμιστοκλῆς ἐπιστρέψας τὸν λόγον[5]· «Ἡμεῖς τοι[6]» εἶπεν «ὦ μοχθηρέ, τὰς μὲν οἰκίας καὶ τὰ τείχη καταλελοίπαμεν, οὐκ ἀξιοῦντες ἀψύχων ἕνεκα δουλεύειν, πόλις δ' ἡμῖν ἔστι μεγίστη τῶν Ἑλληνίδων, αἱ διακόσιαι τριήρεις, αἳ νῦν μὲν ὑμῖν παρεστᾶσι[7] βοηθοὶ σώζεσθαι δι' αὐτῶν βουλομένοις[8], εἰ δ' ἄπιτε δεύτερον ἡμᾶς προδόντες, αὐτίκα πεύσεταί τις[9] Ἑλλήνων Ἀθηναίους καὶ πόλιν ἐλευθέραν καὶ χώραν οὐ χείρονα κεκτημένους ἧς[10] ἀπέβαλον». Ταῦτα τοῦ Θεμιστοκλέους εἰπόντος ἔννοια καὶ δέος ἔσχε[11] τὸν Εὐρυβιάδην τῶν Ἀθηναίων, μὴ σφᾶς ἀπολείποντες οἴχονται. Τοῦ δ' Ἐρετριέως[12] πειρωμένου τι λέγειν πρὸς αὐ-

[1]) Τοὺς εἰς τοὺς δημοσίους ἀγῶνας ἐγειρομένους πρὶν ἔλθῃ ἡ σειρά των. [2]) Τὸν ἐπανέφερεν εἰς τὴν (διακοπεῖσαν) ὁμιλίαν του. [3]) Ὁ εἰπὼν εἶνε ὁ Ἀδείμαντος ἐκ Κορίνθου, ἀποκαλέσας ἄπολιν τὸν Θεμιστ. ἕνεκεν τῆς ἁλώσεως τῶν Ἀθηνῶν ὑπὸ τοῦ Ξέρξου. [4]) Ἐνν. πόλιν, κατ' ἀντίθεσιν πρὸς τὸ ἄπολις. [5]) Ἀπευθύνας πρὸς τὸν αὐτὸν λόγον. [6]) Πράγματι, τῷ ὄντι. [7]) Παρακμ. ἀντὶ παρεστήκασι (παρεστάασι — παρεστᾶσι). [8]) Ἐὰν θέλετε. [9]) Μέλ. τοῦ πυνθάνομαι. = θέλει πληροφορηθῇ πᾶς τις τῶν Ἑλλ. (= πάντες οἱ Ἕλλ. [10]) Ἕλξ: = χώρας ἐκείνης ἣν ἀπέβαλον [11]) = Ἔγνοια καὶ φόβος τὸν κατέλαβε μὴ οἱ Ἀθην. κτλ. [12]) Δηλ. στρατηγοῦ.

τὸν «Ἦ γὰρ» ἔφη «καὶ ὑμῖν περὶ πολέμου τίς ἐστι λόγος, οἳ καθάπερ αἱ τευθίδες[1] μάχαιραν μὲν ἔχετε, καρδίαν δὲ οὐκ ἔχετε;»

XII. Λέγεται δ' ὑπό τινων τὸν μὲν Θεμιστοκλέα περὶ τούτων ἀπὸ τοῦ καταστρώματος ἄνωθεν τῆς νεὼς διαλέγεσθαι, γλαῦκα[2] δ' ὀφθῆναι διαπετομένην ἀπὸ δεξιᾶς[3] τῶν νεῶν καὶ τοῖς καρχησίοις[4] ἐπικαθίζουσαν· διὸ δὴ καὶ μάλιστα προσέθεντο[5] τῇ γνώμῃ καὶ παρεσκευάζοντο ναυμαχήσοντες. Ἀλλ' ἐπεὶ τῶν πολεμίων ὅ τε στόλος τῇ Ἀττικῇ κατὰ τὸ Φαληρικὸν προσφερόμενος τοὺς πέριξ ἀπέκρυψεν αἰγιαλούς, αὐτός τε βασιλεὺς μετὰ τοῦ πεζοῦ στρατοῦ καταβὰς ἐπὶ τὴν θάλατταν ἄθρους ὤφθη, τῶν δὲ δυνάμεων ὁμοῦ γενομένων, ἐξερρύησαν[6] οἱ τοῦ Θεμιστοκλέους λόγοι τῶν Ἑλλήνων καὶ πάλιν ἐπάπταινον[7] οἱ Πελοποννήσιοι πρὸς τὸν Ἰσθμόν, εἴ τις ἄλλο τι λέγοι χαλεπαίνοντες[8], ἐδόκει δὲ τῆς νυκτὸς ἀποχωρεῖν καὶ παρηγγέλλετο πλοῦς τοῖς κυβερνήταις, ἔνθα δὴ βαρέως φέρων ὁ Θεμιστοκλῆς, εἰ τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν στενῶν προέμενοι βοήθειαν οἱ Ἕλληνες διαλυθήσονται κατὰ πόλεις, ἐβουλεύετο καὶ συνετίθει

---

1) Τὰ καλαμάρια τῆς θαλάσσης, τὰ ὁποῖα, ὡς ὅλα τὰ μαλάκια λεγόμενα, δὲν ἔχουσι σπλάγχνον ἀλλὰ χόνδρον τινὰ στερεὸν καλούμενον εἰς τὰς τευθίδας ξίφος. Διὰ τοῦτο τοὺς προσομοιάζει πρὸς αὐτάς, ὅτι ἔχουν μάχαιραν (ὅπως δηλ. ἔχουσι ξίφος αἱ τευθίδες) ἀλλ' ὄχι καρδίαν (δηλ. σπλάγχνον, οὗ στεροῦνται τὰ μαλάκια. 2) Ἡ γλαὺξ ἐθεωρεῖτο ὡς ἱερὸν πτηνὸν τῆς Ἀθηνᾶς, οὗ ἡ πτῆσις ἦν οἰωνὸς νίκης. 3) Ἐκ τοῦ δεξιοῦ μέρους. 4) Εἰς τὰ ἄκρα τῶν ἱστῶν. 3) Ἐτάχθησαν μὲ τὴν γνώμην τοῦ Θεμιστ. 6) Δηλ. τῆς μνήμης, ἐλησμονήθησαν. 7) Ἔστρεφον ἀνησύχως τὰ βλέμματά των. 8) = Δυσκόλως (χα-λεπῶς) ἀκούοντες.

τὴν περὶ τὸν Σίκιννον πραγματείαν[1]. Ἦν δὲ τῷ μὲν γένει Πέρσης ὁ Σίκιννος, αἰχμάλωτος, εὔνους δὲ τῷ Θεμιστοκλεῖ καὶ τῶν τέκνων αὐτοῦ παιδαγωγός. Ὃν ἐκπέμπει πρὸς τὸν Ξέρξην κρύφα, κελεύσας λέγειν, ὅτι Θεμιστοκλῆς ὁ τῶν Ἀθηναίων στρατηγὸς αἱρούμενος[2] τὰ βασιλέως ἐξαγγέλλει πρῶτος αὐτῷ τοὺς Ἕλληνας ἀποδιδράσκοντας[3], καὶ διακελεύεται[4] μὴ παρεῖναι[5] φυγεῖν αὐτοῖς, ἀλλ' ἐν ᾧ ταράττονται τῶν πεζῶν χωρὶς ὄντες ἐπιθέσθαι καὶ διαφθεῖραι τὴν ναυτικὴν δύναμιν. Ταῦτα δ' ὁ Ξέρξης ὡς ἀπ' εὐνοίας λελεγμένα δεξάμενος ἥσθη, και τέλος[6] εὐθὺς ἐξέφερε πρὸς τοὺς ἡγεμόνας τῶν νεῶν, τὰς μὲν ἄλλας πληροῦν καθ' ἡσυχίαν, διακοσίαις δ' ἀναχθέντας ἤδη[7] περιβαλέσθαι τὸν πόρον[8] ἐν κύκλῳ πάντα καὶ διαζῶσαι τὰς νήσους, ὅπως ἐκφύγοι μηδεὶς τῶν πολεμίων. Τούτων δὲ πραττομένων Ἀριστείδης ὁ Λυσιμάχου πρῶτος αἰσθόμενος ἧκεν ἐπὶ τὴν σκηνὴν τοῦ Θεμιστοκλέους, οὐκ ὢν φίλος, ἀλλὰ καὶ δι' ἐκεῖνον ἐξωστρακισμένος, ὥσπερ εἴρηται· προελθόντι[9] δὲ τῷ Θεμιστοκλεῖ φράζει τὴν κύκλωσιν. Ὁ δὲ τήν τε ἄλλην καλοκαγαθίαν τοῦ ἀνδρὸς εἰδὼς καὶ τῆς τότε παρουσίας ἀγάμενος[10] λέγει τὰ περὶ τὸν Σίκιννον αὐτῷ καὶ παρεκάλει τῶν Ἑλλήνων συνεπιλαμβάνεσθαι[11] καὶ συμπροθυμεῖσθαι πίστιν ἔχοντα μᾶλλον[12], ὅπως ἐν τοῖς

---

1) Ὑπόθεσιν. 2) Προτιμῶν τὰ (συμφέροντα τοῦ) βασιλέως. 3) = Σκοποῦντες νὰ δραπετεύσωσι. 4) Καὶ παροτρύνει αὐτόν. 5) Νὰ μὴ τοὺς ἀφήσῃ νὰ φύγωσι. 6) Ἐντολὴν ἔδωκε. 7) Ἀμέσως. 8) Τὸ μεταξὺ τῆς Σαλαμ. καὶ τῆς ξηρᾶς στενόν. 9) Ἐξελθόντι πρὸ (ἔξω) τῆς σκηνῆς. 10) Θαυμάσας. 11) Νὰ συμπράξῃ. 12) Μᾶλλον ἢ αὐτὸς (ὁ Θεμ.).

στενοῖς ναυμαχήσωσιν. Ὁ μὲν οὖν Ἀριστείδης ἐπαινέσας τὸν Θεμιστοκλέα τοὺς ἄλλους ἐπῄει[1] στρατηγοὺς καὶ τριηράρχους ἐπὶ τὴν μάχην παροξύνων. Ἔτι δ' ὅμως ἀπιστούντων ἐφάνη Τηνία τριήρης αὐτόμολος, ἧς ἐναυάρχει Παναίτιος, ἀπαγγέλλουσα τὴν κύκλωσιν, ὥστε καὶ θυμῷ τοὺς Ἕλληνας ὁρμῆσαι μετὰ τῆς ἀνάγκης[2] πρὸς τὸν κίνδυνον.

VIII. Ἅμα δ' ἡμέρᾳ Ξέρξης μὲν ἄνω καθῆσθο[3] τὸν στόλον ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός φησιν, ὑπὲρ τὸ Ἡράκλειον[4], ᾗ[5] βραχεῖ πόρῳ διείργεται τῆς Ἀττικῆς ἡ νῆσος, ὡς δ' Ἀκεστόδωρος, ἐν μεθορίῳ τῆς Μεγαρίδος ὑπὲρ τῶν καλουμένων Κεράτων, χρυσοῦν δίφρον θέμενος καὶ γραμματεῖς πολλοὺς παραστησάμενος[6], ὧν ἔργον ἦν ἀπογράφεσθαι τὰ κατὰ τὴν μάχην πραττόμενα. Θεμιστοκλεῖ δὲ παρὰ τὴν ναυαρχίδα τριήρη σφαγιαζομένῳ[7] τρεῖς προσήχθησαν αἰχμάλωτοι, κάλλιστοι μὲν ἰδέσθαι τὴν ὄψιν, ἐσθῆσι δὲ καὶ χρυσῷ κεκοσμημένοι διαπρεπῶς. Ἐλέγοντο δὲ Σανδαύκης παῖδες εἶναι τῆς βασιλέως ἀδελφῆς καὶ Ἀρταΰκτου. Τούτους ἰδὼν Εὐφραντίδης ὁ μάντις, ὡς ἅμα μὲν ἀνέλαμψεν ἐκ τῶν ἱερῶν[8] μέγα καὶ περιφανὲς πῦρ, ἅμα δὲ πταρμὸς[9] ἐκ δεξιῶν ἐσήμηνε, τὸν Θεμιστοκλέα

1) Ἐπεσκέπτετο. 2) Ὥστε καὶ ἀγανακτήσαντες καὶ ἐξαναγκασθέντες νὰ ὁρμήσωσιν οἱ Ἕλληνες εἰς τὸν κίνδυνον. 3) Ὑπερσυντ. τοῦ καθέζομαι. 4) Ὑπεράνω τοῦ ναοῦ τοῦ Ἡρακλέους. 5) Ὅπου διὰ μικροῦ στενοῦ χωρίζεται. 6) Νὰ τοποθετηθῶσιν ἐγγύς του. 7) Ἐνῷ ἐτέλει θυσίαν (διὰ σφαγίων. 8) Ἐκ τῶν καιομένων σφαγίων. 9) = Πτάρνισμα, ὅπερ ἐθεωρεῖτο, ὡς καὶ παρ' ἡμῖν νῦν, ὡς καλὸν σημεῖον.

δεξιωσάμενος ἐκέλευσε τῶν νεανίσκων κατάρξασθαι[1] καὶ καθιερεῦσαι πάντας ὠμηστῇ[2] Διονύσῳ προσευξάμενον· οὕτω γὰρ ἅμα σωτηρίαν τε καὶ νίκην ἔσεσθαι τοῖς Ἕλλησιν. Ἐκπλαγέντος δὲ τοῦ Θεμιστοκλέους ὡς μέγα τὸ μάντευμα καὶ δεινόν, οἷον εἴωθεν ἐν μεγάλοις ἀγῶσι καὶ πράγμασι χαλεποῖς, μᾶλλον ἐκ τῶν παραλόγων ἢ τῶν εὐλόγων τὴν σωτηρίαν ἐλπίζοντες οἱ πολλοὶ[3] τὸν θεὸν ἅμα κοινῇ κατεκαλοῦντο φωνῇ καὶ τοὺς αἰχμαλώτους τῷ βωμῷ προσαγαγόντες ἠνάγκασαν, ὡς ὁ μάντις ἐκέλευσε, τὴν θυσίαν συντελεσθῆναι. Ταῦτα μὲν οὖν ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος ἱστορικῶν Φανίας ὁ Λέσβιος εἴρηκε.

XIV. Περὶ δὲ τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν Αἰσχύλος ὁ ποιητὴς ὡς ἂν εἰδὼς[4] καὶ διαβεβαιούμενος ἐν τραγῳδίᾳ Πέρσαις λέγει ταῦτα·

Ξέρξῃ δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
Νεῶν τὸ πλῆθος· αἱ δ' ὑπέρκομποι τάχει[5]
Ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος.

Τῶν δ' Ἀττικῶν ἑκατὸν ὀγδοήκοντα τὸ πλῆθος οὐσῶν ἑκάστη τοὺς ἀπὸ τοῦ καταστρώματος μαχομένους[6] ὀκτωκαίδεκα εἶχεν, ὧν τοξόται τέσσαρες ἦσαν, οἱ λοιποὶ δ' ὁπλῖται. Δοκεῖ δ' οὐχ ἧττον εὖ τὸν καιρὸν ὁ Θεμιστοκλῆς ἢ τὸν τόπον συνιδὼν καὶ φυλάξας μὴ πρότε-

---

[1]) Κατάρχεσθαι (ἐπὶ θυσιῶν) σημ: κάμνειν τὴν προκαταρκτικὴν ἐργασίαν τῆς θυσίας, τ. ἔ. κόπτειν τὰς τρίχας τοῦ θύματος καὶ ῥίπτειν αὐτὰς ὡς ἀπαρχὰς εἰς τὸ πῦρ. [2]) Ὠμοφάγῳ ἐπίθ. ἀποδίδ. εἰς τὸν Διόνυσον. [3]) Ὁ ὄχλος καθικέτευεν ὁμοφώνως. [4]) Ὡς ἂν εἰδὼς λέγει = λέγει ὡς ἂν λέγοι εἰδώς. [5]) Ὑπερήφανοι διὰ τὸ τάχος των. [6]) = Τοὺς ἐπιβάτας, τοὺς μαχητάς.

ρον ἀντιπρῴρους καταστῆσαι ταῖς βαρβαρικαῖς τὰς τριήρεις, ἢ τὴν εἰωθυῖαν ὥραν παραγενέσθαι, τὸ πνεῦμα λαμπρὸν ἐκ πελάγους ἀεὶ καὶ κῦμα διὰ τῶν στενῶν κατάγουσαν· ὃ τὰς μὲν Ἑλληνικὰς οὐκ ἔβλαπτε ναῦς ἁλιτενεῖς[1] οὔσας καὶ ταπεινοτέρας, τὰς δὲ βαρβαρικὰς ταῖς τε πρύμναις ἀνεστώσας[2] καὶ τοῖς καταστρώμασιν ὑψορόφους καὶ βαρείας ἐπιφερομένας ἔσφαλλε[3] προσπῖπτον καὶ παρεδίδου πλαγίας τοῖς Ἕλλησιν ὀξέως προσφερομένοις[4] καὶ τῷ Θεμιστοκλεῖ προσέχουσιν, ὡς ὁρῶντι μάλιστα τὸ συμφέρον, καὶ ὅτι κατ' ἐκεῖνον ὁ Ξέρξου ναύαρχος Ἀριαμένης ναῦν ἔχων μεγάλην ὥσπερ ἀπὸ τείχους ἐτόξευε καὶ ἠκόντιζεν, ἀνὴρ ἀγαθὸς[5] ὢν καὶ τῶν βασιλέως ἀδελφῶν πολὺ κράτιστός τε καὶ δικαιότατος. Τοῦτον μὲν οὖν Ἀμεινίας ὁ Δεκελεὺς καὶ Σωκλῆς ὁ Πεδιεὺς ὁμοῦ[6] πλέοντες, ὡς αἱ νῆες ἀντίπρῳροι προσπεσοῦσαι καὶ συνερείσασαι τοῖς χαλκώμασιν ἐνεσχέθησαν[7], ἐπιβαίνοντα τῆς αὐτῶν τριήρους ὑποστάντες[8] καὶ τοῖς δόρασι τύπτοντες εἰς τὴν θάλασσαν ἐξέβαλον· καὶ τὸ σῶμα μετ' ἄλλων διαφερόμενον ναυαγίων Ἀρτεμισία γνωρίσασα πρὸς Ξέρξην ἀνήνεγκεν.

XV. Ἐν δὲ τούτῳ[9] τοῦ ἀγῶνος ὄντος φῶς μὲν ἐκλάμψαι μέγα λέγουσιν Ἐλευσινόθεν, ἦχον δὲ καὶ φωνὴν τὸ Θριάσιον κατέχειν πεδίον ἄχρι θαλάττης, ὡς ἀνθρώ-

---

1) Ἐκ τοῦ ἅλς — τείνω = τόπος παράλιος καὶ (ἐπμ.) ἡ χαμηλὴ ναῦς ἡ ἐπὶ τῆς αὐτῆς εὐθείας σχεδὸν μὲ τὴν θάλασσαν ἐκτεινομένη. 2) Ἐχούσας ἀνασηκωμένας (ὑψηλὰς) πρύμνας. 4) Παρέσυρε. 3) Οἵτινες ἐφώρμων μετὰ σφοδρότητος. 5) Ἀνδρεῖος. 6) Ἐπὶ τῆς αὐτῆς νηός. 7) Ἐνετρυπήθησαν διὰ τῶν χαλκῶν ἐμβόλων. 8) Ἀντισταθέντες. 9) Ἐνῶ δὲ εἰς τουτο τὸ σημεῖον,

πων ὁμοῦ πολλῶν τὸν μυστικὸν ἐξαγόντων Ἴακχον[1]. Ἐκ δὲ τοῦ πλήθους τῶν φθεγγομένων κατὰ μικρὸν ἀπὸ γῆς ἀναφερόμενον νέφος[2] ἔδοξεν αὖθις ὑπονοστεῖν καὶ κατασκήπτειν εἰς τὰς τριήρεις. Ἕτεροι δὲ φάσματα καὶ εἴδωλα καθορᾶν ἔδοξαν ἐνόπλων ἀνδρῶν ἀπ' Αἰγίνης τὰς χεῖρας ἀνεχόντων πρὸ τῶν Ἑλληνικῶν τριηρῶν· οὓς εἴκαζον Αἰακίδας εἶναι παρακεκλημένους εὐχαῖς πρὸ τῆς μάχης ἐπὶ τὴν βοήθειαν. Πρῶτος μὲν οὖν λαμβάνει ναῦν Λυκομήδης, ἀνὴρ Ἀθηναῖος τριηραρχῶν, ἧς τὰ παράσημα περικόψας ἀνέθηκεν Ἀπόλλωνι δαφνηφόρῳ Φλυῆσιν. Οἱ δ' ἄλλοι τοῖς βαρβάροις ἐξισούμενοι τὸ πλῆθος ἐν στενῷ κατὰ μέρος προσφερομένους καὶ περιπίπτοντας ἀλλήλοις ἐτρέψαντο, μέχρι δείλης ἀντισχόντας, ὡς εἴρηκε Σιμωνίδης, τὴν καλὴν ἐκείνην καὶ περιβόητον ἀράμενοι νίκην, ἧς οὔθ' Ἕλλησιν οὔτε βαρβάροις ἐνάλιον[3] ἔργον εἴργασται λαμπρότερον, ἀνδρείᾳ μὲν καὶ προθυμίᾳ κοινῇ τῶν ναυμαχησάντων, γνώμῃ δὲ καὶ δεινότητι Θεμιστοκλέους.

XVI. Μετὰ δὲ τὴν ναυμαχίαν Ξέρξης μὲν ἔτι θυμομαχῶν[4] πρὸς τὴν ἀπότευξιν[5] ἐπεχείρει διὰ χωμάτων[6] ἐπάγειν τὸ πεζὸν τοῖς Ἕλλησιν εἰς Σαλαμῖνα, ἐμφράξας

εἰς τὴν ἀκμὴν ταύτην ἦτο ὁ ἀγών. [1]) Ἡ ἱεροπομπὴ τοῦ Ἰάκχου (Διονύσου τῆς Ἐλευσῖνος) ἐτελεῖτο τῇ 6ῃ ἡμέρᾳ τῶν μεγάλων Ἐλευσινίων (20ῃ Βοηδρομιῶνος) ἀγομένη ἐξ Ἀθηνῶν εἰς Ἐλευσῖνα ὑπὸ πλήθους λαοῦ θορυβωδῶς ὑμνοῦντος καὶ προσευχομένου εἰς τὸν Ἴακχον, οὗ τὸ ἄγαλμα ἐφέρετο ἐκ τοῦ ἰδίου ναοῦ ὑπὸ τοῦ ἱερέως διὰ τῆς ἱερᾶς ὁδοῦ εἰς τὸν τῆς Δήμητρος καὶ Περσεφόνης. [2]) Νέφος κονιορτοῦ. [3]) Θαλάσσιον. [4]) Θλιβόμενος ἐνδομύχως. [5]) Διὰ τὸ ἀτύχημα. [6]) Πληρώσας διὰ χωμάτων τὸν μεταξὺ Σαλαμῖνος καὶ Ἀττικῆς πορθμὸν νὰ ὁδηγήσῃ τὸ πεζικὸν ἐναντίον τῶν Ἑλλήνων εἰς Σαλαμῖνα.

τὸν διὰ μέσου πόρον· Θεμιστοσκλῆς δ' ἀποπειρώμενος[1] Ἀριστείδου λόγῳ γνώμην ἐποιεῖτο λύειν τὸ ζεῦγμα ταῖς ναυσὶν ἐπιπλεύσαντας εἰς Ἑλλήσποντον «Ὅπως» ἔφη «τὴν Ἀσίαν ἐν τῇ Εὐρώπῃ λάβωμεν.» Δυσχεραίνοντος[2] δὲ τοῦ Ἀριστείδου καὶ λέγοντος ὅτι «Νῦν μὲν τρυφῶντι[3] τῷ βαρβάρῳ πεπολεμήκαμεν, ἂν δὲ κατακλείσωμεν εἰς τὴν Ἑλλάδα καὶ καταστήσωμεν εἰς ἀνάγκην ὑπὸ δέους ἄνδρα τηλικούτων δυνάμεων κύριον, οὐκέτι καθήμενος ὑπὸ σκιάδι[4] χρυσῇ θεάσεται τὴν μάχην ἐφ' ἡσυχίας, ἀλλὰ πάντα τολμῶν καὶ πᾶσιν αὐτὸς παρὼν διὰ τὸν κίνδυνον ἐπανορθώσεται τὰ παρειμένα[5] καὶ βουλεύσεται βέλτιον ὑπὲρ τῶν ὅλων· οὐ τὴν οὖσαν οὖν «ἔφη» δεῖ γέφυραν, ὦ Θεμιστόκλεις, ἡμᾶς ἀναιρεῖν, ἀλλ' ἑτέραν, εἴπερ οἷόν τε, προσκατασκευάσαντας ἐκβαλεῖν διὰ τάχους τὸν ἄνθρωπον ἐκ τῆς Εὐρώπης.» «Οὐκοῦν» εἶπεν ὁ Θεμιστοκλῆς «εἰ δοκεῖ ταῦτα συμφέρειν, ὥρα σκοπεῖν[6] καὶ μηχανᾶσθαι πάντας ἡμᾶς, ὅπως[7] ἀπαλλαγήσεται τὴν ταχίστην ἐκ τῆς Ἑλλάδος.» Ἐπεὶ δὲ ταῦτα ἔδοξε, πέμπει τινὰ τῶν βασιλικῶν εὐνούχων ἐν τοῖς αἰχμαλώτοις ἀνευρὼν, Ἀρνάκην ὄνομα, φράζειν βασιλεῖ κελεύσας, ὅτι τοῖς μὲν Ἕλλησι δέδοκται τῷ ναυτικῷ κεκρατηκότας ἀναπλεῖν εἰς τὸν Ἑλλήσποντον ἐπὶ τὸ ζεῦγμα καὶ λύειν τὴν γέφυραν, Θεμιστοκλῆς δὲ κηδόμενος βασιλέως παραινεῖ σπεύδειν ἐπὶ

---

4) Θέλων νὰ δοκιμάσῃ τὸν Ἀριστ., ἐγνωμοδότει (γνώμην ἐποιεῖτο) κατὰ τὸ φαινόμενον (λόγῳ). 2) = Ἐναντιοφρονοῦντος δὲ μετ' ὀργῆς τοῦ Ἀριστ. 3) Διάγοντι ἐν τρυφῇ καὶ ὀλιγωρίᾳ. 4) = Σκηνῇ ὠροφωμένη. 5) Τοῦ π α ρ ί η μ ι = τὰ παρημελημένα. 6) Καιρὸς εἶνε νὰ σκεφθῶμεν. 7) Τροπ: = Πῶς

τὴν ἑαυτοῦ θάλατταν[1], καὶ περαιοῦσθαι[2], μέχρις αὐτὸς ἐμποιεῖ τινας διατριβὰς[3] τοῖς συμμάχοις καὶ μελλήσεις πρὸς τὴν δίωξιν. Ταῦθ' ὁ βάρβαρος ἀκούσας καὶ γενόμενος περίφοβος διὰ τάχους ἐποιεῖτο τὴν ἀναχώρησιν. Καὶ πεῖραν ἡ Θεμιστοκλέους καὶ Ἀριστείδου φρόνησις ἐν Μαρδονίῳ παρέσχεν, εἴγε πολλοστημορίῳ τῆς Ξέρξου δυνάμεως διαγωνισάμενοι Πλαταιᾶσιν εἰς τὸν περὶ τῶν ὅλων κίνδυνον κατέστησαν.

VII. Πόλεων[4] μὲν οὖν τὴν Αἰγινητῶν ἀριστεῦσαί φησιν Ἡρόδοτος, Θεμιστοκλεῖ δέ, καίπερ ἄκοντες ὑπὸ φθόνου, τὸ πρωτεῖον ἀπέδοσαν ἅπαντες. Ἐπεὶ γὰρ ἀναχωρήσαντες εἰς τὸν Ἰσθμὸν ἀπὸ τοῦ βωμοῦ[5] τὴν ψῆφον ἔφερον οἱ στρατηγοί, πρῶτον μὲν ἕκαστος ἑαυτὸν ἀπέφαινεν ἀρετῇ, δεύτερον δὲ μεθ' ἑαυτὸν Θεμιστοκλέα. Λακεδαιμόνιοι δ' εἰς τὴν Σπάρτην αὐτὸν καταγαγόντες[6] Εὐρυβιάδῃ μὲν ἀνδρείας, ἐκείνῳ δὲ σοφίας ἀριστεῖον ἔδοσαν θαλλοῦ[7] στέφανον, καὶ τῶν κατὰ τὴν πόλιν ἁρμάτων τὸ πρωτεῦον ἐδωρήσαντο καὶ τριακοσίους τῶν νέων πομποὺς ἄχρι τῶν ὅρων[8] συνεξέπεμψαν. Λέγεται δ' Ὀλυμπίων τῶν ἐφεξῆς ἀγομένων[9] καὶ παρελθόντος εἰς τὸ στάδιον τοῦ Θεμιστοκλέους, ἀμελήσαντας τῶν ἀγωνιστῶν τοὺς παρόντας ὅλην τὴν ἡμέραν ἐκεῖνον θεᾶσθαι καὶ τοῖς ξένοις ἐπιδεικνύειν ἅμα θαυμάζοντας

---

1) Τὴν πρὸς τὸ μέρος τῆς Ἀσίας. 2) Περάσαι διὰ πλοίου. 3) Βραδύτητας, ἀργοπορίας. 4) Ἐκ τῶν πόλεων. 5) Τοῦ Ποσειδῶνος. 6) Ἀγαγόντες κάτω παρ' ἑαυτοῖς (εἰς τὴν πόλιν των. 7) Θαλλὸς = κλάδος ἐλαίας. 8) Τῶν ὁρίων (τῆς Λακωνικῆς. 9) Ὅτε ἐτελοῦντο τὰ ἑπόμενα (μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν δηλ.) Ὀλύμπια.

καὶ κροτοῦντας, ὥστε καὶ αὐτὸν ἡσθέντα πρὸς τοὺς φίλους ὁμολογῆσαι τὸν καρπὸν ἀπέχειν[1] τῶν ὑπὲρ τῆς Ἑλλάδος αὐτῷ πονηθέντων[2].

XVIII. Καὶ γὰρ ἦν τῇ φύσει φιλοτιμότατος[3] εἰ δεῖ τεκμαίρεσθαι διὰ τῶν ἀπομνημονευομένων. Αἱρεθεὶς γὰρ ναύαρχος ὑπὸ τῆς πόλεως οὐδὲν οὔτε τῶν ἰδίων οὔτε τῶν κοινῶν κατὰ μέρος ἐχρημάτιζεν[4], ἀλλὰ πᾶν ἀνεβάλλετο τὸ προσπῖπτον[5] εἰς τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἐκπλεῖν ἔμελλεν, ἵνα ὁμοῦ πολλὰ πράττων πράγματα καὶ παντοδαποῖς ἀνθρώποις ὁμιλῶν μέγας εἶναι δοκῇ καὶ πλεῖστον δύνασθαι. Τῶν δὲ νεκρῶν τοὺς ἐκπεσόντας[6] ἐπισκοπῶν παρὰ τὴν θάλατταν, ὡς εἶδε περικειμένους[7] ψελιᾶ χρυσᾶ καὶ στρεπτούς, αὐτὸς μὲν παρῆλθε, τῷ δ' ἑπομένῳ φίλῳ δείξας εἶπεν· «Ἀνελοῦ[8] σαυτῷ· σὺ γὰρ οὐκ εἶ Θεμιστοκλῆς.» Ἔλεγε δὲ τοὺς Ἀθηναίους οὐ τιμᾶν αὐτὸν οὐδὲ θαυμάζειν, ἀλλ' ὥσπερ πλατάνῳ χειμαζομένους μὲν ὑποτρέχειν κινδυνεύοντας, εὐδίας δὲ περὶ αὐτοὺς γενομένης τίλλειν[9] καὶ κολούειν[10]. Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὐτὸν ἔσχηκε

---

1) = Ἀπολαύειν 2) Τῶν μετὰ κόπου κατορθωθέντων ὑπ' αὐτου ὑπὲρ τῆς Ἑλλ. 3) Φιλοδοξώτατος. 4) Χρηματίζω = ἐνεργῶ (χρῶμαι πράγμασι) καὶ χρηματίζομαι = λαμβάνω χρήματα. 5) Πᾶσαν παρουσιαζομένην ὑπόθεσιν κατὰ τὴν ἡμέραν ἐκείνην. 6) Τοὺς ὑπὸ τῶν κυμάτων ἐκβρασθέντας εἰς τὴν ξηράν. 7) Τεθειμένους (στρεπτοὺς καὶ ψέλια) περὶ (τὸν βραχίονα δηλ. καὶ τὸν λαιμόν. 8) Σήκωσε καὶ λάβετα διὰ σαυτόν. 9) Τίλλω, μ. τιλῶ. παρακμ. τέτιλμαι = μαδῶ, ἐνταῦθα ἐν τῇ μεταφορικῇ σημασίῃ τοῦ πικρῶς χλευάζω, λοιδορῶ κτλ. 10) Κολούω = κολοβόνω, (κυρίως ἐπὶ δένδρων) κλαδεύω, ἀποφυλλίζω, (ἑπομ. μεταφορ. ἐνταῦθα) σμικρύνω, ταπεινόνω, ἐξευτελίζω

δόξαν, ἀλλὰ διὰ τὴν πόλιν· «Ἀληθῆ λέγεις» εἶπεν «ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος, οὔτε σὺ Ἀθηναῖος.» Ἑτέρου δέ τινος τῶν στρατηγῶν, ὡς ἔδοξέ τι χρήσιμον διαπεπρᾶχθαι τῇ πόλει, θρασυνομένου[1] πρὸς τὸν Θεμιστοκλέα καὶ τὰς ἑαυτοῦ ταῖς ἐκείνου πράξεσιν ἀντιπαραβάλλοντος, ἔφη τῇ ἑορτῇ τὴν ὑστεραίαν ἐρίσαι[2] λέγουσαν, ὡς ἐκείνη[3] μὲν ἀσχολιῶν τε μεστὴ καὶ κοπώδης ἐστὶν, ἐν αὐτῇ[4] δὲ πάντες ἀπολαύουσι τῶν παρεσκευασμένων σχολάζοντες· τὴν δ' ἑορτὴν πρὸς ταῦτ' εἰπεῖν· «Ἀληθῆ λέγεις· ἀλλ' ἐμοῦ μὴ γενομένης[5] σὺ οὐκ ἂν ἦσθα·» «κἀμοῦ τοίνυν» ἔφη «τότε μὴ γενομένου, ποῦ ἂν ἦτε[6] νῦν ὑμεῖς;» Τὸν δὲ υἱὸν ἐντρυφῶντα τῇ μητρὶ[7] καὶ δι' ἐκείνην αὐτῷ σκώπτων ἔλεγε πλεῖστον τῶν Ἑλλήνων δύνασθαι· τοῖς μὲν γὰρ Ἕλλησιν ἐπιτάττειν Ἀθηναίους, Ἀθηναίοις δ' αὐτὸν [8], αὐτῷ δὲ τὴν ἐκείνου μητέρα, τῇ μητρὶ δ' ἐκεῖνον[9]. Ἴδιος δέ τις[10] ἐν πᾶσι βουλόμενος εἶναι χωρίον μὲν πιπράσκων ἐκέλευε κηρύττειν[11], ὅτι καὶ γείτονα χρηστὸν ἔχει· τῶν δὲ μνωμένων αὐτοῦ τὴν θυγατέρα[12] τὸν ἐπιεικῆ[13] τοῦ πλουσίου προκρίνας ἔφη ζητεῖν ἄνδρα χρημάτων δεό-

---

[1]) Θρασέως συμπεριφερομένου. [2]) Ὅτι ἤρισεν (ἐφιλονείκησεν) (ἡ ἑορτὴ δηλ., ἡ τῆς ἑορτῆς ἡμέρα) πρὸς τὴν ὑστεραίαν (δηλ. τὴν ἐπομένην τῆς ἑορτῆς, τὴν μεθεόρτιον. [3]) Ἡ ἑορτή, ἡ ἑορτάσιμος ἡμέρα. [4]) Τῇ ὑστεραίᾳ. [5]) Ὑποθετ. μετχ : ἐὰν ἐγὼ δὲν ἐγενόμην. [6]) Ποῦ ἂν (ὑπήρχετε) ἦτε; = οὐδαμοῦ ἂν ἦτε. [7]) Ἐντρυφῶντα τῇ μητρὶ = ἐκμεταλλευόμενον τὴν στοργὴν τῆς μητρός. [8]) Τὸν Θεμιστ. [9]) Τὸν υἱόν. [10]) Ἰδιόρρυθμος κατά τι. [11]) Ἐνν. τὸν κήρυκα ὑποκμ. τοῦ κηρύττειν καὶ ἀντικμ. τοῦ ἐκέλευε. [12]) Τῶν αἰτούντων νὰ μνηστευθῶσι (πρὸς γάμον) τὴν θυγατέρα αὐτοῦ. [13]) Τὸν ἐνάρετον.

μενον μᾶλλον ἢ χρήματα ἀνδρός. Ἐν μὲν οὖν τοῖς ἀποφθέγμασι τοιοῦτός τις[1] ἦν.

XIX. Γενόμενος δ' ἀπὸ τῶν πράξεων ἐκείνων[2] εὐθὺς ἐπεχείρει τὴν πόλιν ἀνοικοδομεῖν[3] καὶ τειχίζειν, ὡς μὲν ἱστορεῖ Θεόπομπος, χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς ἐφόρους[4], ὡς δ' οἱ πλεῖστοι, παρακρουσάμενος. Ἧκε μὲν γὰρ εἰς Σπάρτην ὄνομα πρεσβείας ἐπιγραψάμενος[5]· ἐγκαλούντων δὲ τῶν Σπαρτιατῶν, ὅτι τειχίζουσι τὸ ἄστυ, καὶ Πολυάρχου κατηγοροῦντος ἐπίτηδες ἐξ Αἰγίνης ἀποσταλέντος, ἠρνεῖτο καὶ πέμπειν ἐκέλευεν εἰς Ἀθήνας τοὺς κατοψομένους[6], ἅμα μὲν ἐμβάλλων τῷ τειχισμῷ χρόνον ἐκ τῆς διατριβῆς[7] ἅμα δὲ βουλόμενος ἀντ' αὐτοῦ τοὺς πεμπομένους ὑπάρχειν τοῖς Ἀθηναίοις[8]. Ὃ καὶ συνέβη· γνόντες γὰρ οἱ Λακεδαιμόνιοι τὸ ἀληθὲς οὐκ ἠδίκησαν αὐτὸν, ἀλλ' ἀδήλως χαλεπαίνοντες[9] ἀπέπεμψαν. Ἐκ δὲ τούτου τὸν Πειραιᾶ κατεσκεύαζε, τὴν τῶν λιμένων εὐφυΐαν[10] κατανοήσας καὶ τὴν

---

1) Τοιοῦτός τις=τοιοῦτος περίπου. 2) Τὰς ὁποίας δηλ. ἐξιστορεῖ ἀνωτέρω ὁ συγγραφεὺς μέχρι τῆς § 17. 3) Καθὸ πυρποληθεῖσαν, ὑπὸ τῶν Περσῶν, καθ' ἃ ἱστορεῖ ὁ Θουκυδίδης. 4) Τοὺς ἐφόρους τῆς Σπάρτης. Ὡς δ' οἱ πλεῖστοι, παρακρουσάμενος=πρὸ πάντων δὲ ἀπατήσας αὐτούς. 5) Ὀνόματι γράψας ἑαυτὸν ὡς πρέσβυν ἐν τῇ πρεσβείᾳ (ὑπὸ τὸ πρόσχημα τοῦ πρέσβεως, μὲ τὴν πρόφασιν (ὄνομα) ὅτι μεταβαίνει εἰς τὴν Σπάρτην ὡς πρέσβυς (ἐνῷ δηλ. πράγματι μετέβαινε διὰ νὰ τοὺς ἐξαπατήσῃ). Συμπρέσβεις δ' αὐτοῦ ἦσαν ὁ Ἀριστείδης καὶ ὁ Ἀμβρώνυχος. 6) Διὰ νὰ παρατηρήσωσιν ἰδίοις ὄμμασι. 7) Δίδων καιρὸν διὰ τῆς χρονοτριβῆς εἰς τὸν τειχισμόν. 8) Συνάμα δὲ διότι ἤθελεν νὰ εὑρίσκωνται εἰς τὰς χεῖρας (ὡς ὅμηροι) τῶν Ἀθηναίων ἀντ' αὐτοῦ οἱ ἀποστελλόμενοι Λακεδ. (ὅπως παρατηρήσωσι κτλ: 9) Ὀργιζόμενοι κατ' αὐτοῦ ἐνδομύχως (ἀδήλως, χωρὶς νὰ τὸ ἐκφρασθῶσι. 10) Τὴν φυσικὴν καταλληλότητα

πόλιν ὅλην ἁρμοττόμενος πρὸς τὴν θάλατταν καὶ τρόπον τινὰ τοῖς παλαιοῖς βασιλεῦσι[1] τῶν Ἀθηναίων ἀντιπολιτευόμενος. Ἐκεῖνοι μὲν γὰρ, ὡς λέγεται, πραγματευόμενοι τοὺς πολίτας ἀποσπάσαι τῆς θαλάττης καὶ συνεθίσαι ζῆν μὴ πλέοντας, ἀλλὰ τὴν χώραν φυτεύοντας, τὸν περὶ τῆς Ἀθηνᾶς διέδοσαν λόγον, ὡς ἐρίσαντα περὶ τῆς χώρας τὸν Ποσειδῶ δείξασα τὴν μορίαν[2] τοῖς δικασταῖς ἐνίκησε. Θεμιστοκλῆς δ' οὐχ, ὡς Ἀριστοφάνης ὁ κωμικὸς λέγει, τῇ πόλει τὸν Πειραιᾶ προσέμαξεν[3], ἀλλὰ τὴν πόλιν ἐξῆψε[4] τοῦ Πειραιῶς καὶ τὴν γῆν τῆς θαλάττης· ὅθεν καὶ τὸν δῆμον ηὔξησε κατὰ τῶν ἀρίστων[5] καὶ θράσους ἐνέπλησεν, εἰς ναύτας καὶ κελευστὰς καὶ κυβερνήτας τῆς δυνάμεως ἀφικομένης[6]. Διὸ καὶ τὸ βῆμα τὸ ἐν Πνυκὶ πεποιημένον ὥστ' ἀποβλέπειν πρὸς τὴν θάλασσαν ὕστερον οἱ τριάκοντα πρὸς τὴν χώραν ἀπέστρεψαν, οἰόμενοι τὴν μὲν κατὰ θάλατταν ἀρχὴν γένεσιν εἶναι δημοκρατίας, ὀλιγαρχίᾳ δ' ἧττον δυσχεραίνειν τοὺς γεωργοῦντας.

XX. Θεμιστοκλῆς δὲ καὶ μεῖζόν τι περὶ τῆς ναυτικῆς διενοήθη δυνάμεως. Ἐπεὶ γὰρ ὁ τῶν Ἑλλήνων στόλος

---

1) Ἐννοεῖ τὸν Κέκροπα, Κραναόν, Ἐρεχθέα κτλ. 2) Τὴν ἱερὰν ἐλαίαν (τὴν ἐπὶ τῆς ἀκροπόλεως, ἥτις ἀνεβλάστησεν ἐκ τοῦ μέρους ἔνθα ἐκτύπησεν διὰ τοῦ δόρατος ἡ Ἀθηνᾶ ἐρίσασα πρὸς τὸν Ποσειδῶνα περὶ τοῦ τίς τῶν δύο ἤθελεν ἀναδείξει τὸ χρησιμώτερον τοῖς ἀνθρώποις δῶρον. Ὁ Ποσειδών, κτυπήσας διὰ τῆς τριαίνης τὸν τῆς ἀκροπόλεως βράχον ἐξέπεμψεν ἁλμυρὸν ὕδωρ, οὗ ἐπροτιμήθη ἡ εἰς τὴν Ἀθηνᾶν ἀφιερωθεῖσα ἐλαία, διὸ καὶ ἀπ' αὐτῆς ἀπεκλήθη ἡ πόλις Ἀθῆναι. 3) Προσεκόλλησε. 4) Ἔκαμε νὰ ἐξαρτᾶται. 5) Τῶν ἀριστοκρατικῶν. 6) Διότι ἡ δύναμις τῆς πόλεως περιῆλθεν εἰς τοὺς ναύτας καὶ τοὺς κελευστὰς (= τοὺς ἐν ῥυθμῷ διευθύνοντας τοὺς κωπηλάτας) κτλ.

ἀπηλλαγμένου[1] Ξέρξου κατῆρεν εἰς Παγασὰς[2] καὶ διεχείμαζε, δημηγορῶν ἐν τοῖς Ἀθηναίοις ἔφη τινα πρᾶξιν ἔχειν[3] ὠφέλιμον μὲν αὐτοῖς καὶ σωτήριον, ἀπόρρητον δὲ πρὸς τοὺς πολλούς. Τῶν δ' Ἀθηναίων Ἀριστείδῃ φράσαι μόνῳ κελευόντων, κἂν ἐκεῖνος δοκιμάσῃ περαίνειν[4], ὁ μὲν Θεμιστοκλῆς ἔφρασε τῷ Ἀριστείδῃ, τὸ νεώριον[5] ἐμπρῆσαι διανοεῖσθαι τῶν Ἑλλήνων· ὁ δ' Ἀριστείδης εἰς τὸν δῆμον παρελθὼν[6] ἔφη τῆς πράξεως, ἣν διανοεῖται πράττειν ὁ Θεμιστοκλῆς, μηδεμίαν εἶναι μήτε λυσιτελεστέραν μήτ' ἀδικωτέραν. Οἱ μὲν οὖν Ἀθηναῖοι διὰ ταῦτα παύσασθαι τῷ Θεμιστοκλεῖ προσέταξαν. Ἐν δὲ τοῖς Ἀμφικτυονικοῖς συνεδρίοις τῶν Λακεδαιμονίων εἰσηγουμένων[7], ὅπως ἀπείργωνται[8] τῆς Ἀμφικτυονίας αἱ μὴ συμμαχήσασαι κατὰ τοῦ Μήδου πόλεις, φοβηθείς, μὴ Θετταλοὺς καὶ Ἀργείους, ἔτι δὲ Θηβαίους ἐκβαλόντες τοῦ συνεδρίου παντελῶς ἐπικρατήσωσι τῶν ψήφων[9] καὶ γένηται τὸ δοκοῦν ἐκείνοις, συνεῖπε[10] ταῖς πόλεσι καὶ μετέθηκε τὰς γνώμας τῶν πυλαγόρων, διδάξας, ὡς τριάκοντα καὶ μία μόναι πόλεις εἰσὶν αἱ μετασχοῦσαι τοῦ πολέμου, καὶ τούτων αἱ πλείους παντάπασι

---

1) Φυγόντος. 2) Πόλις Θεσσαλ. εἰς τὸν κόλπον τοῦ Βώλου. 3) Ἐν νῷ. 4) Ἐὰν καὶ ἐκεῖνος τὴν ἐπιδοκιμάσῃ νὰ τὴν πραγματοποιήσωσι. 5) Τὸ περιέχον τὰς ναῦς. Ἐδῶ ὅμως ἐννοεῖ (τὸ περιεχόμενον): τὸν στόλον. 6) Ἐμφανισθεὶς εἰς τὴν ἐκκλησίαν τοῦ δήμου. 7) Προτεινόντων. 8) Ἀποκλείωνται. 9) Μήπως δυνηθῶσι νὰ κερδίσωσι τὴν πλειονοψηφίαν τοῦ συνεδρίου. 10) Συνηγόρησεν ὑπὲρ τῶν πόλεων (δηλ. τῶν Θηβ., τῶν Ἀργ. καὶ τῶν Θεσσαλ.) καὶ μετέτρεψε τὴν γνώμην τῶν πυλαγόρων. Πύλαι ἦν τὸ Ἀμφικτυονικὸν Συνέδριον, πυλαγόροι δὲ οἱ ἀντιπρόσωποι τῶν πόλεων οἱ ἀποστελλόμενοι εἰς αὐτὸ ὅπως ἀγορεύσωσι καὶ σκεφθῶσι περὶ τῶν πολιτικῶν πραγμάτων.

μικραί· δεινὸν οὖν, εἰ τῆς ἄλλης Ἑλλάδος ἐκοπόνδου γενομένης[1] ἐπὶ ταῖς[2] μεγίσταις δυσὶν ἢ τρισὶ πόλεσιν ἔσται τὸ συνέδριον. Ἐκ[3] τούτου μὲν οὖν μάλιστα τοῖς Λακεδαιμονίοις προσέκρουσε· διὸ καὶ τὸν Κίμωνα προῆγον ταῖς τιμαῖς, ἀντίπαλον ἐν τῇ πολιτείᾳ τῷ Θεμιστοκλεῖ καθιστάντες.

XXI. Ἦν δὲ καὶ[4] τοῖς συμμάχοις ἐπαχθὴς περιπλέων τε τὰς νήσους καὶ χρηματιζόμενος[5] ἀπ' αὐτῶν· οἷα καὶ πρὸς Ἀνδρίους ἀργύριον αἰτοῦντά φησιν αὐτὸν Ἡρόδοτος εἰπεῖν τε καὶ ἀκοῦσαι. Δύο γὰρ ἥκειν ἔφη θεοὺς κομίζων, Πειθὼ καὶ Βίαν· οἱ δ' ἔφασαν εἶναι καὶ παρ' αὐτοῖς θεοὺς μεγάλους δύο, Πενίαν καὶ Ἀπορίαν, ὑφ' ὧν κωλύεσθαι δοῦναι χρήματα ἐκείνῳ.....

XXII. Ἤδη δὲ καὶ τῶν πολιτῶν διὰ τὸ φθονεῖν ἡδέως τὰς διαβολὰς προσιεμένων[6] ἠναγκάζετο λυπηρὸς[7] εἶναι τῶν αὐτοῦ πράξεων πολλάκις ἐν τῷ δήμῳ μνημονεύων· καὶ πρὸς τοὺς δυσχεραίνοντας[8] «Τί κοπιᾶτε» εἶπεν «ὑπὸ τῶν αὐτῶν πολλάκις εὖ πάσχοντες[9];» Ἠνίασε δὲ τοὺς πολλοὺς[10] καὶ τὸ τῆς Ἀρτέμιδος ἱερὸν εἱσάμενος[11], ἣν Ἀριστοβούλην μὲν προσηγόρευσεν, ὡς ἄριστα τῇ πόλει

---

1) Ἀποκλεισθείσης τῶν σπονδῶν, τῶν συνθηκῶν. 2) Ἐπὶ ταῖς = εἰς τὴν ἐξουσίαν τῶν... 3) Ἕνεκα. 4) Ὁ καὶ ἐπιδοτ: = οὐ μόνον (τοῖς Λακεδ.) ἀλλὰ καὶ τοῖς συμμ. 5) Ζητῶν καὶ λαμβάνων χρήματα. 6) Ἐπειδὴ δὲ καὶ (ἐπιδοτ: = ἐκτὸς τῶν ἄλλων καὶ) οἱ πολῖται εὐχαρίστως ἐδέχοντο τὰς κατὰ τοῦ Θεμιστ. διαβολὰς διότι τὸν ἐφθόνουν. 7) Φορτικός, ἐνοχλητικός. 8) Τοὺς ἀγανακτοῦντας. 9) Διατὶ δυσαρεστεῖσθε (ἀκούοντες) ὅτι εὐεργετεῖσθε πολλάκις ὑπὸ τοῦ ἰδίου (ὑπὸ τῶν αὐτῶν, ἐμοῦ δηλ.). Εὖ πάσχω = εὐεργετοῦμαι. Εὖ ποιῶ = εὐεργετῶ. 10) Ἐλύπησε καὶ τὸν ὄχλον. 11) Μέσος ἀόρ. τοῦ ἕζω (ἐκ τῆς ῥίζης ἑδ) = καθίζω, ἑπομν. ἱδρύω, οἰκοδομῶ.

καὶ τοῖς Ἕλλησι βουλευσάμενος, πλησίον δὲ τῆς οἰκίας κατεσκεύασεν ἐν Μελίτῃ τὸ ἱερόν, οὗ νῦν τὰ σώματα τῶν θανατουμένων οἱ δήμιοι προβάλλουσι[1] καὶ τὰ ἱμάτια καὶ τοὺς βρόχους τῶν ἀπαγχομένων καὶ καθαιρεθέντων[2] ἐκφέρουσιν. Ἔκειτο δὲ καὶ τοῦ Θεμιστοκλέους εἰκόνιον[3] ἐν τῷ ναῷ τῆς Ἀριστοβούλης ἔτι καθ' ἡμᾶς[4]· καὶ φαίνεταί τις οὐ τὴν ψυχὴν μόνον, ἀλλὰ καὶ τὴν ὄψιν ἡρωικὸς γενόμενος. Τὸν μὲν οὖν ἐξοστρακισμὸν ἐποιήσαντο κατ' αὐτοῦ κολούοντες[5] τὸ ἀξίωμα καὶ τὴν ὑπεροχήν, ὥσπερ εἰώθεσαν ἐπὶ πάντων, οὓς ᾤοντο τῇ δυνάμει βαρεῖς[6] καὶ πρὸς ἰσότητα δημοκρατικὴν ἀσυμμέτρους[7] εἶναι. Κόλασις γὰρ οὐκ ἦν ὁ ἐξοστρακισμός, ἀλλὰ παραμυθία φθόνου καὶ κουφισμὸς[8] ἡδομένου τῷ ταπεινοῦν τοὺς ὑπερέχοντας καὶ τὴν δυσμένειαν εἰς ταύτην τὴν ἀτιμίαν ἀποπνέοντος.

XXIII. Ἐκπεσόντος[9] δὲ τῆς πόλεως αὐτοῦ καὶ διατρίβοντος ἐν Ἄργει τὰ περὶ Παυσανίαν συμπεσόντα κατ' ἐκείνου παρέσχε τοῖς ἐχθροῖς[10] ἀφορμάς. Ὁ δὲ γραψάμενος αὐτὸν προδοσίας[11] Λεωβώτης ἦν ὁ Ἀλκμαίωνος Ἀγραυλῆθεν[12], ἅμα συνεπαιτιωμένων τῶν Σπαρτιατῶν. Ὁ γὰρ

---

[1]) Ἐχθέτουσι. Τὰ σώματα τῶν διὰ βαρέα ἐγκλήματα θανατουμένων ἔμενον ἄταφα. [2]) Τῶν ἐκ τῆς ἀγχόνης καταβιβασθέντων. [3]) Ἀγαλμάτιον. [4]) Ἀκόμη καὶ εἰς τὰς ἡμέρας μας. [5]) Ἐλαττόνοντες. [6]) Καταθλιπτικούς. [7]) Ὑπερέχοντες δηλ. περισσότερον παρ' ὅσον ἐπιτρέπει ἡ δημοκρατικὴ ἰσότης. [8]) Ἀνακούφισις τοῦ φθόνου, ὅστις εὐχαριστεῖται εἰς τὸ νὰ ταπεινόνῃ..... καὶ ξεθυμαίνει (ἀποπνέοντος) τὴν δυσμένειάν του κτλ. [9]) Ἀφοῦ δὲ ἐξωστρακίσθη. [10]) Εἰς τοὺς (προσωπικοὺς ἐν Ἀθήναις) ἐχθρούς του. [11]) Ὁ δι' ἐγγράφου κατηγορήσας αὐτὸν ἐπὶ προδοσίᾳ. [12]) Ἐκ τῆς Ἀγραυλῆς, δήμου τῆς Ἐρεχθηΐδος φυλῆς ἐν Ἀττικῇ.

Παυσανίας πράττων ἐκεῖνα[1] δὴ τὰ περὶ τὴν προδοσίαν πρότερον μὲν ἀπεκρύπτετο τὸν Θεμιστοκλέα, καίπερ ὄντα φίλον· ὡς δ' εἶδεν ἐκπεπτωκότα τῆς πολιτείας καὶ φέροντα χαλεπῶς[2] ἐθάρσησεν ἐπὶ τὴν κοινωνίαν τῶν πραττομένων παρακαλεῖν, τὰ γράμματα τοῦ βασιλέως ἐπιδεικνύμενος αὐτῷ καὶ παροξύνων ἐπὶ τοὺς Ἕλληνας ὡς πονηροὺς καὶ ἀχαρίστους. Ὁ δὲ τὴν μὲν δέησιν ἀπετρίψατο[3] τοῦ Παυσανίου καὶ τὴν κοινωνίαν ὅλως ἀπείπατο[4], πρὸς οὐδένα δὲ τοὺς λόγους ἐξήνεγκεν οὐδὲ κατεμήνυσε τὴν πρᾶξιν, εἴτε παύσεσθαι προσδοκῶν αὐτόν, εἴτ' ἄλλως καταφανῆ γενήσεσθαι σὺν οὐδενὶ λογισμῷ[5] πραγμάτων ἀτόπων καὶ παραβόλων[6] ὀρεγόμενον. Οὕτω δὴ τοῦ Παυσανίου θανατωθέντος ἐπιστολαί τινες ἀνευρεθεῖσαι καὶ γράμματα περὶ τούτων εἰς ὑποψίαν ἐνέβαλον τὸν Θεμιστοκλέα· καὶ κατεβόων μὲν αὐτοῦ Λακεδαιμόνιοι, κατηγόρουν δ' οἱ φθονοῦντες τῶν πολιτῶν, οὐ παρόντος, ἀλλὰ διὰ γραμμάτων ἀπολογουμένου μάλιστα ταῖς προτέραις κατηγορίαις. Διαβαλλόμενος γὰρ[7] ὑπὸ τῶν ἐχθρῶν πρὸς τοὺς πολίτας ἔγραφεν, ὡς ἄρχειν μὲν ἀεὶ ζητῶν, ἄρχεσθαι δὲ μὴ πεφυκὼς μηδὲ βουλόμενος, οὐκ ἄν[8] ποτε βαρβάροις καὶ πολεμίοις αὐτὸν ἀποδόσθαι μετὰ τῆς Ἑλλάδος. Οὐ μὴν ἀλλὰ συμπεισθεὶς ὑπὸ τῶν κατηγορούντων ὁ δῆμος ἔπεμψεν ἄνδρας, οἷς εἴρητο[9] συλ-

[1]) Ἐκεῖνα δὴ = τὰ γνωστὰ ἐκεῖνα. [2]) Δυσανασχετοῦντα, θλιβόμενον. [3]) Ἀπέρριψε. [4]) Καὶ ἠρνήθη τὴν σύμπραξίν του. [5]) Σὺν οὐδενὶ λογισμῷ = ἀλόγως, ἀσυλλογίστως. [6]) Τολμηρῶν, ἐπικινδύνων. [7]) Δηλαδή. [8]) Οὐκ ἂν ἀποδόσθαι = ὅτι οὐκ ἂν ἀποδοῖτο ἑαυτόν, ὅτι δὲν ἠδύνατο νὰ πωλήσῃ ἑαυτόν. [9]) Εἶχε δοθῇ ἡ διαταγή.

λαμβάνειν καὶ ἄγειν αὐτὸν κριθησόμενον ἐν τοῖς Ἕλλησι[1].

XXIV. Προαισθόμενος δ' ἐκεῖνος εἰς Κέρκυραν διεπέρασεν, οὔσης αὐτῷ πρὸς τὴν πόλιν εὐεργεσίας. Γενόμενος γὰρ αὐτῶν κριτὴς[2] πρὸς Κορινθίους ἐχόντων διαφοράν, ἔλυσε τὴν ἔχθραν εἴκοσι τάλαντα κρίνας τοὺς Κορινθίους καταβαλεῖν[3] καὶ Λευκάδα κοινῇ νέμειν ἀμφοτέρων ἄποικον. Ἐκεῖθεν δ' εἰς Ἤπειρον ἔφυγε· καὶ διωκόμενος ὑπὸ τῶν Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων ἔρριψεν αὐτὸν εἰς ἐλπίδας χαλεπὰς καὶ ἀπόρους καταφυγὼν πρὸς Ἄδμητον, ὃς βασιλεὺς μὲν ἦν Μολοττῶν, δεηθεὶς δέ τι τῶν Ἀθηναίων καὶ προπηλακισθεὶς ὑπὸ τοῦ Θεμιστοκλέους, ὅτ' ἤκμαζεν ἐν τῇ πολιτείᾳ, δι' ὀργῆς[4] εἶχεν αὐτὸν ἀεὶ καὶ δῆλος ἦν, εἰ λάβοι[5], τιμωρησόμενος. Ἐν δὲ τῇ τότε τύχῃ μᾶλλον ὁ Θεμιστοκλῆς φοβηθεὶς συγγενῆ καὶ πρόσφατον φθόνον ὀργῆς παλαιᾶς καὶ βασιλικῆς, ταύτῃ φέρων ὑπέθηκεν ἑαυτόν, ἱκέτης τοῦ Ἀδμήτου καταστὰς ἴδιόν τινα καὶ παρηλλαγμένον τρόπον. Ἔχων[6] γὰρ αὐτοῦ τὸν υἱὸν ὄντα παῖδα πρὸς τὴν ἑστίαν προσέπεσε, ταύτην μεγίστην καὶ μόνην σχεδὸν ἀναντίρρητον ἡγουμένων ἱκεσίαν τῶν Μολοσσῶν. Ἔνιοι μὲν οὖν Φθίαν τὴν γυναῖκα τοῦ βασιλέως λέγουσιν ὑποθέσθαι[7] τῷ Θεμιστοκλεῖ τὸ ἱκέτευμα τοῦτο καὶ τὸν υἱὸν ἐπὶ τὴν ἑστίαν καθίσαι μετ' αὐτοῦ· τινὲς δ' αὐτὸν τὸν Ἄδμητον, ὡς ἀφοσιώσαιτο[8] πρὸς τοὺς

1) Διὰ νὰ δικασθῇ ὑπὸ τοῦ κοινοῦ δικαστηρίου τῶν Ἑλλήνων ἁπάντων. 2) Διαιτητής. 3) Νὰ πληρώσωσι. 4) Ὠργίζετο. 5) Ἐὰν τὸν συλλάβῃ. 6) Κρατῶν εἰς χεῖρας. 7) Συνεβούλευσε. 8) Διὰ νὰ προτείνῃ ὡς θρησκευτικὴν ἀνάγκην.

διώκοντας τὴν ἀνάγκην, δι' ἣν οὐκ ἐκδίδωσι τὸν ἄνδρα, διαθεῖναι καὶ συντραγῳδῆσαι τὴν ἱκεσίαν. Ἐκεῖ δ' αὐτῷ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐκκλέψας[1] ἐκ τῶν Ἀθηνῶν Ἐπικράτης ὁ Ἀχαρνεὺς ἀπέστειλεν· ὃν ἐπὶ τούτῳ Κίμων ὕστερον κρίνας ἐθανάτωσεν, ὡς ἱστορεῖ Στησίμβροτος...

XXV. Θουκυδίδης δέ φησι καὶ πλεῦσαι αὐτὸν ἐπὶ τὴν ἑτέραν[2] καταβάντα θάλασσαν ἀπὸ Πύδνης, οὐδενὸς εἰδότος ὅστις εἴη τῶν πλεόντων, μέχρι οὗ πνεύματι τῆς ὁλκάδος εἰς Νάξον καταφερομένης ὑπὸ Ἀθηναίων πολιορκουμένην τότε φοβηθεὶς ἀναδείξειεν[3] ἑαυτὸν τῷ τε ναυκλήρῳ καὶ τῷ κυβερνήτῃ, καὶ τὰ μὲν δεόμενος, τὰ δ' ἀπειλῶν καὶ λέγων, ὅτι κατηγορήσοι καὶ καταψεύσοιτο πρὸς τοὺς Ἀθηναίους, ὡς οὐκ ἀγνοοῦντες[4], ἀλλὰ χρήμασι πεισθέντες ἐξ ἀρχῆς, ἀναλάβοιεν αὐτὸν, οὕτως ἀναγκάσειε παραπλεῦσαι καὶ λαβέσθαι τῆς Ἀσίας[5]. Τῶν δὲ χρημάτων αὐτῷ πολλὰ μὲν ὑπεκκλαπέντα[6] διὰ τῶν φίλων εἰς Ἀσίαν ἔπλει· τῶν δὲ φανερῶν γενομένων καὶ συναχθέντων εἰς τὸ δημόσιον[7] Θεόπομπος μὲν ἑκατὸν τάλαντα, Θεόφραστος δὲ ὀγδοήκοντά φησι γενέσθαι τὸ πλῆθος, οὐδὲ τριῶν ἄξια ταλάντων κεκτημένου τοῦ Θεμιστοκλέους πρὶν ἅπτεσθαι τῆς πολιτείας[8].

XXVI. Ἐπεὶ δὲ κατέπλευσεν εἰς Κύμην καὶ πολλοὺς ᾔσθετο τῶν ἐπὶ θαλάττῃ παραφυλάττοντας αὐτὸν λαβεῖν, μάλιστα δὲ τοὺς περὶ Ἐργοτέλη καὶ Πυθόδωρον (ἦν γὰρ

---

[1]) Κρῦφα ἐξαγαγών. [2]) Δηλ. ἐκ τοῦ Ἰονίου πελάγους εἰς τὸ Αἰγαῖον. [3]) Ἀπεκάλυψεν, ἐφανέρωσεν, ἑαυτόν. [4]) Ὅτι οὐχὶ ἐν ἀγνοίᾳ των. [5]) Καὶ νὰ πιάσουν (νὰ προσεγγίσουν) εἰς τὴν Ἀσίαν. [6]) Κρυφίως ἀποσταλέντα αὐτῷ ὑπὸ τῶν ἐξ Ἀθηνῶν φίλων του. [7]) Δημευθέντων. [8]) Πρὶν ἐπιχειρήσῃ νὰ πολιτεύηται.

ἡ θήρα λυσιτελὴς τοῖς τὸ κερδαίνειν ἀπὸ παντὸς[1] ἀγαπῶσι, διακοσίων ἐπικεκηρυγμένων[2] αὐτῷ ταλάντων ὑπὸ τοῦ βασιλέως), ἔφυγεν εἰς Αἰγὰς, Αἰολικὸν πολισμάτιον, ὑπὸ πάντων ἀγνοούμενος πλὴν τοῦ ξένου Νικογένους, ὃς Αἰολέων πλείστην οὐσίαν ἐκέκτητο καὶ τοῖς ἄνω δυνατοῖς[3] γνώριμος ὑπῆρχε. Παρὰ τούτῳ κρυπτόμενος ἡμέρας ὀλίγας διέτριψεν· εἶτα μετὰ τὸ δεῖπνον ἐκ θυσίας τινὸς Ὄλβιος ὁ τῶν τέκνων τοῦ Νικογένους παιδαγωγὸς ἔκφρων[4] γενόμενος καὶ θεοφόρητος[5] ἀνεφώνησε μέτρῳ ταυτί

Νυκτὶ φωνήν, νυκτὶ βουλήν, νυκτὶ τὴν νίκην δίδου.

Καὶ μετὰ ταῦτα κοιμηθεὶς ὁ Θεμιστοκλῆς ὄναρ ἔδοξεν ἰδεῖν δράκοντα κατὰ τῆς γαστρὸς αὐτοῦ περιελιττόμενον καὶ προσανέρποντα τῷ τραχήλῳ· γενόμενον δ' ἀετὸν[6], ὡς ἥψατο τοῦ προσώπου, περιβαλόντα τὰς πτέρυγας ἐξᾶραι καὶ κομίζειν πολλὴν ὁδὸν, εἶτα χρυσοῦ τινὸς κηρυκείου[7] φανέντος, ἐπὶ τούτου στῆσαι βεβαίως αὐτὸν ἀμηχάνου δείματος[8] καὶ ταραχῆς ἀπαλλαγέντα. Πέμπεται δ' οὖν ὑπὸ τοῦ Νικογένους μηχανησαμένου τι τοιοῦτον. Τοῦ βαρβαρικοῦ γένους τὸ πολὺ καὶ μάλιστα τὸ Περσικὸν εἰς ζηλοτυπίαν τὴν περὶ τὰς γυναῖκας ἄγριον φύσει καὶ χαλεπόν ἐστιν. Οὐ γὰρ μόνον τὰς γαμετὰς, ἀλλὰ καὶ τὰς ἀργυρωνήτους καὶ παλλακευομένας

1) Ἐνν. τρόπου, δηλ. εἴτε θεμιτοῦ εἴτε ἀθεμίτου. 2) Διότι εἶχεν προκηρυχθῇ κατ' αὐτοῦ (εἰς ὅντινα δηλ. συλλάβῃ ἢ φονεύσῃ αὐτὸν) ἀμοιβὴ 200 ταλάντων ὑπὸ τοῦ βασιλέως τῶν Περσ. 3) = Τοῖς ἄνω (ἐν Περσίᾳ δηλ.) ἰσχυροῖς. 4) Ἐκτὸς ἑαυτοῦ, ἔξαλλος. 5) Θεόπνευστος. 6) Μεταμορφωθέντα δὲ εἰς ἀετόν. 7) Τὸ κηρύκειον, σύμβολον τῆς εἰρήνης καὶ τῆς ἀσφαλείας, ἦν ξύλον εὐθὺ ἔχον ἀμφοτέρωθεν περιπεπλεγμένους καὶ ἀντιμετώπους δύο ὄφεις. 8) Φόβου.

ἰσχυρῶς παραφυλάττουσιν, ὡς ὑπὸ μηδενὸς ὁρᾶσθαι τῶν ἐκτός, ἀλλ' οἴκοι μὲν διαιτᾶσθαι κατακεκλεισμένας, ἐν δὲ ταῖς ὁδοιπορίαις ὑπὸ σκηνὰς κύκλῳ περιπεφραγμένας ἐπὶ τῶν ἁρμαμαξῶν[1] ὀχεῖσθαι. Τοιαύτης τῷ Θεμιστοκλεῖ κατασκευασθείσης ἀπήνης[2] καταδὺς[3] ἐκομίζετο, τῶν περὶ αὐτὸν ἀεὶ τοῖς ἐντυγχάνουσι καὶ πυνθανομένοις λεγόντων, ὅτι γύναιον ἑλληνικὸν ἄγουσιν ἀπ' Ἰωνίας πρός τινα τῶν ἐπὶ θύραις[4] βασιλέως.

XXVII. Θουκυδίδης μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς ἱστοροῦσι τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν· Ἔφορος δὲ καὶ Δείνων καὶ Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην. Τοῖς δὲ χρονικοῖς δοκεῖ μᾶλλον ὁ Θουκυδίδης συμφέρεσθαι[5], καίπερ οὐδ' αὐτοῖς ἀτρέμα[6] συνταττομένοις. Ὁ δ' οὖν Θεμιστοκλῆς γενόμενος παρ' αὐτὸ τὸ δεινὸν[7] ἐντυγχάνει πρῶτον Ἀρταβάνῳ τῷ χιλιάρχῳ λέγων, Ἕλλην μὲν εἶναι, βούλεσθαι δ' ἐντυχεῖν βασιλεῖ περὶ μεγίστων πραγμάτων καὶ πρὸς ἃ τυγχάνει μάλιστα σπουδάζων ἐκεῖνος[8]. Ὁ δέ φησιν· «Ὦ ξένε, νόμοι διαφέρουσιν ἀνθρώπων· ἄλλα δ' ἄλλοις καλά· καλὸν δὲ πᾶσι τὰ οἰκεῖα κοσμεῖν[9] καὶ σῴζειν. Ὑμᾶς μὲν οὖν ἐλευθερίαν μάλιστα θαυμάζειν καὶ ἰσότητα λόγος[10]· ἡμῖν δὲ πολλῶν νόμων καὶ καλῶν

1) Ἁρμάμαξα ἦν ὄχημα, ἐστεγασμένον ἄνωθεν, πρὸς μεταφορὰν τῶν γυναικῶν καὶ παίδων. 2) Ὀχήματος. 4) Χωθεὶς εἰς αὐτὴν ὁ Θεμ. 4) Τῶν ἐν τῇ αὐλῇ, τῶν αὐλικῶν τοῦ βασιλ. 5) Ὅτι συμφωνεῖ μὲ τοὺς χρονολογικοὺς πίνακας. 6) Μετὰ περισκέψεως, μετ' ἀκριβείας. 7) Τὴν δεινὴν περίστασιν. 8) Εἰς τὰ ὁποῖα σπουδαίως ἀσχολεῖται (ἐνδιαφέρεται) ἐκεῖνος, ὁ βασιλ. 9) Τὰ οἰκεῖα κοσμεῖν = τοὺς πατρίους νόμους σέβεσθαι. 10) Λόγος

όντων κάλλιστος οὗτός ἐστι, τιμᾶν βασιλέα, καὶ προσκυνεῖν[1] ὡς εἰκόνα θεοῦ τοῦ τὰ πάντα σώζοντος. Εἰ μὲν οὖν ἐπαινῶν τὰ ἡμέτερα προσκυνήσεις, ἔστι σοι[2] καὶ θεάσασθαι βασιλέα καὶ προσειπεῖν· εἰ δ' ἄλλο τι φρονεῖς, ἀγγέλοις ἑτέροις χρήσῃ πρὸς αὐτόν. Βασιλεῖ γὰρ οὐ πάτριον ἀνδρὸς ἀκροᾶσθαι μὴ προσκυνήσαντος.» Ταῦτα ὁ Θεμιστοκλῆς ἀκούσας λέγει πρὸς αὐτόν· «Ἀλλ' ἔγωγε τὴν βασιλέως, ὦ Ἀρτάβανε, φήμην καὶ δύναμιν αὐξήσων ἀφῖγμαι, καὶ αὐτός τε πείσομαι τοῖς ὑμετέροις νόμοις, ἐπεὶ θεῷ τῷ μεγαλύνοντι Πέρσας οὕτω δοκεῖ, καὶ δι' ἐμὲ πλείονες τῶν νῦν βασιλέα προσκυνήσουσιν. Ὥστε τοῦτο μηδὲν ἐμποδὼν ἔστω τοῖς λόγοις, οὓς βούλομαι πρὸς ἐκεῖνον εἰπεῖν.» «Τίνα δ'» εἶπεν ὁ Ἀρτάβανος «Ἑλλήνων ἀφῖχθαί σε φῶμεν[3]; οὐ γὰρ ἰδιώτῃ[4] τὴν γνώμην ἔοικας.» Καὶ ὁ Θεμιστοκλῆς· «Τοῦτ' οὐκέτ' ἂν» ἔφη «πύθοιτό τις, Ἀρτάβανε, πρότερος βασιλέως.» Οὕτω μὲν ὁ Φανίας φησίν. Ὁ δ' Ἐρατοσθένης ἐν τοῖς Περὶ πλούτου προσιστόρησε, διὰ γυναικὸς Ἐρετρικῆς, ἣν ὁ χιλίαρχος εἶχε, τῷ Θεμιστοκλεῖ τὴν πρὸς αὐτὸν ἔντευξιν γενέσθαι καὶ σύστασιν.

XXVIII. Ἐπεὶ δ' οὖν εἰσήχθη πρὸς βασιλέα καὶ προσκυνήσας ἔστη σιωπῇ, προστάξαντος τῷ ἑρμηνεῖ τοῦ βασιλέως ἐρωτῆσαι, τίς ἐστι, καὶ τοῦ ἑρμηνέως ἐρωτήσαντος, εἶπεν· «Ἥκω σοι[5], βασιλεῦ, Θεμιστοκλῆς ὁ Ἀθηναῖος ἐγὼ φυγὰς ὑφ' Ἑλλήνων διωχθείς, ᾧ πολλὰ μὲν ὀφεί-

(ἐνν. ἐστί) = λέγουσι δ' ὅτι ὑμεῖς κτλ. [1]) Αὐτούς. [2]) Ἐπιτρέπεταί σοι. [3]) Τίς ἐκ τῶν Ἑλλήνων νὰ (τῷ) εἴπωμεν ὅτι εἶσαι· [4]) Κοινῷ ἀνθρώπῳ. [5]) Ἔφθασα παρὰ σέ.

λουσι Πέρσαι κακά, πλείω δὲ ἀγαθὰ κωλύσαντι τὴν δίωξιν, ὅτε τῆς Ἑλλάδος ἐν ἀσφαλεῖ γενομένης παρέσχε τὰ οἴκοι σωζόμενα χαρίσασθαί τι καὶ ὑμῖν[1]. Ἐμοὶ μὲν οὖν πάντα πρέποντα ταῖς παρούσαις συμφοραῖς ἐστι[2], καὶ παρεσκευασμένος ἀφῖγμαι δέξασθαί τε χάριν εὐμενῶς διαλλαττομένου καὶ παραιτεῖσθαι μνησικακοῦντος ὀργήν· σὺ δὲ τοὺς ἐμοὺς ἐχθροὺς μάρτυρας θέμενος ὧν[3] εὐεργέτησα Πέρσας, νῦν ἀπόχρησαι ταῖς ἐμαῖς τύχαις πρὸς ἐπίδειξιν ἀρετῆς μᾶλλον ἢ πρὸς ἀποπλήρωσιν ὀργῆς. Σώσεις μὲν γὰρ ἱκέτην σόν, ἀπολεῖς δ' Ἑλλήνων πολέμιον γενόμενον.» Ἀκούσας δ' ὁ Πέρσης, ἐκείνῳ μὲν οὐδὲν ἀπεκρίνατο, καίπερ θαυμάσας τὸ φρόνημα καὶ τὴν τόλμαν αὐτοῦ· μακαρίσας δὲ πρὸς τοὺς φίλους ἑαυτόν, ὡς ἐπ' εὐτυχίᾳ μεγίστῃ, καὶ κατευξάμενος ἀεὶ τοῖς πολεμίοις τοιαύτας φρένας[4] διδόναι τὸν Ἀριμάνιον, ὅπως ἐλαύνωσι[5] τοὺς ἀρίστους ἐξ ἑαυτῶν, θῦσαί τε τοῖς θεοῖς λέγεται καὶ πρὸς πόσιν εὐθὺς τραπέσθαι καὶ νύκτωρ ὑπὸ χαρᾶς διὰ μέσων τῶν ὕπνων[6] βοῆσαι τρὶς «Ἔχω Θεμιστοκλέα τὸν Ἀθηναῖον».

XXIX. Ἅμα δ' ἡμέρᾳ συγκαλέσας τοὺς φίλους εἰσῆγεν αὐτὸν μηδὲν ἐλπίζοντα χρηστὸν ἐξ ὧν[7] ἑώρα τοὺς ἐπὶ θύραις, ὡς ἐπύθοντο τοὔνομα παρόντος αὐτοῦ, χαλεπῶς διακειμένους καὶ κακῶς λέγοντας. Ἔτι δὲ Ρω-

---

1) Ὅτε ἡ ἐξασφάλισις τῆς σωτηρίας τῆς πατρίδος μου μοὶ ἔδωκε τὴν εὐκαιρίαν νὰ κάμω καὶ εἰς ὑμᾶς χάριν τινά. 2) Μοῦ ἀξίζουν τὰ πάνδεινα εἰς τὰς παρούσας περιστάσεις. 3) Ἕλξ: = τούτων, ἃ = ἃς εὐεργεσίας). 4) Τοιαῦτα μυαλὰ νὰ τοῖς δίδῃ ὁ Ἀριμάνιος (ὅστις παρὰ Πέρσαις ἐθεωρεῖτο ὡς ἀρχὴ τοῦ σκότους, ὁ δαίμων τοῦ κακοῦ, ὡς ὁ Ὡρομάσδης ἦν ὁ δαίμων τοῦ καλοῦ. 5) Ἐξορίζωσι. 6) Ἐν μέσῳ τοῦ ὕπνου. 7) Ἐξ ὧν = ἐκ τούτων ὅτι, διότι.

ξάνης ὁ χιλίαρχος, ὡς κατ' αὐτὸν ἦν ὁ Θεμιστοκλῆς προσιών[1], καθημένου βασιλέως καὶ τῶν ἄλλων σιωπώντων, ἀτρέμα[2] στενάξας εἶπεν· «Ὄφις Ἕλλην ὁ ποικίλος, ὁ βασιλεύς σε δαίμων δεῦρο ἤγαγεν.» Οὐ μὴν ἀλλ' εἰς ὄψιν[3] ἐλθόντος αὐτοῦ καὶ πάλιν προσκυνήσαντος, ἀσπασάμενος[4] καὶ προσειπὼν φιλοφρόνως ὁ βασιλεὺς, ἤδη μὲν ἔφησεν αὐτῷ διακόσια τάλαντα ὀφείλειν· κομίσαντα γὰρ αὐτὸν ἀπολήψεσθαι δικαίως τὸ ἐπικηρυχθὲν τῷ ἀγαγόντι[5]· πολλῷ δὲ πλείω τούτων ὑπισχνεῖτο καὶ παρεθάρρυνε καὶ λέγειν ἐδίδου[6] περὶ τῶν Ἑλληνικῶν, ἃ βούλοιτο, παρρησιαζόμενον[7]. Ὁ δὲ Θεμιστοκλῆς ἀπεκρίνατο, τὸν λόγον ἐοικέναι τοῦ ἀνθρώπου τοῖς ποικίλοις στρώμασιν[8]· ὡς γὰρ ἐκεῖνα καὶ τοῦτον ἐκτεινόμενον μὲν ἐπιδείκνυσθαι τὰ εἴδη[9] συστελλόμενον δὲ κρύπτειν καὶ διαφθείρειν· ὅθεν αὐτῷ χρόνου δεῖν[10]. Ἐπεὶ δὲ, ἡσθέντος τοῦ βασιλέως τῇ εἰκασίᾳ[11] καὶ λαμβάνειν[12] κελεύσαντος, ἐνιαυτὸν αἰτησάμενος καὶ τὴν Περσίδα γλῶτταν ἀποχρώντως ἐκμαθὼν ἐνετύγχανε βασιλεῖ δι' αὐτοῦ[13], τοῖς μὲν ἐκτὸς δόξαν παρέσχε[14] περὶ τῶν Ἑλληνικῶν πραγμάτων διειλέχθαι, πολλῶν δὲ καινοτομουμένων[15]

[1]) Διήρχετο ἔμπροσθέν του. [2]) Ἡσύχως. [3]) Τοῦ βασιλέως [4]) Χαιρετίσας. [5]) Δηλ., ὡς ἀνωτέρω ἐν σελ. 164 λέγει, τὴν προκηρυχθεῖσαν ἀμοιβὴν τῶν 200 ταλ. δι' ὅντινα ἤθελε φέρει αὐτὸν νεκρὸν ἢ ζῶντα εἰς τὸν βασιλ. [6]) Τὸν προέτρεπε νὰ ὁμιλήσῃ. [7]) Μετὰ παρρησίας. [8]) Ὁμοιάζει ὁ λόγος τοῦ ἀνθρ. πρὸς τοὺς ποικίλους τάπητας. [9]) Τὰ σχήματα δηλ. τοὺς χρωματισμούς, οὓς ἔχει ὁ λόγος. [10]) Πρὸς ἐκμάθησιν δηλ. τῆς Περσικῆς γλώσσης, ἵνα ἀναπτύξῃ τὸν λόγον του. [11]) Ἐπὶ τῇ παρομοιώσει (τοῦ λόγου πρὸς τοὺς τάπητας. [12]) Ἐνν. χρόνου (οὗ δεῖ αὐτῷ). [13]) Δι' ἑαυτοῦ =μόνος του, ἄνευ ἑρμηνέως. [14]) Ἄφησε νὰ νομίζωσι. [15]) Πολλῶν μεταρρυθμίσεων (νεωτερισμῶν) γενομένων.

περὶ τὴν αὐλὴν καὶ τοὺς φίλους ὑπὸ τοῦ βασιλέως ἐν ἐκείνῳ τῷ καιρῷ, φθόνον ἔσχε παρὰ τοῖς δυνατοῖς, ὡς καὶ κατ' ἐκείνων παρρησίᾳ χρήσασθαι πρὸς αὐτὸν ἀποτετολμηκώς. Οὐδὲν γὰρ ἦσαν αἱ τιμαὶ ταῖς τῶν ἄλλων ἐοικυῖαι ξένων, ἀλλὰ καὶ κυνηγεσίων βασιλεῖ μετέσχε καὶ τῶν οἴκοι διατριβῶν, ὥστε καὶ μητρὶ τῇ βασιλέως εἰς ὄψιν ἐλθεῖν καὶ γενέσθαι συνήθης[1], διακοῦσαι δὲ καὶ τῶν μαγικῶν λόγων[2] τοῦ βασιλέως κελεύσαντος. Ἐπεὶ δὲ Δημάρατος ὁ Σπαρτιάτης αἰτήσασθαι δωρεὰν κελευσθεὶς ᾐτήσατο τὴν κίταριν, ὥσπερ οἱ βασιλεῖς, ἐπαράμενος εἰσελάσαι διὰ Σάρδεων, Μιθροπαύστης μὲν ἀνεψιὸς ὢν βασιλέως εἶπε τοῦ Δημαράτου τῆς τιάρας ἀψάμενος· «Αὕτη μὲν ἡ κίταρις οὐκ ἔχει ἐγκέφαλον, ὃν ἐπικαλύψει· σὺ δ' οὐκ ἔσῃ Ζεὺς ἂν λάβῃς κεραυνόν·» ἀπωσαμένου δὲ τὸν Δημάρατον ὀργῇ διὰ τὸ αἴτημα τοῦ βασιλέως καὶ δοκοῦντος ἀπαραιτήτως ἔχειν πρὸς αὐτόν, ὁ Θεμιστοκλῆς δεηθεὶς ἔπεισε καὶ διήλλαξε. Λέγεται δὲ καὶ τοὺς ὕστερον βασιλεῖς, ἐφ' ὧν μᾶλλον αἱ Περσικαὶ πράξεις[3] ταῖς Ἑλληνικαῖς ἀνεκράθησαν, ὁσάκις δεηθεῖεν ἀνδρὸς Ἕλληνος, ἐπαγγέλλεσθαι καὶ γράφειν ἕκαστον, ὡς μείζων ἔσοιτο παρ' αὐτῷ Θεμιστοκλέους. Αὐτὸν δὲ τὸν Θεμιστοκλέα φασὶν ἤδη μέγαν ὄντα καὶ θεραπευόμενον ὑπὸ πολλῶν λαμπρᾶς ποτε τραπέζης παρατεθείσης πρὸς τοὺς παῖδας εἰπεῖν· «Ὦ παῖδες, ἀπωλόμεθα ἄν, εἰ μὴ ἀπωλόμεθα.»

Σχετικὸς αὐτῆς. 2) Τῆς διδασκαλίας τῶν μάγων, ἤτοι τῶν τῶν Περσῶν. 3) Ἐπὶ τῶν ὁποίων αἱ πολιτικαὶ σχέσεις ἦσαν ...ύτεραι μεταξὺ Ἑλλάδος καὶ Περσίας.

Πόλεις δ' αὐτῷ τρεῖς μὲν οἱ πλεῖστοι δοθῆναι λέγουσιν εἰς ἄρτον καὶ οἶνον καὶ ὄψον, Μαγνησίαν καὶ Λάμψακον καὶ Μυοῦντα· δύο δ' ἄλλας προστίθησιν ὁ Κυζικηνὸς Νεάνθης καὶ Φανίας, Περκώτην καὶ Παλαίσκηψιν εἰς στρωμνὴν καὶ ἀμπεχόνην[1].

XXX. Καταβαίνοντι δ' αὐτῷ πρὸς τὰς Ἑλληνικὰς πράξεις[2] ἐπὶ θάλατταν Πέρσης ἀνὴρ Ἐπιξύης ὄνομα, σατραπεύων τῆς ἄνω Φρυγίας, ἐπεβούλευσε, παρεσκευακὼς ἔκπαλαι Πισίδας τινὰς ἀποκτενοῦντας, ὅταν ἐν τῇ καλουμένῃ πόλει Λεοντοκεφάλῳ γενόμενος καταυλισθῇ[3]. Τῷ δὲ λέγεται καθεύδοντι μεσημβρίας τὴν μητέρα τῶν θεῶν[4] ὄναρ[5] φανεῖσαν εἰπεῖν· «Ὦ Θεμιστόκλεις, ὑστέρει[6] κεφαλῆς λεόντων, ἵνα μὴ λέοντι περιπέσῃς. Ἐγὼ δὲ ἀντὶ τούτου σε αἰτῶ θεράπαιναν Μνησιπτολέμαν[7].» Διαταραχθεὶς οὖν ὁ Θεμιστοκλῆς προσευξάμενος τῇ θεῷ τὴν μὲν λεωφόρον[8] ἀφῆκεν, ἑτέρᾳ δὲ περιελθὼν καὶ παραλλάξας τὸν τόπον ἐκεῖνον ἤδη νυκτὸς οὔσης κατηυλίσατο. Τῶν δὲ τὴν σκηνὴν κομιζόντων ὑποζυγίων ἑνὸς εἰς τὸν ποταμὸν ἐμπεσόντος, οἱ τοῦ Θεμιστοκλέους οἰκέται τὰς αὐλαίας[9] διαβρόχους γενομένας ἐκπετάσαντες ἀνέψυχον[10]· οἱ δὲ Πισίδαι τὰ ξίφη λαβόντες ἐν τούτῳ προσεφέροντο, καὶ τὰ ψυχόμενα πρὸς τὴν σελήνην οὐκ ἀκριβῶς ἰδόντες ᾠήθησαν εἶναι τὴν

1) Καὶ διὰ τὴν ἐνδυμασίαν του. 2) Διὰ νὰ προετοιμάσῃ ὅσα περὶ Ἑλλάδος ὑπεσχέθη πρὸς τὸν βασιλέα. 3) Φθάσας κατασκηνώσῃ, διανυκτερεύσῃ. 4) Τὴν Ῥέαν. 5) Κατ' ὄναρ. 6) Προφυλάττου, ἄπεχε. 7) Ἐγὼ δὲ σοῦ ζητῶ ὡς θεράπαινάν μου τὴν θυγατέρα σου Μνησιπτολέμαν. 9) Τὴν μεγάλην ὁδόν. 9) = Τὰ παραπετάσματα τῆς σκηνῆς του. 10) Ἁπλώσαντες ἐστέγνωνον.

σκηνὴν τοῦ Θεμιστοκλέους κἀκεῖνον ἔνδον εὑρήσειν ἀναπαυόμενον. Ὡς δ' ἐγγὺς γενόμενοι τὴν αὐλαίαν ἀνέστελλον[1], ἐπιπίπτουσιν αὐτοῖς οἱ παραφυλάσσοντες καὶ συλλαμβάνουσι. Διαφυγὼν δὲ τὸν κίνδυνον οὕτω καὶ θαυμάσας τὴν ἐπιφάνειαν[2] τῆς θεοῦ ναὸν κατεσκεύασεν ἐν Μαγνησίᾳ Δινδυμήνης καὶ τὴν θυγατέρα Μνησιπτολέμαν ἱέρειαν ἀπέδειξεν.

XXXI. Ὡς δ' ἦλθεν εἰς Σάρδεις καὶ σχολὴν ἄγων ἐθεᾶτο τῶν ἱερῶν[3] τὴν κατασκευὴν καὶ τῶν ἀναθημάτων τὸ πλῆθος, εἶδε δὲ ἐν μητρὸς ἱερῷ τὴν καλουμένην ὑδροφόρον κόρην χαλκῆν, μέγεθος δίπηχυν, ἣν αὐτὸς ὅτε τῶν Ἀθήνησιν ὑδάτων ἐπιστάτης ἦν, ἑλὼν τοὺς ὑφαιρουμένους τὸ ὕδωρ καὶ παροχετεύοντας[4], ἀνέθηκεν ἐκ τῆς ζημίας ποιησάμενος[5], εἴτε δὴ παθών τι πρὸς τὴν αἰχμαλωσίαν τοῦ ἀναθήματος εἴτε βουλόμενος ἐνδείξασθαι τοῖς Ἀθηναίοις, ὅσην ἔχει τιμὴν καὶ δύναμιν ἐν τοῖς βασιλέως πράγμασι, λόγον τῷ Λυδίας σατράπῃ προσήνεγκεν[6] αἰτούμενος ἀποστεῖλαι τὴν κόρην[7] εἰς τὰς Ἀθήνας. Χαλεπαίνοντος δὲ τοῦ βαρβάρου καὶ βασιλεῖ γράψειν φήσαντος ἐπιστολήν, φοβηθεὶς ὁ Θεμιστοκλῆς εἰς τὴν γυναικωνῖτιν κατέφυγε καὶ τὰς παλλακίδας αὐτοῦ θεραπεύσας[8] χρήμασιν ἐκεῖνόν τε κατεπράϋνε τῆς ὀργῆς[9] καὶ πρὸς τὰ ἄλλα παρεῖχεν ἑαυτὸν εὐλαβέστε-

---

1) Ἀνεσήκωνον. 2) = Τὴν εν τῷ ὀνείρῳ του ἐμφάνισιν τῆς θεᾶς. 3) Τῶν ναῶν. 4) Συλλαβὼν τοὺς κρύφα ἀφαιροῦντας τὸ ὕδωρ καὶ διοχετεύοντας αὐτὸ εἰς τὰ κτήματά των. 5) Ἐκ τῆς χρηματικῆς των ποινῆς κατασκευάσας αὐτό. 6) Προσήνεγκε λόγον = ὡμίλησε. 7) Τὸ ἄγαλμα τῆς κόρης. 8) Περιποιηθεὶς κολακεύσας. 9) Ἀντὶ: « ἐκείνου κατεπράϋνε τὴν ὀργήν ».

ρον[1] ἤδη καὶ τὸν φθόνον τῶν βαρβάρων δεδοικώς. Οὐ γὰρ πλανώμενος περὶ τὴν Ἀσίαν, ὥς φησι Θεόπομπος, ἀλλ' ἐν Μαγνησίᾳ μὲν οἰκῶν, καρπούμενος δὲ δωρεὰς μεγάλας καὶ τιμώμενος ὅμοια[2] Περσῶν τοῖς ἀρίστοις, ἐπὶ πολὺν χρόνον ἀδεῶς διῆγεν, οὐ πάνυ τι τοῖς Ἑλληνικοῖς πράγμασι βασιλέως προσέχοντος ὑπ' ἀσχολιῶν περὶ τὰς ἄνω πράξεις. Ὡς δ' Αἴγυπτός τε ἀφισταμένη βοηθούντων Ἀθηναίων καὶ τριήρεις Ἑλληνικαὶ μέχρι Κύπρου καὶ Κιλικίας ἀναπλέουσαι καὶ Κίμων θαλαττοκρατῶν ἐπέστρεψεν[3] αὐτὸν ἀντεπιχειρεῖν τοῖς Ἕλλησι καὶ κωλύειν αὐξανομένους[4] ἐπ' αὐτὸν, ἤδη δὲ καὶ δυνάμεις[5] ἐκινοῦντο καὶ στρατηγοὶ διεπέμποντο καὶ κατέβαινον εἰς Μαγνησίαν ἀγγελίαι πρὸς Θεμιστοκλέα, τῶν Ἑλληνικῶν ἐξάπτεσθαι[6] κελεύοντος βασιλέως καὶ βεβαιοῦν τὰς ὑποσχέσεις[7], οὔτε δι' ὀργήν τινα παροξυνθεὶς κατὰ τῶν πολιτῶν[8] οὔτε ἐπαρθεὶς τιμῇ τοσαύτῃ καὶ δυνάμει πρὸς τὸν πόλεμον[9], ἀλλ' ἴσως μὲν οὐκ ἐφικτὸν[10] ἡγούμενος τὸ ἔργον, ἄλλους τε μεγάλους τῆς Ἑλλάδος ἐχούσης στρατηγοὺς τότε καὶ Κίμωνος ὑπερφυῶς εὐημεροῦντος ἐν τοῖς πολεμικοῖς, τὸ δὲ πλεῖστον αἰδοῖ τῆς τε δόξης τῶν πράξεων τῶν ἑαυτοῦ καὶ τῶν τροπαίων ἐκείνων, ἄριστα βουλευσάμενος ἐπιθεῖναι τῷ βίῳ τὴν τελευτὴν πρέπουσαν, ἔθυσε τοῖς θεοῖς, καὶ

---

1) Ἐπιφυλακτικώτερον, προσεκτικώτερον. 2) Ὅμοια—ὁμοίας τιμὰς τιμώμενος. 3) Παρώτρυνε. 4) Ἐνδυναμουμένους κατ' αὐτοῦ. 5) Περσικαί. 6) Νὰ κάμῃ ἔναρξιν τῶν κατὰ τῆς Ἑλλάδος ἐπιχειρήσεων του. 7) Καὶ νὰ πραγματοποιήσῃ τὰς ὑποσχέσεις του. 8) Κατὰ τῶν συμπολιτῶν του. 9) Εἰς τὸ νὰ ἀναδεχθῇ τὸν κατὰ τῆς Ἑλλ. πόλεμον. 10) Πραγματοποιήσιμον.

τοὺς φίλους συναγαγὼν καὶ δεξιωσάμενος, ὡς μὲν ὁ πολὺς λόγος, αἷμα ταύρειον πιών, ὡς δ' ἔνιοι[1], φάρμακον ἐφήμερον[2] προσενεγκάμενος, ἐν Μαγνησίᾳ κατέστρεψε[3] πέντε πρὸς τοῖς ἑξήκοντα βεβιωκὼς ἔτη καὶ τὰ πλεῖστα τούτων ἐν πολιτείαις καὶ ἡγεμονίαις. Τὴν δ' αἰτίαν τοῦ θανάτου καὶ τὸν τρόπον πυθόμενον βασιλέα λέγουσιν ἔτι μᾶλλον θαυμάσαι τὸν ἄνδρα καὶ τοῖς φίλοις αὐτοῦ καὶ οἰκείοις χρώμενον διατελεῖν φιλανθρώπως.

XXXII. Ἀπέλιπε δὲ Θεμιστοκλῆς παῖδας ἐκ μὲν Ἀρχίππης τῆς Λυσάνδρου τοῦ Ἀλωπεκῆθεν Ἀρχέπτολιν καὶ Πολύευκτον καὶ Κλεόφαντον, οὗ καὶ Πλάτων ὁ φιλόσοφος ὡς ἱππέως ἀρίστου, τἆλλα δ' οὐδενὸς ἀξίου γενομένου μνημονεύει. Τῶν δὲ πρεσβυτάτων Νεοκλῆς μὲν ἔτι παῖς ὢν ὑφ' ἵππου δηχθεὶς ἀπέθανε, Διοκλέα δὲ Λύσανδρος ὁ πάππος υἱὸν ἐποιήσατο[4]. Θυγατέρας δὲ πλείους ἔσχεν, ὧν Μνησιπτολέμαν μὲν ἐκ τῆς ἐπιγαμηθείσης[5] γενομένην Ἀρχέπτολις ὁ ἀδελφὸς οὐκ ὢν ὁμομήτριος ἔγημεν, Ἰταλίαν δὲ Πανθοίδης ὁ Χῖος, Σύβαριν δὲ Νικομήδης ὁ Ἀθηναῖος· Νικομάχην δὲ Φρασικλῆς ὁ ἀδελφιδοῦς Θεμιστοκλέους, ἤδη τετελευτηκότος ἐκείνου, πλεύσας εἰς Μαγνησίαν ἔλαβε παρὰ τῶν ἀδελφῶν, νεωτάτην δὲ πάντων τῶν τέκνων Ἀσίαν ἔθρεψε. Καὶ τάφον μὲν αὐτοῦ λαμπρὸν Μάγνητες ἔχουσι· περὶ δὲ τῶν λειψάνων οὔτ' Ἀνδοκίδῃ προσέχειν ἄξιον ἐν τῷ Πρὸς τοὺς ἑταίρους

1) Ἐνν. Λέγουσι 2) Φάρμακον ἐφήμερον=δηλητήριον, αὐθημερὸν θανατῶνον, λαβών. 3) Ἐνν. τὸν βίον, ἐτελεύτησε. 4) Υἱοθέτησεν. 5) Ἐκ τῆς δευτέρας συζύγου του

λέγοντι, φωράσαντας τὰ λείψανα διαρρῖψαι τοὺς Ἀθηναίους (ψεύδεται γὰρ ἐπὶ τὸν δῆμον παροξύνων τοὺς ὀλιγαρχικούς), ὅ τε Φύλαρχος, ὥσπερ ἐν τραγῳδίᾳ τῇ ἱστορίᾳ μονονοὺ μηχανὴν ἄρας καὶ προαγαγὼν Νεοκλέα τινὰ καὶ Δημόπολιν, υἱοὺς Θεμιστοκλέους, ἀγῶνα βούλεται κινεῖν καὶ πάθος, ὃ οὐδ' ἂν ὁ τυχὼν ἀγνοήσειεν ὅτι πέπλασται. Διόδωρος δ' ὁ περιηγητὴς ἐν τοῖς Περὶ μνημάτων εἴρηκεν ὡς ὑπονοῶν[1] μᾶλλον ἢ γινώσκων, ὅτι περὶ τὸν μέγαν λιμένα τοῦ Πειραιῶς ἀπὸ τοῦ κατὰ τὸν Ἄλκιμον[2] ἀκρωτηρίου πρόκειταί τις οἷον ἀγκὼν[3], καὶ κάμψαντι τοῦτον ἐντὸς, ᾗ[4] τὸ ὑπεύδιον τῆς θαλάττης, κρηπίς[5] ἐστιν εὐμεγέθης καὶ τὸ περὶ αὐτὴν βωμοειδὲς τάφος τοῦ Θεμιστοκλέους[6]. Οἴεται δὲ καὶ Πλάτωνα τὸν κωμικὸν αὐτῷ μαρτυρεῖν[7] ἐν τούτοις:

Ὁ σὸς δὲ τύμβος ἐν καλῷ[8] κεχωσμένος
τοῖς ἐμπόροις πρόσρησις ἔσται πανταχοῦ,
τούς τ' ἐκπλέοντας εἰσπλέοντάς τ' ὄψεται,
χὠπόταν ἅμιλλα τῶν νεῶν θεάσεται.

Τοῖς δ' ἀπὸ γένους τοῦ Θεμιστοκλέους καὶ τιμαί τινες ἐν Μαγνησίᾳ φυλαττόμεναι μέχρι τῶν ἡμετέρων χρόνων ἦσαν, ἃς ἐκαρποῦτο Θεμιστοκλῆς Ἀθηναῖος, ἡμέτερος συνήθης καὶ φίλος παρ' Ἀμμωνίῳ τῷ φιλοσόφῳ γενόμενος.

---

1) Συμπεραίνων. 2) Ἄλκιμος ἦν τὸ ἀριστερᾷ τῷ ἐκπλέοντι τοῦ λιμένος Πειραιῶς ἀκρωτήριον. 3) Προέκτασίς τις. 4) Ἐπίρ. τοπ:=ὅπου. Ὅπου δηλ. ἡ θάλασσα μένει ἀκύμων ὡσεὶ κοιμωμένη (τὸ ὑπεύδιον) ἕνεκεν τῆς κύκλῳ ξηρᾶς. 5) Βάθρον. 6) Ἀριστερᾷ τῷ ἐξερχομένῳ τοῦ λιμένος. 7) Ὅτι ἐπιβεβαιοῖ τὸν Διόδ. καὶ ὁ Πλάτων ὁ κωμικὸς διὰ τούτων τῶν ἐπῶν. 8) Ἐν καταλλήλῳ θέσει, τόπῳ.



Β'. ΑΡΙΣΤΕΙΔΗΣ

Ὁ λόγος οὗτος εἶνε ὁ ἔνατος τῶν παραλλήλων βίων τοῦ Πλουτάρχου. Ἀντιπαρατίθησι δ' ὁ συγγραφεὺς τὸν Ἀριστείδην πρὸς τὸν Ῥωμαῖον Κάτωνα.

Ἀριστείδης ὁ Λυσιμάχου φυλῆς μὲν ἦν Ἀντιοχίδος, τῶν δὲ δήμων Ἀλωπεκῆθεν. Περὶ δ' οὐσίας[1] αὐτοῦ λόγοι διάφοροι γεγόνασιν, οἱ μὲν ὡς ἐν πενίᾳ συντόνῳ καταβιώσαντος καὶ μετὰ τὴν τελευτὴν ἀπολιπόντος θυγατέρας δύο πολὺν χρόνον ἀνεκδότους[2] δι' ἀπορίαν γενομένας· πρὸς δὲ τοῦτον τὸν λόγον ὑπὸ πολλῶν εἰρημένον ἀντιτασσόμενος ὁ Φαληρεὺς Δημήτριος ἐν τῷ Σωκράτει χωρίον Φαληροῖ[3] φησι γινώσκειν Ἀριστείδου γενόμενον, ἐν ᾧ τέθαπται, καὶ τεκμήρια τῆς περὶ τὸν οἶκον εὐπορίας ἓν μὲν ἡγεῖται τὴν ἐπώνυμον ἀρχήν[4], ἣν ἦρξε τῷ κυάμῳ λαχὼν ἐκ τῶν γενῶν[5] τῶν τὰ μέγιστα τιμήματα κεκτημένων, οὓς πεντακοσιομεδίμνους[6] προσηγόρευον, ἕτερον δὲ τὸν ἐξοστρακισμόν· οὐδενὶ γὰρ

---

[1]) Περιουσίας. [2]) Ἀνυπάνδρους. Ἐκδίδωμι τὴν θυγατέρα = δίδω εἰς γάμον, ὑπανδρεύω τὴν θυγ. [3]) Ἐπίρ: = ἐν Φαλήρῳ. [4]) Ἐν Ἀθήναις ἐξελέγοντο ἐνιαυσίως διὰ ψηφοφορίας, ἐνεργουμένης διὰ κυάμων, ἐννέα ἄρχοντες. Ἐκ τοῦ ὀνόματος δὲ τοῦ πρώτου ἄρχοντος, καλουμένου ἐπωνύμου, ἐπωνομάζετο καὶ τὸ ἔτος ἐκεῖνο. Ἐπώνυμος ἀρχὴ = ἡ ἀρχὴ τοῦ ἐπωνύμου ἄρχοντος. [5]) Οἰκογενειῶν. [6]) Πεντακοσιομέδιμνοι ἐλέγοντο ἐκεῖνοι, ὧν ἡ ἀκίνητος περιουσία ἀπέφερεν εἰσόδημα 500 τοὐλάχιστον μεδίμνους ξηρῶν καὶ ὑγρῶν προϊόντων.

τῶν πενήτων, ἀλλὰ τοῖς ἐξ οἴκων τε μεγάλων καὶ δια γένους ὄγκον ἐπιφθόνων ὄστρακον ἐπιφέρεσθαι[1]· τρίτον δὲ καὶ τελευταῖον, ὅτι νίκης ἀναθήματα χορηγικοὺς τρίποδας ἐν Διονύσου[2] καταλέλοιπεν, οἳ καὶ καθ' ἡμᾶς[3] ἐδείκνυντο τοιαύτην ἐπιγραφὴν διασώζοντες «Ἀντιοχὶς ἐνίκα, Ἀριστείδης ἐχορήγει, Ἀρχέστρατος ἐδίδασκε.» Τουτὶ μὲν οὖν, καίπερ εἶναι δοκοῦν μέγιστον, ἀσθενέστατόν ἐστι. Καὶ γὰρ Ἐπαμεινώνδας, ὃν πάντες ἄνθρωποι γινώσκουσιν ἐν πενίᾳ καὶ τραφέντα πολλῇ καὶ βιώσαντα, καὶ Πλάτων ὁ φιλόσοφος οὐκ ἀφιλοτίμους[4] ἀνεδέξαντο χορηγίας, ὁ μὲν[5] αὐληταῖς ἀνδράσιν, ὁ δὲ[6] παισὶ κυκλίοις[7] χορηγήσας, τούτῳ μὲν Δίωνος τοῦ Συρακουσίου τὴν δαπάνην παρέχοντος, Ἐπαμεινώνδᾳ δὲ τῶν περὶ Πελοπίδαν[8]. Οὐ γάρ ἐστι τοῖς ἀγαθοῖς ἀκήρυκτος[9] καὶ ἄσπονδος πρὸς τὰς παρὰ τῶν φίλων δωρεὰς πόλεμος, ἀλλὰ τὰς εἰς ἀπόθεσιν καὶ πλεονεξίαν ἀγεννεῖς ἡγούμενοι καὶ ταπεινάς, ὅσαι φιλοτιμίας τινὸς ἀκερδοῦς ἔχονται καὶ λαμπρότητος οὐκ ἀπωθοῦνται. Παναίτιος μέντοι περὶ τοῦ τρίποδος ἀποφαί-

---

1) Ὄστρακον, ἐπιφέρεσθαί τινι = ὀστράκῳ ψηφίζειν κατά τινος. 2) Ἐν τῷ θεάτρῳ τοῦ Διονύσου, τῷ πρὸς Μ. τῆς Ἀκροπόλεως. Ὁ χορηγός, οὗ ὁ χορὸς ἐνίκα κατὰ τὴν παράστασιν τοῦ δράματος, ἐλάμβανεν ὡς ἔπαθλον χορηγικὸν τρίποδα, ὃν ἰδίᾳ κατασκευάζοντες δαπάνῃ, ἀνέθετον εἰς τὸν ναὸν τοῦ Διονύσου ἐπὶ στήλης ἐνεπιγράφου. 3) Ἐπὶ τῆς ἐποχῆς μας. 4) Οὐκ ἀφιλοτίμους = πολὺ δαπανηράς. 5) Ἐπαμιν. 6) Πλάτων. 7) Χορὸς κυκλικὸς παίδων ὃν κύκλῳ περὶ τὸν βωμὸν ἐχόρευον ᾄδοντες. 8) = Τοῦ Πελοπίδου. 9) Ἀκήρυκτος πόλεμος, ὁ γιγνόμενος ἄνευ τῆς ἑκατέρωθεν προαποστολῆς κηρύκων πρὸς διαπραγματεύσεις.

νει τὸν Δημήτριον ὁμωνυμίᾳ διεψευσμένον· ἀπὸ γὰρ τῶν Μηδικῶν εἰς τὴν τελευτὴν τοῦ Πελοποννησιακοῦ πολέμου δύο μόνους Ἀριστείδας χορηγοὺς ἀναγράφεσθαι νικῶντας, ὧν οὐδέτερον εἶναι τῷ[1] Λυσιμάχου τὸν αὐτὸν, ἀλλὰ τὸν μὲν Ξενοφίλου πατρὸς, τὸν δὲ χρόνῳ πολλῷ νεώτερον, ὡς ἐλέγχει τὰ γράμματα τῆς μετ' Εὐκλείδην[2] ὄντα γραμματικῆς καὶ προσγεγραμμένος ὁ Ἀρχέστρατος, ὃν ἐν τοῖς Μηδικοῖς οὐδεὶς, ἐν δὲ τοῖς Πελοποννησιακοῖς συχνοὶ χορῶν διδάσκαλον ἀναγράφουσι. Τὸ μὲν οὖν τοῦ Παναιτίου βέλτιον ἐπισκεπτέον ὅπως ἔχει. Τῷ δ' ὀστράκῳ[3] πᾶς ὁ διὰ δόξαν ἢ γένος ἢ λόγου δύναμιν ὑπὲρ τοὺς πολλοὺς[4] νομιζόμενος ὑπέπιπτεν· ὅπου[5] καὶ Δάμων ὁ Περικλέους διδάσκαλος ὅτι τὸ φρονεῖν ἐδόκει τις εἶναι περιττὸς[6], ἐξωστρακίσθη. Καὶ μὴν ἄρξαι γε τὸν Ἀριστείδην ὁ Ἰδομενεὺς οὐ κυαμευτὸν[7], ἀλλ' ἑλομένων Ἀθηναίων[8] φησίν. Εἰ δὲ καὶ μετὰ τὴν ἐν Πλαταιαῖς μάχην ἦρξεν, ὡς αὐτὸς ὁ Δημήτριος γέγραφε, καὶ πάνυ πιθανόν ἐστιν ἐπὶ δόξῃ τοσαύτῃ καὶ κατορθώμασι τηλικούτοις ἀξιωθῆναι[9] δι' ἀρετὴν ἧς διὰ πλοῦτον ἐτύγχανον οἱ λαγ-

---

[1]) Τῷ υἱῷ τοῦ Λυσιμ. [2]) Ἐπὶ Εὐκλείδου ἄρχοντος Ὀλ. 94, 2 = 403 π. Χ. εἰσήχθησαν ἐν χρήσει καὶ παρὰ τοῖς Ἀθηναίοις ἐν τοῖς δημοσίοις ἐγγράφοις τὰ ἐκ τῶν Ἰωνικῶν γραμμάτων μακρὰ Η καὶ Ω τὰ διπλᾶ Ξ καὶ Ψ, καὶ αἱ δίφθογγοι ΟΙ καὶ ΕΙ, ἐπηνέχθησαν δὲ καὶ ἄλλαι τινὲς τροποποιήσεις ἐπὶ τοῦ σχήματος γραμμάτων τινῶν. [3]) = Εἰς δὲ τὸν ἐξοστρακισμόν· [4]) Ἀνώτερος τῶν πολλῶν, τῶν κοινῶν ἀνθρώπων νομιζόμενος. [5]) Διὰ τοῦτο. [6]) Περιττὸς τῷ φρονεῖν = ἔξοχος κατὰ τὰ (πολιτικὰ) φρονήματα. [7]) Οὐ κυαμευτὸν = οὐχὶ διὰ κυάμων (ψήφων) λαχόντα. [8]) Κατ' ἐγκλογὴν τῶν Ἀθ. [9]) = Κριθῆναι ἄξιον (δηλ. τῆς ἀρχῆς ταύτης.

χάνοντες. Ἀλλὰ γὰρ ὁ μὲν Δημήτριος οὐ μόνον Ἀριστείδην, ἀλλὰ καὶ Σωκράτην δῆλός ἐστι τῆς πενίας ἐξελέσθαι φιλοτιμούμενος ὡς μεγάλου κακοῦ[1]· καὶ γὰρ ἐκείνῳ[2] φησὶν οὐ μόνον τὴν οἰκίαν ὑπάρχειν, ἀλλὰ καὶ μνᾶς ἑβδομήκοντα τοκιζομένας ὑπὸ Κρίτωνος.

II. Ἀριστείδης δὲ Κλεισθένους μὲν τοῦ καταστησαμένου τὴν πολιτείαν[3] μετὰ τοὺς τυράννους[4] ἑταῖρος[5] γενόμενος, ζηλώσας δὲ καὶ θαυμάσας μάλιστα τῶν πολιτικῶν ἀνδρῶν Λυκοῦργον τὸν Λακεδαιμόνιον, ἥψατο[6] μὲν ἀριστοκρατικῆς πολιτείας, ἔσχε δ' ἀντιτασσόμενον ὑπὲρ τοῦ δήμου[7] Θεμιστοκλέα τὸν Νεοκλέους. Ἔνιοι μὲν οὖν φασιν παῖδας ὄντας αὐτοὺς καὶ συντρεφομένους ἀπ' ἀρχῆς ἐν παντὶ καὶ σπουδῆς ἐχομένῳ καὶ παιδιᾶς πράγματι[8] καὶ λόγῳ διαφέρεσθαι πρὸς ἀλλήλους, καὶ τὰς φύσεις[9] εὐθὺς ὑπὸ τῆς φιλονεικίας ἐκείνης ἀνακαλύπτεσθαι, τὴν μὲν εὐχερῆ καὶ παράβολον καὶ πανοῦργον οὖσαν καὶ μετ' ὀξύτητος ἐπὶ πάντα ῥᾳδίως φερομένην, τὴν δ' ἱδρυμένην ἐν ἤθει βεβαίῳ καὶ πρὸς τὸ δίκαιον ἀτενεῖ, ψεῦδος δὲ καὶ βωμολοχίαν καὶ ἀπάτην οὐδ' ἐν παιδιᾶς τινι τρόπῳ προσιεμένην. Ὁ μὲν οὖν Θεμιστοκλῆς εἰς ἑταιρίαν[10] ἐμβαλὼν ἑαυτὸν εἶχε πρόβλημα[11] καὶ δύναμιν οὐκ εὐκαταφρόνητον, ὥστε καὶ

[1]) Ὡσεὶ ὄντος (τῆς πενίας δηλ.) μεγάλου κακοῦ. [2]) Τῷ Σωκράτει. [3]) Τοῦ διοργανώσαντος τὴν πολιτείαν (=ἐνταῦθα δημοκρατίαν. [4]) Μετὰ τὴν κατάλυσιν τῆς τυραννίας (ἐνν. τῶν Πεισιστρατιδῶν Ἱππίου καὶ Ἱππάρχου. [5]) Πολιτικὸς ὀπαδός. [6]) Ἀπεπειράθη νὰ ἐγκαθιδρύσῃ. [7]) Ὑπὲρ τῆς δημοκρατίας. [8]) Ἡ κανον. σύνταξ: διαφέρεσθαι πρὸς ἀλλήλους ἐν παντὶ πράγματι καὶ σπουδῆς ἐχομένῳ (=σπουδαίῳ) καὶ παιδιᾶς. [9]) Ἡ ἰδιοφυΐα τοῦ χαρακτῆρος. [10]) = Πολιτικὸν κόμμα. [11]) Προπύργιον, ἀσφάλειαν.

πρὸς τὸν εἰπόντα καλῶς αὐτὸν ἄρξειν Ἀθηναίων, ἂν ἴσος ᾖ καὶ κοινὸς[1] ἅπασι «Μηδέποτε» εἰπεῖν «εἰς τοῦτον ἐγὼ καθίσαιμι τὸν θρόνον, ἐν ᾧ πλέον οὐδὲν ἕξουσιν οἱ φίλοι παρ' ἐμοὶ τῶν ἀλλοτρίων·» Ἀριστείδης δὲ καθ' ἑαυτὸν[2] ὥσπερ ὁδὸν ἰδίαν ἐβάδιζε διὰ τῆς πολιτείας, πρῶτον μὲν οὐ βουλόμενος συναδικεῖν τοῖς ἑταίροις ἢ λυπηρὸς εἶναι μὴ χαριζόμενος[3], ἔπειτα τὴν ἀπὸ τῶν φίλων δύναμιν οὐκ ὀλίγους ἰδὼν ἐπαίρουσαν[4] ἀδικεῖν ἐφυλάττετο, μόνῳ τῷ χρηστὰ καὶ δίκαια πράττειν καὶ λέγειν ἀξιῶν θαρρεῖν τὸν ἀγαθὸν πολίτην[5].

III. Οὐ μὴν ἀλλά, πολλὰ κινουμένου τοῦ Θεμιστοκλέους παραβόλως καὶ πρὸς πᾶσαν αὐτῷ πολιτείαν ἐνισταμένου[6] καὶ διακόπτοντος, ἠναγκάζετό που καὶ αὐτὸς τὰ μὲν[7] ἀμυνόμενος, τὰ δὲ κολούων τὴν ἐκείνου δύναμιν χάριτι τῶν πολλῶν[8] αὐξομένην ὑπεναντιοῦσθαι οἷς ἔπραττεν ὁ Θεμιστοκλῆς, βέλτιον ἡγούμενος παρελθεῖν[9] ἔνια τῶν συμφερόντων τὸν δῆμον ἢ τῷ κρατεῖν ἐκεῖνον ἐν πᾶσιν ἰσχυρὸν γενέσθαι[10]. Τέλος δέ ποτε τοῦ Θεμιστοκλέους πράττοντός τι τῶν δεόντων ἀντικρούσας καὶ περιγενόμενος οὐ κατέσχεν[11], ἀλλ' εἶπεν

---

[1]) Ἀνεξάρτητος, ἀμερόληπτος. [4]) Μόνος του, μὴ ἀνήκων εἰς κόμμα. [3]) Ἢ νὰ λυπῇ (τοὺς φίλους δηλ.) ἐὰν δὲν ἐχαρίζετο εἰς αὐτούς. [4]) Παρακινοῦσαν. [5]) Πρεσβεύων ὅτι ὁ ἀγαθὸς πολίτης πρέπει νὰ ἔχῃ τὸ θάρρος εἰς τὸ ἐπιτελῇ καὶ νὰ λέγῃ μόνον τὰ χρηστὰ καὶ τὰ δίκαια. [6]) Ἀντιπράττοντος τοῦ Θεμ. εἰς πᾶσαν πολιτικὴν ἐνέργειαν αὐτοῦ. [7]) Ὁτὲ μὲν ὑπερασπίζων ἑαυτόν. [8]) Αὐξανομένην διὰ τῆς εὐνοίας τοῦ πλήθους. [9]) Νὰ παρέλθῃ, νὰ παρίδῃ. [10]) Παρὰ ἐκεῖνος διὰ τῆς ὑπερισχύσεως (τῷ κρατεῖν) νὰ καταστῇ καθ' ὅλα ἰσχυρός. [11]) Καὶ νικήσας δὲν ὑπέμεινε.

ἀπ τῆς ἐκκλησίας ἀπιών, ὡς οὐκ ἔστι σωτηρία τοῖς Ἀθηναίων πράγμασιν, εἰ μὴ καὶ Θεμιστοκλέα καὶ αὐτὸν εἰς τὸ βάραθρον[1] ἐμβάλοιεν. Πάλιν δὲ γράψας τινὰ γνώμην[2] εἰς τὸν δῆμον, ἀντιλογίας οὔσης πρὸς αὐτὴν καὶ φιλονεικίας, ἐκράτει[3]· μέλλοντος δὲ τοῦ προέδρου τὸν δῆμον ἐπερωτᾶν αἰσθόμενος ἐκ τῶν λόγων αὐτῶν τὸ ἀσύμφορον ἀπέστη[4] τοῦ ψηφίσματος. Πολλάκις δὲ καὶ δι' ἑτέρων[5] εἰσέφερε τὰς γνώμας, ὡς μὴ φιλονεικίᾳ τῇ πρὸς αὐτὸν[6] ὁ Θεμιστοκλῆς ἐμπόδιος εἴη τῷ συμφέροντι. Θαυμαστὴ δέ τις ἐφαίνετο αὐτοῦ παρὰ τὰς ἐν τῇ πολιτείᾳ μεταβολὰς ἡ εὐστάθεια, μήτε ταῖς τιμαῖς ἐπαιρομένου πρός τε τὰς δυσημερίας ἀθορύβως καὶ πρᾴως ἔχοντος, καὶ ὁμοίως ἡγουμένου χρῆναι τῇ πατρίδι παρέχειν ἑαυτὸν οὐ χρημάτων μόνον, ἀλλὰ καὶ δόξης προῖκα καὶ ἀμισθὶ πολιτευόμενον. Ὅθεν, ὡς ἔοικε[7], τῶν εἰς Ἀμφιάραον ὑπ' Αἰσχύλου πεποιημένων ἰαμβείων ἐν τῷ θεάτρῳ λεγομένων,

οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλει,
βαθεῖαν ἄλοκα[8] διὰ φρενὸς καρπούμενος,
ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα,

πάντες ἀπέβλεψαν εἰς Ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης.

IV. Οὐ μόνον δὲ πρὸς εὔνοιαν καὶ χάριν, ἀλλὰ καὶ πρὸς ὀργὴν καὶ πρὸς ἔχθραν ἰσχυρότατος ἦν ὑπὲρ τῶν

---

1) Βαθὺς βόθρος ἐν τῇ Ἱπποθεοντίδι φυλῇ, ἐν ᾧ ἔρριπτον τοὺς εἰς θάνατον καταδικαζομένους. 2) Δι' ἐγγράφου προτείνας. 3) Ὑπερίσχυε. 4) Παρητήθη. 5) Ὑπὸ τὸ ὄνομα ἄλλου ὑπέβαλλε τὰς προτάσεις του (εἰς τὴν ἐκκλησίαν τοῦ δήμου. 6) Ὅπως μὴ ἕνεκεν τῆς πρὸς αὐτὸν φιλονεικίας κτλ. 7) Ὡς εἶνε ἑπόμενον. 8) Αὔλακα.

δικαίων ἀντιστῆναι. Λέγεται γοῦν ποτε διώκων[1] ἐχθρὸν ἐν δικαστηρίῳ, μετὰ τὴν κατηγορίαν οὐ βουλομένων ἀκούειν τοῦ κινδυνεύοντος[2] τῶν δικαστῶν, ἀλλὰ τὴν ψῆφον εὐθὺς αἰτούντων ἐπ' αὐτὸν, ἀναπηδήσας τῷ κρινομένῳ συνικετεύειν, ὅπως ἀκουσθείη καὶ τύχοι τῶν νομίμων· πάλιν δὲ κρίνων ἰδιώταις δυσὶ, τοῦ ἑτέρου λέγοντος, ὡς πολλὰ τυγχάνει τὸν Ἀριστείδην ὁ ἀντίδικος λελυπηκὼς «Λέγ', ὦ 'γαθὲ» φάναι «μᾶλλον, εἴ τι[3] σὲ κακὸν πεποίηκε· σοὶ γὰρ, οὐκ ἐμαυτῷ, δικάζω.» Τῶν δὲ δημοσίων προσόδων αἱρεθεὶς ἐπιμελητὴς οὐ μόνον τοὺς καθ' αὐτὸν, ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ γενομένους ἄρχοντας ἀπεδείκνυε πολλὰ νενοσφισμένους[4] καὶ μάλιστα τὸν Θεμιστοκλέα·

Σοφὸς γὰρ ἀνήρ[5], τῆς δὲ χειρὸς οὐ κρατῶν.

Διὸ καὶ συναναγὼν[6] πολλοὺς ἐπὶ τὸν Ἀριστείδην ἐν ταῖς εὐθύναις[7] διώκων κλοπῆς καταδίκῃ περιέβαλεν[8], ὥς φησιν Ἰδομενεύς. Ἀγανακτούντων δὲ τῶν πρώτων ἐν τῇ πόλει καὶ βελτίστων, οὐ μόνον ἀφείθη τῆς ζημίας[9], ἀλλὰ καὶ πάλιν ἄρχων ἐπὶ τὴν αὐτὴν διοίκησιν ἀπεδείχθη[10]. Προσποιούμενος δὲ τῶν προτέρων μεταμέλειν αὐτῷ καὶ μαλακώτερον ἐνδιδοὺς ἑαυτὸν, ἤρεσκε τοῖς τὰ κοινὰ κλέπτουσιν οὐκ ἐξελέγχων οὐδ' ἀκριβολογούμενος[11], ὥστε καταπιμπλαμένους τῶν δημοσίων ὑπερ-

---

1) Κατηγορῶν. 2) Δηλ. τοῦ κρινομένου ἐχθροῦ του. 3) = Ὅ,τι, τί κακὸν κτλ: 4) Ὅτι εἶχον σφετερισθῆ. 5) Σοφὸς ὁ ἀνήρ, δηλ. ὁ Θεμιστ. 6) Συγκεντρώσας. 7) Ἐν καιρῷ τῶν εὐθυνῶν, καθ' ὃν δηλ. χρόνον ὑπέβαλλε λογοδοσίαν τῆς διαχειρίσεως του. 8) Κατηγορῶν αὐτὸν ἐπὶ κλοπῇ κατώρθωσε νὰ τὸν καταδικάσωσι. 9) Ἀπηλλάγη τῆς χρηματικῆς ποινῆς. 10) Διωρίσθη. 11) Ἐξετάζων μετ' ἀκριβείας.

επαινεῖν τὸν Ἀριστείδην καὶ δεξιοῦσθαι[1] τὸν δῆμον ὑπὲρ αὐτοῦ, σπουδάζοντας ἄρχοντα πάλιν αἱρεθῆναι. Μελλόντων δὲ χειροτονεῖν ἐπετίμησε τοῖς Ἀθηναίοις· «Ὅτε μὲν γὰρ» ἔφη «πιστῶς καὶ καλῶς ὑμῖν ἦρξα, προὐπηλακίσθην[2]· ἐπεὶ δὲ πολλὰ τῶν κοινῶν καταπροεῖμαι[3] τοῖς κλέπτουσι θαυμαστὸς εἶναι δοκῶ[4] πολίτης. Αὐτὸς μὲν οὖν αἰσχύνομαι τῇ νῦν τιμῇ μᾶλλον ἢ τῇ πρῴην καταδίκῃ, συνάχθομαι δ' ὑμῖν, παρ' οἷς ἐνδοξότερόν ἐστι τοῦ σώζειν τὰ δημόσια τὸ χαρίζεσθαι τοῖς πονηροῖς.» Ταῦτα δ' εἰπὼν καὶ τὰς κλοπὰς ἐξελέγξας τοὺς μὲν τότε βοῶντας ὑπὲρ αὐτοῦ καὶ μαρτυροῦντας ἐπεστόμισε[5], τὸν δ' ἀληθινὸν καὶ δίκαιον ἀπὸ τῶν βελτίστων[6] ἔπαινον εἶχεν[7].

V. Ἐπεὶ δὲ Δᾶτις ὑπὸ Δαρείου πεμφθεὶς λόγῳ μὲν ἐπιθεῖναι δίκην[8] Ἀθηναίοις, ὅτι Σάρδεις ἐνέπρησαν, ἔργῳ δὲ καταστρέψασθαι[9] τοὺς Ἕλληνας, εἰς Μαραθῶνα παντὶ τῷ στόλῳ[10] κατέσχε[11] καὶ τὴν χώραν ἐπόρθει, τῶν δέκα καθεστώτων τοῖς Ἀθηναίοις[12] ἐπὶ τὸν πόλεμον στρατηγῶν μέγιστον μὲν εἶχεν ἀξίωμα Μιλτιάδης, δόξῃ δὲ καὶ δυνάμει δεύτερος ἦν Ἀριστείδης. Καὶ τότε περὶ τῆς μάχης γνώμῃ τῇ Μιλτιάδου προσθέμενος οὐ μικρὰν ἐποίησε ῥοπήν[13]· καὶ παρ' ἡμέραν ἑκάστου

---

1) Περιποιεῖσθαι, συγχαίρειν. 2) Ἐξηυτελίσθην. 3) Ἄφησα ν' ἁρπάσωσιν οἱ κλέπτοντες. 4) Θεωροῦμαι. 5) Ἀπεστόμωσε. 6) Πολιτῶν. 7) Ἐφείλκυσεν. 8) = Τιμωρῆσαι. 9) Μέσον = καθυποδουλῶσαι ἑαυτῷ. 10) Ὁ στόλος τῶν Περ. συνέκειτο ἐκ τριήρεων 600. 11) Προσωρμίσθη. 12) Τῶν ὑπὸ τῶν Ἀθ. διωρισμένων. 13) Συμφωνήσας τῇ γνώμῃ τοῦ Μιλτ. πολὺ συνετέλεσεν, εἰς τὸ νὰ [illegible] (ῥοπὴν) αἱ [illegible] δηλ. πρὸς τὴν τοῦ Μιλτ

στρατηγοῦ τὸ κράτος[1] ἔχοντος, ὡς περιῆλθεν εἰς αὐτὸν ἡ ἀρχή[2], παρέδωκε Μιλτιάδῃ, διδάσκων τοὺς συνάρχοντας, ὅτι τὸ πείθεσθαι καὶ ἀκολουθεῖν τοῖς εὖ φρονοῦσιν οὐκ αἰσχρὸν, ἀλλὰ σεμνόν ἐστι καὶ σωτήριον· Οὕτω δὲ πραΰνας τὴν φιλονεικίαν καὶ προτρεψάμενος αὐτοὺς ἀγαπᾷν[3] μιᾷ γνώμῃ τῇ κρατίστῃ χρωμένους, ἔρρωσε[4] τὸν Μιλτιάδην τῷ ἀπερισπάστῳ τῆς ἐξουσίας[5] ἰσχυρὸν γενόμενον. Χαίρειν γὰρ ἐῶν[6] ἕκαστος ἤδη τὸ παρ' ἡμέραν ἄρχειν ἐκείνῳ προσεῖχεν[7]. Ἐν δὲ τῇ μάχῃ, μάλιστα τῶν Ἀθηναίων τοῦ μέσου[8] πονήσαντος καὶ πλεῖστον ἐνταῦθα χρόνον τῶν βαρβάρων ἀντερεισάντων κατὰ τὴν Λεοντίδα καὶ τὴν Ἀντιοχίδα φυλὴν[9], ἠγωνίσαντο λαμπρῶς τεταγμένοι παρ' ἀλλήλους ὅ τε Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης· ὁ μὲν γὰρ Λεοντίδος ἦν, ὁ δ' Ἀντιοχίδος· ἐπεὶ δὲ τρεψάμενοι τοὺς βαρβάρους ἐνέβαλον εἰς τὰς ναῦς[10] καὶ πλέοντας οὐκ ἐπὶ νήσων[11] ἑώρων, ἀλλ' ὑπὸ τοῦ πνεύματος καὶ τῆς θαλάσσης εἴσω πρὸς τὴν Ἀττικὴν ἀποβιαζομένους, φηβηθέντες μὴ τὴν πόλιν ἔρημον λάβωσι τῶν ἀμυνομένων, ταῖς μὲν ἐννέα φυλαῖς ἠπείγοντο πρὸς τὸ ἄστυ καὶ κατήνυσαν[12] αὐθημερόν· ἐν δὲ Μαραθῶνι μετὰ τῆς ἑαυτοῦ φυλῆς Ἀριστεί-

1) Τὴν ἐξουσίαν, τὴν ἀρχηγίαν. 2) Ἡ ἀρχηγία. 3) Νὰ εὐχαριστῶνται ἀκολουθοῦντες μίαν γνώμην, τὴν ἀρίστην. 4) Ἐνίσχυσε. 5) Διὰ τοῦ ἀδιαιρέτου τῆς ἐξουσίας. 6) Χαίρειν ἐῶν = παραιτῶν. 7) Ὑπήκουε. 8) Τοῦ κέντρου τοῦ στρατοῦ παθόντος. 9) Οἱ βάρβ. ἐπέμειναν εἰς τὸ μέρος ἔνθα ἐμάχετο ἡ Λεοντὶς καὶ Ἀντιοχὶς φυλή. Οἱ Ἀθην. παρετάσσοντο διῃρημένοι κατὰ φυλάς. 10) Ἐνέβαλον εἰς τὰς ναῦς = τοὺς ἠνάγκασαν νὰ φύγωσιν εἰς τὰ πλοῖά των. 11) Οὐχὶ πρὸς τὸ μέρος τῶν νήσων (τοῦ Αἰγαίου δηλ. 12) Κατήνυσαν (ἐνν. τὴν ὁδὸν), διήνυσαν, ἔφθασαν.

δης ἀπολειφθεὶς φύλαξ τῶν αἰχμαλώτων καὶ τῶν λαφύρων οὐκ ἐψεύσατο τὴν δόξαν[1], ἀλλὰ χύδην μὲν ἀργύρου καὶ χρυσοῦ παρόντος, ἐσθῆτος δὲ παντοδαπῆς[2] καὶ χρημάτων ἄλλων ἀμυθήτων ἐν ταῖς σκηναῖς καὶ τοῖς ἡλωκόσι σκάφεσιν ὑπαρχόντων, οὔτ' αὐτὸς ἐπεθύμησε θιγεῖν[3] οὔτ' ἄλλον εἴασε, πλὴν εἴ τινες ἐκεῖνον λαθόντες ὠφελήθησαν· ὧν ἦν καὶ Καλλίας ὁ δᾳδοῦχος[4]. Τούτῳ γάρ τις, ὡς ἔοικε, τῶν βαρβάρων προσέπεσεν[5] οἰηθεὶς βασιλέα διὰ τὴν κόμην καὶ τὸ στρόφιον[6] εἶναι· προσκυνήσας δὲ καὶ λαβόμενος τῆς δεξιᾶς ἔδειξε πολὺ χρυσίον ἐν λάκκῳ τινὶ κατορωρυγμένον. Ὁ δὲ Καλλίας ὠμότατος ἀνθρώπων καὶ παρανομώτατος γενόμενος τὸν μὲν χρυσοῦν ἀνείλετο, τὸν δ' ἄνθρωπον, ὡς μὴ κατείποι[7] πρὸς ἑτέρους, ἀπέκτεινεν. Ἐκ τούτου φασὶ καὶ λακκοπλούτους ὑπὸ τῶν κωμικῶν τοὺς ἀπὸ τῆς οἰκίας[8] λέγεσθαι, σκωπτόντων εἰς τὸν τόπον[9], ἐν ᾧ τὸ χρυσίον ὁ Καλλίας εὗρεν. Ἀριστείδης δὲ τὴν ἐπώνυμον εὐθὺς ἀρχὴν ἦρξε. Καίτοι[10] φησὶν ὁ Φαληρεὺς Δημήτριος ἄρξαι τὸν ἄνδρα μικρὸν ἔμπροσθεν[11] τοῦ θανάτου μετὰ τὴν ἐν Πλαταιαῖς μάχην. Ἐν δὲ ταῖς ἀναγραφαῖς[12] μετὰ μὲν Ξανθιππίδην, ἐφ' οὗ Μαρδόνιος[13] ἡττήθη Πλα-

---

1) Δὲν διέψευσε τὴν περὶ ἑαυτοῦ δόξαν. 2) Ἐν περιληπτ. σημασ. ἀντί: ποικίλων ἐνδυμάτων. 3) = Ἐγγίσαι. Ἀόρ. τοῦ θιγγάνω. 4) Τιμητικὸν ἀξίωμα τῶν κρατούντων τὰς δᾷδας εἰς τὰ Ἐλευσίνια μυστήρια. 5) Ἔπεσεν εἰς τοὺς πόδας του. 6) Κεφαλόδεσμον, διότι ἡ περὶ τὴν κεφαλὴν τῶν ἱερέων ταινία ἦν ὁμοία τῇ τοῦ διαδήματος τοῦ βασ. τῶν Περσῶν. 7) Διὰ νὰ μὴ τὸ καταδώσῃ εἰς ἄλλους. 8) Οἱ ἐκ τῆς οἰκογενείας (τοῦ Καλλίου) καταγόμενοι. 9) Ἐκ τῆς θέσεως, ἐκ τοῦ μέρους, ὅπου κτλ. 10) Ἀλλ' ὅμως. 11) Πρό. 12) Εἰς δὲ τοὺς καταλόγους. 13) Ὁ Ξέρξης μετὰ τὴν ἐν Σαλαμῖνι

ταιᾶσιν, οὐδ' ὁμώνυμον Ἀριστείδην ἐν πάνυ πολλοῖς λαβεῖν ἔστι, μετὰ δὲ Φάνιππον, ἐφ' οὗ τὴν ἐν Μαραθῶνι μάχην ἐνίκων, εὐθὺς Ἀριστείδης ἄρχων ἀναγέγραπται.

VI. Πασῶν δὲ τῶν περὶ αὐτὸν ἀρετῶν ἡ δικαιοσύνη μάλιστα τοῖς πολλοῖς αἴσθησιν παρεῖχε διὰ τὸ τὴν χρείαν ἐνδελεχεστάτην[1] αὐτῆς καὶ κοινοτάτην ὑπάρχειν. Ὅθεν[2] ἀνὴρ πένης καὶ δημοτικὸς[3] ἐκτήσατο τὴν βασιλικωτάτην καὶ θειοτάτην προσηγορίαν τὸν Δίκαιον[4]· ὃ τῶν βασιλέων καὶ τυράννων οὐδεὶς ἐζήλωσεν, ἀλλὰ Πολιορκηταὶ[5] καὶ Κεραυνοὶ[6] καὶ Νικάτορες[7], ἔνιοι δ' Ἀετοὶ[8] καὶ Ἱέρακες[9] ἔχαιρον προσαγορευόμενοι, τὴν ἀπὸ τῆς βίας καὶ τῆς δυνάμεως, ὡς ἔοικε, μᾶλλον ἢ τὴν ἀπὸ τῆς ἀρετῆς δόξαν ἀγαπῶντες. Καίτοι τὸ θεῖον, ᾧ γλίχονται συνοικειοῦν καὶ συναφομοιοῦν αὑτούς, τρισὶ δοκεῖ διαφέρειν, ἀφθαρσίᾳ καὶ δυνάμει καὶ ἀρετῇ, ὧν σεμνότατον ἡ ἀρετὴ καὶ θειότατόν ἐστιν. Ἀφθάρτῳ μὲν γὰρ εἶναι καὶ τῷ κενῷ καὶ τοῖς στοιχείοις συμβέβηκε, δύναμιν δὲ καὶ σεισμοὶ καὶ κεραυνοὶ καὶ πνευμάτων ὁρμαὶ καὶ ῥευμάτων ἐπιφοραὶ μεγάλην ἔχουσι, δίκης[10] δὲ καὶ θέμιδος οὐδὲν ὅτι μὴ[11] τῷ φρονεῖν καὶ λογίζε-

ἧττάν του φυγὼν κατέλιπεν εἰς τὴν Ἑλλάδα τὸν στρατηγὸν Μαρδόνιον. 1) Διαρκεστάτην, συχνοτάτην. 2) Διό. 3) Καίτοι ὢν πολίτης τοῦ δήμου, (κατ' ἀντίθ. πρὸς τὸ βασιλικωτάτην. 4) Κατ' αἰτ. ἀντὶ γεν. (τοῦ Δικαίου), ὁμοιοπτώτως πρὸς τό: τὴν προσηγορίαν. 5) Δημήτριος ὁ υἱὸς τοῦ Ἀντιγόνου. 6) Πτολεμαῖος ὁ Κεραυνός, βασιλ. τῆς Μακεδονίας. 7) Σέλευκος ὁ Νικάτωρ, βασιλ. τῆς Συρίας. 8) Πύρρος ὁ Ἀετός. βασιλ. τῆς Ἠπείρου. 9) Ἀντίοχος ὁ Ἱέραξ, ἀδελφὸς Σελεύκου τοῦ Καλλινίκου. 10) Δίκη (ἐπὶ ἀνθρ.) = τὸ δίκαιον· θέμις (ἐπὶ Θεῶν) = ὅσιον. 11) Οὐδὲν ὅτι μὴ = οὐδὲν εἰ μὴ μόνον

σθαι τὸ θεῖον μεταλαγχάνει[1]. Διὸ καὶ τριῶν ὄντων, ἃ πεπόνθασιν[2] οἱ πολλοὶ πρὸς τὸ θεῖον, ζήλου καὶ φόβου καὶ τιμῆς, ζηλοῦν μὲν αὐτοὺς[3] καὶ μακαρίζειν ἐοίκασι κατὰ τὸ ἄφθαρτον[4] καὶ ἀΐδιον, ἐκπλήττεσθαι δὲ καὶ δεδιέναι[5] κατὰ τὸ κύριον[6] καὶ δυνατὸν, ἀγαπᾶν δὲ καὶ τιμᾶν καὶ σέβεσθαι κατὰ τὴν δικαιοσύνην. Ἀλλὰ, καίπερ οὕτω διακείμενοι, τῆς μὲν ἀθανασίας, ἣν ἡ φύσις ἡμῶν οὐ δέχεται, καὶ τῆς δυνάμεως, ἧς ἐν τύχῃ κεῖται τὸ πλεῖστον[7], ἐπιθυμοῦσι, τὴν δ' ἀρετὴν, ὃ μόνον ἐστὶ τῶν θείων ἀγαθῶν ἐφ' ἡμῖν[8], ἐν ὑστέρῳ[9] τίθενται, κακῶς φρονοῦντες[10], ὡς τὸν ἐν δυνάμει καὶ τύχῃ μεγάλῃ καὶ ἀρχῇ[11] βίον ἡ μὲν δικαιοσύνη ποιεῖ θεῖον, ἡ δ' ἀδικία θηριώδη.

VII. Τῷ δ' οὖν Ἀριστείδῃ συνέβη τὸ πρῶτον ἀγαπωμένῳ διὰ τὴν ἐπωνυμίαν[12] ὕστερον φθονεῖσθαι, μάλιστα μὲν τοῦ Θεμιστοκλέους λόγον εἰς τοὺς πολλοὺς ἐμβαλόντος[13] ὡς Ἀριστείδης ἀνῃρηκὼς[14] τὰ δικαστήρια τῷ κρίνειν ἅπαντα καὶ δικάζειν[15] λέληθε μοναρχίαν ἀδορυφόρητον ἑαυτῷ κατεσκευασμένος[16]· ἤδη δέ που καὶ ὁ δῆ-

---

[1]) Ἡ ἔννοια ἔχει οὕτως: «Τὸ θεῖον δι' οὐδὲν ἄλλο μετέχει δικαίου ὁσίου, παρὰ μόνον διότι κέκτηται φρόνησιν καὶ λογικὴν (=τῷ φρονεῖν καὶ τῷ λογίζεσθαι. [2]) Συναισθάνονται. [3]) Αὐτούς, τοὺς θεούς, τὸ θεῖον. [4]) Διὰ τὸ ὅτι εἶνε (οἱ θεοὶ) ἄφθαρτοι. [5]) Ἀντικμ: τοὺς θεούς. [6]) Διὰ τὸ ὅτι εἶνε (οἱ θεοὶ) κύριοι. [7]) Ἧς (δυνάμεως) τὸ πλεῖστον ἔγκειται ἐν τῇ τύχῃ, ἐξαρτᾶται ἐκ τῆς τύχης. [8]) Εἰς τὴν ἡμετέραν ἐξουσίαν. [9]) Ἐνν. μέρει: = θεωροῦσι τὴν ἀρετὴν ὡς κατωτέρου (ὡς ὑστέρῳ) λόγου ἄξιον (δήλ. ἀγαθόν. [10]) = Ἀγνοοῦντες ὡς (= ὅτι...) [11]) Ἐξουσίᾳ. [12]) Δηλ. τοῦ Δικαίου. [13]) Σπερμολογοῦντος εἰς τὸν ὄχλον. [14]) Καταστρέψας. [15]) Διὰ τὸ ὅτι κρίνει μόνος καὶ δικάζει ἅπαντα. [16]) Λέληθε κατεσκευασμένος = λεληθότως (χωρὶς νὰ τὸ ἐννοήσῃ τις)

μος ἐπὶ τῇ νίκῃ μέγα φρονῶν καὶ τῶν μεγίστων[1] ἀξιῶν αὐτὸν ἤχθετο[2] τοῖς ὄνομα καὶ δόξαν ὑπὲρ τοὺς πολλοὺς ἔχουσι. Καὶ συνελθόντες εἰς ἄστυ πανταχόθεν ἐξοστρακίζουσι[3] τὸν Ἀριστείδην, ὄνομα τῷ φθόνῳ τῆς δόξης φόβον τυραννίδος θέμενοι[4]. Μοχθηρίας γὰρ οὐκ ἦν κόλασις ὁ ἐξοστρακισμός, ἀλλ' ἐκαλεῖτο μὲν δι' εὐπρέπειαν ὄγκου καὶ δυνάμεως βαρυτέρας ταπείνωσις καὶ κόλουσις[5], ἦν δὲ φθόνου παραμυθία φιλάνθρωπος, εἰς ἀνήκεστον οὐδὲν[6], ἀλλ' εἰς μετάστασιν ἐτῶν δέκα[7] τὴν πρὸς τὸ λυποῦν ἀπερειδομένου δυσμένειαν. Ἐπεὶ δ' ἤρξαντό τινες ἀνθρώπους ἀγεννεῖς καὶ πονηροὺς ὑποβάλλειν τῷ πράγματι[8], τελευταῖον ἁπάντων Ὑπέρβολον ἐξοστρακίσαντες ἐπαύσαντο[9]. Λέγεται δὲ τὸν Ὑπέρβολον[10] ἐξοστρακισθῆναι διὰ τοιαύτην αἰτίαν. Ἀλκιβιάδης καὶ Νικίας μέγιστον ἐν τῇ πόλει δυνάμενοι διεστασίαζον. Ὡς οὖν ὁ δῆμος ἔμελλε φέρειν τὸ ὄστρακον καὶ δῆλος ἦν τὸν ἕτερον γράψων[11], διαλεχθέντες ἀλλήλοις καὶ τὰς στάσεις ἑκατέρας[12] εἰς ταὐτὸ συν-

---

ἔχει κατασκευάσει εἰς ἑαυτὸν μοναρχίαν ἄνευ (τῆς ἀνάγκης) δορυφόρων. 1) Ἐνν. ἀξιωμάτων: σύστοιχ. τοῦ ἀξιῶν=κρίνων ἑαυτὸν ἄξιον. 2) Ἠγανάκτει. 3) Ὁ δῆμος...ἐξοστρακίζουσι. Σχῆμα κατὰ σύνεσιν, ἕνεκεν τῆς περιληπτικῆς ἐννοίας τοῦ δήμου. 4) Ὄνομα θέμενοι ...=ἀποκαλέσαντες τὸν φθόνον των, τὸν ἐκ τῆς δόξης τοῦ Ἀριστείδου, φόβον τυραννίδος. Δηλ. τὸν ἐξωστράκισαν ὄχι διότι τὸν ἐφθόνουν, ἀλλὰ διότι ἐφοβοῦντο δῆθεν μὴ καταστῇ ὁ Ἀρ. τύραννος. 5) Κολόβωσις, ἐλάττωσις. Ὄγκου = ἀλαζονείας. 6) Εἰς οὐδὲν κακὸν ἀθεράπευτον. 7) = ἀλλ' εἰς τὴν ἐπὶ δεκαετίαν ἀπομάκρυνσίν του (ἐκ τῆς πόλεως δηλ. 8) Τῷ ἐξοστρακισμῷ. 9) Τοῦ ἐξοστρακίζειν. 10) Λυχνοποιός, ἐπιληψίμου χαρακτῆρος, δημαγωγὸς ἐν Ἀθήναις. 11) Ἐπὶ τοῦ ὀστράκου. 12) Ἀμφότερα τὰ κόμματα.

αγάγοντες[1] τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι παρεσκεύασαν. Ἐκ δὲ τούτου δυσχεράνας ὁ δῆμος ὡς καθυβρισμένον τὸ πρᾶγμα καὶ προπεπηλακισμένον[2] ἀφῆκε παντελῶς καὶ κατέλυσεν[3]. Ἦν δὲ τοιοῦτον, ὡς τύπῳ φράσαι[4], τὸ γινόμενον. Ὄστρακον λαβὼν ἕκαστος καὶ γράψας ὃν ἐβούλετο μεταστῆσαι[5] τῶν πολιτῶν, ἔφερεν εἰς ἕνα τόπον τῆς ἀγορᾶς περιπεφραγμένον ἐν κύκλῳ δρυφάκτοις. Οἱ δ' ἄρχοντες πρῶτον μὲν διηρίθμουν τὸ σύμπαν[6] ἐν ταὐτῷ τῶν ὀστράκων πλῆθος· εἰ γὰρ ἑξακισχιλίων ἐλάττονες οἱ γράψαντες εἶεν, ἀτελὴς ἦν ὁ ἐξοστρακισμός· ἔπειτα τῶν ὀνομάτων ἕκαστον ἰδίᾳ θέντες τὸν ὑπὸ τῶν πλείστων γεγραμμένον ἐξεκήρυττον[7] εἰς ἔτη δέκα, καρπούμενον τὰ[8] αὑτοῦ. Γραφομένων οὖν τότε τῶν ὀστράκων λέγεταί τινα τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων ἀναδόντα[9] τῷ Ἀριστείδῃ τὸ ὄστρακον ὡς ἑνὶ τῶν τυχόντων παρακαλεῖν, ὅπως Ἀριστείδην ἐγγράψειε. Τοῦ δὲ θαυμάσαντος καὶ πυθομένου, μή τι κακὸν αὐτὸν Ἀριστείδης πεποίηκεν «Οὐδὲν» εἶπεν[10] «οὐδὲ γινώσκω τὸν ἄνθρωπον, ἀλλ' ἐνοχλοῦμαι πανταχοῦ τὸν Δίκαιον ἀκούων.» Ταῦτα ἀκούσαντα τὸν Ἀριστείδην ἀποκρίνασθαι μὲν οὐδὲν, ἐγγράψαι δὲ τοὔνομα τῷ

1) Συνδιαλλάξαντες, συνενώσαντες. 2) Ὅτι ὁ ἐξοστρακισμὸς εἶχε χλευασθῇ, ἐξευτελισθῇ. 3) Τὸν κατήργησε. 4) Συνελόντι εἰπεῖν, ἐν συντομίᾳ. 5) **Μεταστῆσαι**: λέξις καθιερωμένη εἰς ὅρος τεχνικὸς ἐπὶ τῆς πράξεως τοῦ ἐξοστρακισμοῦ. **Καθίστημί τινα** = ἀπομακρύνω τινὰ τῆς πατρίδος του, (ἑπομ.) ἐξοστρακίζω. 6) Τὸ σύμπαν πλῆθος = τὸ σύνολον. 7) Διὰ κήρυκος ἐξήγγελον τὸν ἐπὶ δεκαετίαν ἐξοστρακισμὸν κτλ. 8) Τὰ ἑαυτοῦ κτήματα. Ἀπολαμβάνων τὰς προσόδους τῶν κτημάτων του. 9) Ἐγχειρίσαντα. 10) Τὸ ῥῆμα ἐτράπη εἰς ὀρθὸν ἀντὶ πλαγίου εἰπεῖν ὡς ἐξηρτ. ἐκ τοῦ λέγεται.

ὀστράκῳ καὶ ἀποδοῦναι. Τῆς δὲ πόλεως ἀπαλλαττόμενος[1] ἤδη, τὰς χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν εὔξατο τὴν ἐναντίαν, ὡς ἔοικεν, εὐχὴν τῷ Ἀχιλλεῖ, μηδένα καιρὸν[2] Ἀθηναίους καταλαβεῖν, ὃς ἀναγκάσει τὸν δῆμον Ἀριστείδου μνησθῆναι.

VIII. Τρίτῳ δ' ἔτει[3] Ξέρξου διὰ Θετταλίας καὶ Βοιωτίας ἐλαύνοντος ἐπὶ τὴν Ἀττικήν, λύσαντες[4] τὸν νόμον ἐψηφίσαντο τοῖς μεθεστῶσι[5] κάθοδον, μάλιστα φοβούμενοι τὸν Ἀριστείδην, μὴ προσθέμενος τοῖς πολεμίοις διαφθείρῃ καὶ μεταστήσῃ πολλοὺς τῶν πολιτῶν πρὸς τὸν βάρβαρον, οὐκ ὀρθῶς στοχαζόμενοι τοῦ ἀνδρός[6], ὅς γε καὶ πρὸ τοῦ δόγματος τούτου διετέλει προτρέπων καὶ παροξύνων τοὺς Ἕλληνας ἐπὶ τὴν ἐλευθερίαν, καὶ μετὰ τὸ δόγμα τοῦτο, Θεμιστοκλέους στρατηγοῦντος αὐτοκράτορος[7], πάντα συνέπραττε καὶ συνεβούλευεν, ἐνδοξότατον ἐπὶ σωτηρίᾳ κοινῇ ποιῶν τὸν ἔχθιστον[8]. Ὡς γὰρ ἀπολιπεῖν τὴν Σαλαμῖνα βουλευομένων τῶν περὶ Εὐρυβιάδην αἱ βαρβαρικαὶ τριήρεις νύκτωρ ἀναχθεῖσαι καὶ περιβαλοῦσαι τόν τε πόρον[9] ἐν κύκλῳ[10] καὶ τὰς νήσους[11] κατεῖχον, οὐδενὸς προειδότος τὴν κύκλωσιν ἧκεν ὁ Ἀριστείδης ἀπ' Αἰγίνης παραβό-

---

[1]) Ἀναχωρῶν. [2]) Καμμία περίστασις δεινὴ νὰ καταλάβῃ τὰς Ἀθ. [3]) Μετὰ ταῦτα, μετὰ τὸν ἐξοστρακισμόν, δηλ. τῷ 408 π. Χ. [4]) Καταργήσαντες. [5]) Δοτικὴ τῆς ἠθ. σχέσεως := ἐψήφισεν τὴν ἐπάνοδον (πρὸς χάριν) τῶν ἐξορίστων. [6]) Περὶ τοῦ ἀνδρός. [7]) Αὐτοκράτωρ στρατηγός, ὁ περιβεβλημένος ἀπόλυτον πληρεξουσιότητα ὑπὸ τῆς πολιτείας. [8]) Τὸν μᾶλλον ἄσπονδον ἐχθρόν του. [9]) Τὸν μεταξὺ Ἀττικῆς καὶ Σαλαμῖνος πορθμόν. [10]) Περικυκλώσασαι. [11]) Τὴν Σαλαμῖνα καὶ τὴν Ψυττάλειαν. Κατ' ἄλλους ὅμως: τὴν νῆσον.

λως[1] διὰ τῶν πολεμίων νεῶν διεκπλεύσας· καὶ νυκτὸς ἐλθὼν ἐπὶ τὴν σκηνὴν τοῦ Θεμιστοκλέους καὶ καλέσας αὐτὸν ἔξω μόνον «Ἡμεῖς» εἶπεν «ὦ Θεμιστόκλεις, εἰ σωφρονοῦμεν, ἤδη τὴν κενὴν καὶ μειρακιώδη στάσιν[2] ἀφέντες ἀρξώμεθα σωτηρίου καὶ καλῆς φιλονεικίας πρὸς ἀλλήλους ἁμιλλώμενοι σῶσαι τὴν Ἑλλάδα, σὺ μὲν ἄρχων καὶ στρατηγῶν, ἐγὼ δ' ὑπουργῶν[3] καὶ συμβουλεύων, ἐπεὶ καὶ νῦν σε πυνθάνομαι μόνον ἅπτεσθαι τῶν ἀρίστων λογισμῶν[4], κελεύοντα διαναυμαχεῖν ἐν τοῖς στενοῖς τὴν ταχίστην. Καί σοι τῶν συμμάχων ἀντιπραττόντων οἱ πολέμιοι συνεργεῖν ἐοίκασι[5]· τὸ γὰρ ἐν κύκλῳ καὶ κατόπιν ἤδη πέλαγος ἐμπέπλησται νεῶν πολεμίων, ὥστε καὶ τοὺς μὴ θέλοντας ἀνάγκη κατείληφεν ἀγαθοὺς ἄνδρας εἶναι καὶ μάχεσθαι φυγῆς γὰρ ὁδὸς οὐ λέλειπται.» Πρὸς ταῦτα ὁ Θεμιστοκλῆς εἶπεν «Οὐκ ἂν ἐβουλόμην, ὦ Ἀριστείδη, σὲ κατὰ τοῦτό μου κρείττονα γενέσθαι, πειράσομαι δὲ πρὸς καλὴν ἀρχὴν ἁμιλλώμενος ὑπερβάλλεσθαι τοῖς ἔργοις.» Ἅμα δ' αὐτῷ φράσας τὴν ὑφ' ἑαυτοῦ κατασκευασθεῖσαν ἀπάτην[6] πρὸς τὸν βάρβαρον παρεκάλει

---

1) Παρατόλμως, ῥιψοκινδύνως. 2) Διάστασιν, διχόνοιαν. 3) Ὑπὸ σὲ ὑπηρετῶν. 4) Ὅτι σκέπτεσαι, διαλογίζεσαι τὰ ἄριστα. 5) Καί σοι...συνεργεῖν ἐοίκασι=μετὰ σοῦ φαίνεται ὅτι συμπράττουσι, σὲ συντρέχουσι. 6) Τὴν ἀπάτην, περὶ ἧς ἀναφέρει ὁ Πλούτ. ἐν βίῳ Θεμιστοκλέους § XII. Ὁ Θεμιστ. δηλαδή, ἐπιθυμῶν ἡ ναυμαχία νὰ γίνῃ εἰς τὰ στενὰ πρὸς ἐξουδετέρωσιν τοῦ πλήθους τῶν Περσικῶν πλοίων, ἐμήνυσε κρυφίως διὰ τοῦ Σικίννου εἰς τοὺς Πέρσας ὅτι δῆθεν οἱ Ἕλληνες διαλογίζονται νὰ φύγωσιν ἀπὸ τὴν Σαλαμῖνα, οὕτω δ' ἔπεισεν αὐτοὺς νὰ περικυκλώσωσι τὴν νῆσον καὶ νὰ ὑποστῶσι τὴν ναυμαχίαν εἰς τὸ μεταξὺ αὐτῆς καὶ τῆς Στερεᾶς στενόν.

πείθειν τὸν Εὐρυβιάδην καὶ διδάσκειν, ὡς ἀμήχανόν[1] ἐστι σωθῆναι μὴ ναυμαχήσαντας· εἶχε γὰρ αὐτοῦ μᾶλλον πίστιν[2]. Ὅθεν ἐν τῷ συλλόγῳ τῶν στρατηγῶν εἰπόντος Κλεοκρίτου τοῦ Κορινθίου πρὸς τὸν Θεμιστοκλέα, μηδ' Ἀριστείδῃ τὴν γνώμην ἀρέσκειν αὐτοῦ[3], παρόντα γὰρ σιωπᾶν, ἀντεῖπεν ὁ Ἀριστείδης, ὡς οὐκ ἂν ἐσιώπα μὴ λέγοντος[4] τὰ ἄριστα τοῦ Θεμιστοκλέους· νῦν δ' ἡσυχίαν ἄγειν οὐ δι' εὔνοιαν τοῦ ἀνδρός, ἀλλὰ τὴν γνώμην ἐπαινῶν.

IX. Οἱ μὲν οὖν ναύαρχοι τῶν Ἑλλήνων ταῦτ' ἔπραττον. Ἀριστείδης δ' ὁρῶν τὴν Ψυττάλειαν, ἣ πρὸ τῆς Σαλαμῖνος ἐν τῷ πόρῳ κεῖται νῆσος οὐ μεγάλη, πολεμίων ἀνδρῶν[5] μεστὴν οὖσαν, ἐμβιβάσας εἰς ὑπηρετικὰ[6] τοὺς προθυμοτάτους καὶ μαχιμωτάτους τῶν πολιτῶν προσέμιξε τῇ Ψυτταλείᾳ, καὶ μάχην πρὸς τοὺς βαρβάρους συνάψας ἀπέκτεινε πάντας, πλὴν ὅσοι τῶν ἐπιφανῶν ζῶντες ἥλωσαν[7]. Ἐν δὲ τούτοις ἦσαν ἀδελφῆς βασιλέως ὄνομα[8] Σανδαύκης τρεῖς παῖδες, οὓς εὐθὺς ἀπέστειλε πρὸς τὸν Θεμιστοκλέα· καὶ λέγονται κατά τι λόγιον[9], τοῦ μάντεως Εὐφραντίδου κελεύσαντος, ὠμηστῇ[10] Διονύσῳ καθιερευθῆναι. Τὴν δὲ νησῖδα τοῖς ὅπλοις[11] πανταχόθεν ὁ Ἀριστείδης περιστέψας[12] ἐφήδρευε

1) Ἀδύνατον. 2) Διότι εἶχε περισσοτέρα ἢ αὐτὸς (ὁ Εὐρυβ.) πεποίθησιν. 3) Τοῦ Θεμιστ. 4) Ἐὰν δὲν ἔλεγε. 5) 400 περίπου κατὰ τὸν Παυσανίαν. 6) Πλοῖα. 7) Ἀντὶ τοῦ ἀττ. ἑάλωσαν =ἐζωγρήθησαν. 8)=Ὀνομαζομένης. 9) Χρησμόν. 10) Ἐπίθετον ἀποδιδόμενον εἰς τὸν Διόνυσον, ὃν ὑπελάμβανον ὡς τρώγοντα μετὰ τῶν Μαινάδων ὠμὰ κρέατα, ἤτοι τὰς προσφερομένας αὐτῷ ἀνθρωποθυσίας. 11)=Τοῖς ὁπλίταις. 12) Περικυκλώσας (ὡς διὰ στεφάνης.

τοῖς ἐκφερομένοις πρὸς αὐτήν, ὡς μήτε τῶν φίλων τινὰ διαφθαρῆναι μήτε τῶν πολεμίων διαφυγεῖν. Ὁ γὰρ πλεῖστος ὠθισμὸς τῶν νεῶν καὶ τῆς μάχης τὸ καρτερώτατον ἔοικε περὶ τὸν τόπον ἐκεῖνον γενέσθαι· διὸ καὶ τρόπαιον ἕστηκεν[1] ἐν τῇ Ψυτταλείᾳ. Μετὰ δὲ τὴν μάχην ὁ Θεμιστοκλῆς ἀποπειρώμενος τοῦ Ἀριστείδου καλὸν μὲν εἶναι καὶ τὸ πεπραγμένον αὐτοῖς[2] ἔργον ἔλεγε, κρεῖττον δὲ λείπεσθαι τὸ λαβεῖν[3] ἐν τῇ Εὐρώπῃ τὴν Ἀσίαν, ἀναπλεύσαντας εἰς Ἑλλήσποντον τὴν ταχίστην καὶ τὸ ζεῦγμα[4] διακόψαντας. Ἐπεὶ δ' Ἀριστείδης ἀνακραγὼν τοῦτον μὲν ἐκέλευε τὸν λόγον καταβαλεῖν, σκοπεῖν δὲ καὶ ζητεῖν, ὅπως τὴν ταχίστην ἐκβάλωσι τὸν Μῆδον ἐκ τῆς Ἑλλάδος, μὴ κατακλεισθεὶς ἀπορίᾳ φυγῆς μετὰ τοσαύτης δυνάμεως τραπῇ πρὸς ἄμυναν ὑπ' ἀνάγκης, οὕτω πέμπει πάλιν Ἀρνάκην εὐνοῦχον ὁ Θεμιστοκλῆς ἐκ τῶν αἰχμαλώτων κρύφα, φράσαι τῷ βασιλεῖ κελεύσας, ὅτι[5] πλεῖν ἐπὶ τὰς γεφύρας ὡρμημένους τοὺς Ἕλληνας αὐτὸς ἀποστρέψειε σώζεσθαι βασιλέα βουλόμενος.

X. Ἐκ τούτου[6] Ξέρξης μὲν περίφοβος γενόμενος εὐθὺς ἐπὶ τὸν Ἑλλήσποντον ἠπείγετο[7], Μαρδόνιος δὲ τοῦ στρατοῦ τὸ μαχιμώτατον ἔχων περὶ τριάκοντα μυριάδας ὑπελείπετο, καὶ φοβερὸς ἦν ἀπ' ἰσχυρᾶς τῆς περὶ τὸ πεζὸν ἐλπίδος[8] ἀπειλῶν τοῖς Ἕλλησι καὶ γρά-

---

1) = Ἔχει στηθῇ ὄρθιον. 2) Ποιητ. αἴτ: = ὑπ' αὐτῶν. 3) Τὸ νὰ συλλάβῃ τοὺς στρατοὺς τῆς Ἀσίας ἐντὸς τῆς Εὐρώπης. 4) Τὰς διὰ πλοίων γεφύρας, δι' ὧν ἔζευξε τὸν Ἑλλήσπ. 5) Ὅτι ἐνῷ εἶχον ξεκινήσει οἱ Ἕλληνες νὰ πλέωσι πρὸς διάλυσιν τῶν γεφυρῶν αὐτὸς τοὺς ἀπέτρεψε...κτλ. 6) Ἕνεκεν τούτου. 7) Ἔσπευδε. 8) Διότι πολὺ ἤλπιζεν εἰς τὰς πεζικάς του δυνάμεις.

φων τοιαῦτα· «Νενικήκατε θαλασσίοις ξύλοις χερσαίους ἀνθρώπους οὐκ ἐπισταμένους κώπην ἐλαύνειν· ἀλλὰ νῦν πλατεῖα μὲν ἡ Θετταλῶν γῆ, καλὸν[1] δὲ τὸ Βοιώτιον πεδίον ἀγαθοῖς ἱππεῦσι καὶ ὁπλίταις ἐναγωνίσασθαι.» Πρὸς δὲ Ἀθηναίους ἔπεμψεν ἰδίᾳ γράμματα καὶ λόγους[2] παρὰ βασιλέως, τήν τε πόλιν αὐτοῖς ἀναστήσειν[3] ἐπαγγελλομένου καὶ χρήματα πολλὰ δώσειν καὶ τῶν Ἑλλήνων κυρίους καταστήσειν ἐκποδὼν τοῦ πολέμου γενομένους[4]. Οἱ δὲ Λακεδαιμόνιοι πυθόμενοι ταῦτα καὶ δείσαντες ἔπεμψαν Ἀθήναζε πρέσβεις, δεόμενοι τῶν Ἀθηναίων, ὅπως παῖδας μὲν καὶ γυναῖκας εἰς Σπάρτην ἀποστείλωσι, τοῖς δὲ πρεσβυτέροις τροφὰς παρ' αὐτῶν λαμβάνωσιν· ἰσχυρὰ γὰρ ἦν ἀπορία περὶ τὸν δῆμον ἀπολωλεκότα τὴν χώραν καὶ τὴν πόλιν. Οὐ μὴν ἀλλὰ τῶν πρέσβεων ἀκούσαντες, Ἀριστείδου ψήφισμα γράψαντος, ἀπεκρίναντο θαυμαστὴν ἀπόκρισιν, τοῖς μὲν πολεμίοις συγγνώμην ἔχειν[5] φάσκοντες, εἰ πάντα πλούτου καὶ χρημάτων ὤνια νομίζοιεν[6], ὧν κρεῖττον οὐδὲν ἴσασιν, ὀργίζεσθαι δὲ Λακεδαιμονίοις, ὅτι τὴν πενίαν καὶ τὴν ἀπορίαν τὴν νῦν παροῦσαν Ἀθηναίοις μόνον ὁρῶσι, τῆς δ' ἀρετῆς καὶ τῆς φιλοτιμίας ἀμνημονοῦσιν ἐπὶ σιτίοις ὑπὲρ τῆς Ἑλλάδος ἀγωνίζεσθαι παρακαλοῦντες. Ταῦτα γράψας Ἀριστείδης καὶ τοὺς πρέσβεις εἰς τὴν Ἐκκλησίαν παραγαγὼν[7], Λακεδαιμονίοις μὲν

[1]) Κατάλληλος ἡ πεδιὰς... διὰ νὰ ἀγωνισθῶσιν ἐν αὐτῇ. [2]) Προτάσεις. [3]) Ὑποσχομένου νὰ τοῖς ἀνοικοδομήσῃ τὴν πόλιν κτλ. [4]) = Εἰ ἐκ ποδῶν γένοιντο (ἐὰν παραιτηθῶσι) τοῦ πολέμου. [5]) = Συγγνώμην παρέχειν, συγχωρεῖν. [6]) Ἐὰν νομίζωσιν ὅτι ὅλα ἀγοράζονται (ὤνια) διὰ πλούτου καὶ χρημάτων. [7]) Ὁδηγήσας τοὺς πρέσβεις εἰς τὴν συνέλευσιν τοῦ δήμου.

ἐκέλευσε φράζειν[1], ὡς οὐκ ἔστι χρυσοῦ τοσοῦτον πλῆθος οὔθ' ὑπὲρ γῆν οὔθ' ὑπὸ γῆν, ὅσον 'Αθηναῖοι δέξαιντο ἂν πρὸ τῆς τῶν Ἑλλήνων ἐλευθερίας[2]. Τοῖς δὲ παρὰ Μαρδονίου[3] τὸν ἥλιον δείξας «Ἄχρι ἂν οὗτος» ἔφη «ταύτην πορεύηται τὴν πορείαν 'Αθηναῖοι πολεμήσουσι Πέρσαις ὑπὲρ τῆς δεδῃωμένης χώρας καὶ τῶν ἠσεβημένων καὶ κατακεκαυμένων ἱερῶν.» Ἔτι δὲ ἀρὰς θέσθαι τοὺς ἱερεῖς[4] ἔγραψεν, εἴ τις[5] ἐπικηρυκεύσαιτο Μήδοις[6] ἢ τὴν συμμαχίαν ἀπολίποι τῶν Ἑλλήνων. Ἐμβαλόντος δὲ Μαρδονίου τὸ δεύτερον εἰς τὴν 'Αττικήν, αὖθις εἰς Σαλαμῖνα διεπέρασαν[7]. 'Αριστείδης δὲ πεμφθεὶς[8] εἰς Λακεδαίμονα τῆς μὲν βραδυτῆτος αὐτοῖς ἐνεκάλει[9] καὶ τῆς ὀλιγωρίας, προεμένοις αὖθις τῷ βαρβάρῳ τὰς 'Αθήνας, ἠξίου δὲ πρὸς τὰ ἔτι σωζόμενα τῆς Ἑλλάδος βοηθεῖν. Ταῦτα ἀκούσαντες οἱ Ἔφοροι μεθ' ἡμέραν[10] μὲν ἐδόκουν παίζειν καὶ ῥᾳθυμεῖν ἑορτάζοντες· ἦν γὰρ αὐτοῖς Ὑακίνθια[11]· νυκτὸς δὲ πεντακισχιλίους Σπαρτιατῶν ἐπιλέξαντες, ὧν ἕκαστος ἑπτὰ περὶ αὐτὸν εἵλωτας εἶχεν, ἐξέπεμψαν οὐκ εἰδότων τῶν

---

[1]) Προέτεινε τοῖς 'Αθην. νὰ εἴπωσιν εἰς τοὺς Λακεδ...κτλ. [2]) Θὰ ἠδύναντο νὰ δεχθῶσιν εἰς ἀντάλλαγμα (γιγνόμενοι δηλ. προδόται) τῆς ἐλευθερίας τῶν Ἑλλ. [3]) 'Ενν: πεμφθεῖσι πρέσβεσι. [4]) Οἱ ἱερεῖς νὰ ἐκφέρωσι κατάρας (αἵτινες ἐγράφοντο ἐπὶ πινάκων καὶ ἐστήνοντο δημοσίᾳ. [5]) = Ὅστις. [6]) Ἤθελε διὰ κήρυκος συνθηκολογήσει περὶ φιλίας πρὸς τοὺς Μήδους. [7]) Διεπορθμεύθησαν οἱ 'Αθ. εἰς τὴν Σαλαμ. [8]) 'Ενν. πρέσβυς. [9]) 'Εμέμφετο αὐτοὺς ἐπὶ τῇ ἀργοπορίᾳ καὶ ἀμελείᾳ των, διότι ἐγκατέλιπον (προεμένοις, μ. ἀόρ. β'. τοῦ προΐεμαι. [10]) = Τὴν μὲν ἡμέραν ἐφαίνοντο κτλ. [11]) Ἑορτὴ πρὸς ἀνάμνησιν τοῦ Ὑακίνθου, ὅστις, φονευθεὶς ἐκ λάθους ὑπὸ τοῦ 'Απόλλωνος, μετεμορφώθη εἰς τὸ ὁμώνυμον ἄνθος.

Ἀθηναίων[1]. Ἐπεὶ δὲ πάλιν ἐγκαλῶν ὁ Ἀριστείδης προσῆλθεν, οἱ δὲ σὺν γέλωτι ληρεῖν αὐτὸν ἔφασκον καὶ καθεύδειν, ἤδη γὰρ ἐν Ὀρεστείῳ τὸν στρατὸν εἶναι πορευόμενον ἐπὶ τοὺς ξένους (ξένους γὰρ ἐκάλουν τοὺς Πέρσας), οὐ κατὰ καιρὸν[2] ἔφη παίζειν αὐτοὺς ὁ Ἀριστείδης, ἀντὶ τῶν πολεμίων τοὺς φίλους ἐξαπατῶντας. Ταῦθ' οἱ περὶ τὸν Ἰδομενέα λέγουσιν. Ἐν δὲ τῷ ψηφίσματι τοῦ Ἀριστείδου πρεσβευτὴς οὐκ αὐτός, ἀλλὰ Κίμων καὶ Ξάνθιππος καὶ Μυρωνίδης φέρονται.

XI. Χειροτονηθεὶς δὲ στρατηγὸς αὐτοκράτωρ ἐπὶ τὴν μάχην, καὶ τῶν Ἀθηναίων ὀκτακισχιλίους ὁπλίτας ἀναλαβών, ἧκεν εἰς Πλαταιάς. Ἐκεῖ δὲ καὶ Παυσανίας ὁ τοῦ σύμπαντος ἡγούμενος Ἑλληνικοῦ συνέμιξεν[3] ἔχων τοὺς Σπαρτιάτας, καὶ τῶν ἄλλων Ἑλλήνων ἐπέρρει[4] τὸ πλῆθος. Τῶν δὲ βαρβάρων τὸ μὲν ὅλον τῆς στρατοπεδείας παρὰ τὸν Ἀσωπὸν ποταμὸν παρεκτεταμένης οὐδεὶς ἦν ὅρος[5] διὰ τὸ μέγεθος, περὶ δὲ τὰς ἀποσκευὰς καὶ τὰ κυριώτατα[6] τεῖχος περιεφράξαντο τετράγωνον, οὗ τῶν πλευρῶν ἑκάστη μῆκος ἦν δέκα σταδίων. Παυσανίᾳ μὲν οὖν καὶ τοῖς Ἕλλησι κοινῇ Τισαμενὸς ὁ Ἠλεῖος ἐμαντεύσατο, καὶ προεῖπε νίκην ἀμυνομένοις[7] καὶ μὴ προεπιχειροῦσιν· Ἀριστείδου δὲ πέμψαντος εἰς Δελφοὺς ἀνεῖλεν ὁ θεὸς[8] Ἀθηναίους

---

1) Ἐν ἀγνοίᾳ τῶν Ἀθην. 2) Ἐν καταλλήλῳ καιρῷ. 3) Ἡνώθη. 4) Συνέρρεεν εἰς τὸ μέρος ἐκεῖνο. 5) = Οὐδὲν ὑπῆρχεν ὅριον, τέρμα, τέλος (ἦτο, ὡς εἰπεῖν, ἀτελεύτητος. 6) Τὰ χρησιμώτατα ἢ πολυτιμώτατα τῶν σκευῶν των. 7) Ἐὰν ἀποκρούωσι (τοὺς βαρβ.) καὶ δὲν ἐπιχειρῶσι πρῶτοι τὴν ἐπίθεσιν. 8) Ἔδωκε χρησμὸν ὁ θεὸς Ἀπόλλων.

καθυπερτέρους ἔσεσθαι τῶν ἐναντίων εὐχομένους[1] τῷ Διῒ καὶ τῇ Ἥρᾳ τῇ Κιθαιρωνίᾳ καὶ Πανὶ καὶ νύμφαις Σφραγίτισι, καὶ θύοντας ἥρωσιν Ἀνδροκράτει, Λεύκωνι, Πεισάνδρῳ, Δαμοκράτει, Ὑψίωνι, Ἀκταίωνι, Πολυΐδῳ, καὶ τὸν κίνδυνον[2] ἐν γᾷ[3] ἰδίᾳ ποιουμένους ἐν τῷ πεδίῳ τᾶς Δάματρος τᾶς Ἐλευσινίας καὶ τᾶς Κόρας. Οὗτος ὁ χρησμὸς ἀνενεχθεὶς[4] ἀπορίαν τῷ Ἀριστείδῃ παρεῖχεν. Οἱ μὲν γὰρ ἥρωες, οἷς ἐκέλευε θύειν, ἀρχηγέται Πλαταιέων ἦσαν, καὶ τὸ τῶν Σφραγιτίδων νυμφῶν ἄντρον ἐν μιᾷ κορυφῇ τοῦ Κιθαιρῶνός ἐστιν, εἰς δυσμὰς ἡλίου θερινὰς[5] τετραμμένον, ἐν ᾧ καὶ μαντεῖον ἦν πρότερον, ὥς φασι, καὶ πολλοὶ κατείχοντο[6] τῶν ἐπιχωρίων, οὓς νυμφολήπτους προσηγόρευον. Τὸ δὲ τῆς Ἐλευσινίας Δήμητρος πεδίον, καὶ τὸ τὴν μάχην ἐν ἰδίᾳ χώρᾳ ποιουμένοις τοῖς Ἀθηναίοις νίκην δίδοσθαι, πάλιν εἰς τὴν Ἀττικὴν ἀνεκαλεῖτο καὶ μεθίστη τὸν πόλεμον. Ἔνθα τῶν Πλαταιέων ὁ στρατηγὸς Ἀρίμνηστος ἔδοξε κατὰ τοὺς ὕπνους[7] ὑπὸ τοῦ Διὸς τοῦ Σωτῆρος ἐπερωτώμενον αὐτὸν, ὅτι δὴ πράττειν δέδοκται τοῖς Ἕλλησιν, εἰπεῖν «Αὔριον εἰς Ἐλευσῖνα τὴν στρατιὰν ἀπάξομεν, ὦ δέσποτα, καὶ διαμαχούμεθα τοῖς βαρβάροις ἐκεῖ κατὰ τὸ πυθόχρηστον[8].» Τὸν οὖν θεὸν φάναι διαμαρτάνειν αὐτοὺς τοῦ παντός[9]· αὐτόθι γὰρ εἶναι περὶ τὴν Πλα-

[1]) Ἐὰν εὔχωνται. [2]) Τὴν μάχην. [3]) Δωρικῶς ἀντὶ = γῇ. Ὁμοίως καί: τᾶς Δάματρος = τῆς Δήμητρος, τᾶς Κόρας = τῆς Κόρης, διότι οἱ χρησμοὶ ἐξηγγέλλοντο εἰς δωρικὴν διάλεκτον. [4]) Κομισθείς. [5]) Εἰς θερινὰς δυσμὰς τοῦ ἡλίου, δηλ. βορειοδυτικῶς τοῦ Κιθαιρῶνος. [6]) Ἐνν: ὑπὸ τῶν Νυμφῶν, (ἐπεμ.) = ἐνεθουσίων. [7]) Τῷ ἐφάνη καθ' ὕπνον (ὠνειρεύθη) ὅτι ἠρωτᾶτο κτλ. [8]) Κατὰ τὸν χρησμὸν τοῦ Πυθίου Ἀπόλλωνος. [9]) Διαμαρτάνειν

ταϊκὴν τὰ πυθόχρηστα καὶ ζητοῦντας ἀνευρήσειν. Τούτων ἐναργῶς τῷ Ἀριμνήστῳ φανέντων ἐξεγρόμενος[1] τάχιστα μετεπέμψατο[2] τοὺς ἐμπειροτάτους καὶ πρεσβυτάτους τῶν πολιτῶν, μεθ' ὧν διαλεγόμενος καὶ συνδιαπορῶν εὗρεν, ὅτι τῶν Ὑσιῶν πλησίον ὑπὸ τὸν Κιθαιρῶνα ναός ἐστιν ἀρχαῖος πάνυ Δήμητρος Ἐλευσινίας καὶ Κόρης προσαγορευόμενος. Εὐθὺς οὖν παραλαβὼν τὸν Ἀριστείδην ἦγεν ἐπὶ τὸν τόπον, εὐφυέστατον[3] ὄντα παρατάξαι φάλαγγα πεζικὴν ἱπποκρατουμένοις[4], διὰ τὰς ὑπωρείας τοῦ Κιθαιρῶνος ἄφιππα[5] ποιούσας τὰ καταλήγοντα καὶ συγκυροῦντα τοῦ πεδίου πρὸς τὸ ἱερόν[6]. Αὐτοῦ δ' ἦν καὶ τὸ τοῦ Ἀνδροκράτους ἡρῷον ἐγγύς, ἄλσει πυκνῶν καὶ συσκίων δένδρων περιεχόμενον. Ὅπως δὲ μηδὲν ἐλλιπὲς ἔχῃ πρὸς τὴν ἐλπίδα τῆς νίκης ὁ χρησμός, ἔδοξε τοῖς Πλαταιεῦσιν, Ἀριμνήστου γνώμην εἰπόντος, ἀνελεῖν τὰ πρὸς τὴν Ἀττικὴν ὅρια τῆς Πλαταιΐδος καὶ τὴν χώραν ἐπιδοῦναι τοῖς Ἀθηναίοις ὑπὲρ τῆς Ἑλλάδος ἐν οἰκείᾳ κατὰ τὸν χρησμὸν ἐναγωνίσασθαι. Ταύτην μὲν οὖν τὴν φιλοτιμίαν τῶν Πλαταιέων οὕτω συνέβη περιβόητον γενέσθαι, ὥστε καὶ Ἀλέξανδρον ἤδη βασιλεύοντα τῆς Ἀσίας ὕστερον πολλοῖς ἔτεσι τειχίζοντα τὰς Πλαταιὰς ἀνειπεῖν Ὀλυμπίασιν ὑπὸ κήρυκος, ὅτι ταύτην ὁ βασιλεὺς ἀποδίδωσι Πλαταιεῦσι τῆς ἀνδραγαθίας

αὐτοὺς τοῦ παντὸς = ὅτι αὐτοὶ καθ' ὁλοκληρίαν ἀπατῶνται. 1) Ἐγερθεὶς τοῦ ὕπνου. 2) Ἔστειλε καὶ ἐκάλεσε. 3) Καταλληλότατον. 4) = Οὖσιν κατὰ τὸ ἱππικὸν ἀσθενεστέροις τῶν βαρβάρων. 6) Ἄφιππα = ἀκατάλληλα διὰ τὸ ἱππικόν. 3) Τὰ μέρη τῆς πεδιάδος τὰ ὁποῖα ἔληγον καὶ συνηντῶντο ἐγγὺς τοῦ ναοῦ.

καὶ τῆς μεγαλοψυχίας χάριν[1], ἐπειδὴ τοῖς Ἕλλησιν ἐν τῷ Μηδικῷ πολέμῳ τὴν χώραν ἐπέδωκαν καὶ παρέσχον αὐτοὺς προθυμοτάτους.

XII. Ἀθηναίοις δὲ Τεγεᾶται περὶ τάξεως[2] ἐρίσαντες ἠξίουν, ὥσπερ ἀεὶ, Λακεδαιμονίων τὸ δεξιὸν ἐχόντων κέρας, αὐτοὶ τὸ εὐώνυμον ἔχειν, πολλὰ τοὺς αὐτῶν προγόνους ἐγκωμιάζοντες. Ἀγανακτούντων δὲ τῶν Ἀθηναίων παρελθὼν ὁ Ἀριστείδης εἶπε· «Τεγεάταις μὲν ἀντειπεῖν περὶ εὐγενείας καὶ ἀνδραγαθίας ὁ παρὼν καιρὸς οὐ δίδωσι[3], πρὸς δ' ὑμᾶς, ὦ Σπαρτιᾶται, καὶ τοὺς ἄλλους Ἕλληνας λέγομεν, ὅτι τὴν ἀρετὴν οὐκ ἀφαιρεῖται τόπος οὐδὲ δίδωσιν· ἣν δ' ἂν ὑμεῖς ἡμῖν τάξιν ἀποδῶτε πειρασόμεθα κοσμοῦντες καὶ φυλάττοντες μὴ καταισχύνειν τοὺς προηγωνισμένους ἀγῶνας. Ἥκομεν γὰρ οὐ τοῖς συμμάχοις στασιάσοντες, ἀλλὰ μαχούμενοι τοῖς πολεμίοις, οὐδ' ἐπαινεσόμενοι τοὺς πατέρας, ἀλλ' αὐτοὺς[4] ἄνδρας ἀγαθοὺς τῇ Ἑλλάδι παρέξοντες· ὡς οὗτος ὁ ἀγὼν δείξει καὶ πόλιν καὶ ἄρχοντα καὶ ἰδιώτην ὁπόσου τοῖς Ἕλλησιν ἄξιός ἐστι.» Ταῦτ' ἀκούσαντες οἱ σύνεδροι καὶ ἡγεμόνες ἀπεδέξαντο τοὺς Ἀθηναίους καὶ θάτερον[5] αὐτοῖς κέρας ἀπέδοσαν.

XIII. Οὔσης δὲ μετεώρου[6] τῆς Ἑλλάδος καὶ μάλιστα τοῖς Ἀθηναίοις τῶν πραγμάτων ἐπισφαλῶς ἐχόντων[7], ἄνδρες ἐξ οἴκων ἐπιφανῶν καὶ χρημάτων μεγάλων πένητες ὑπὸ τοῦ πολέμου γεγονότες καὶ πᾶσαν ἅμα τῷ

[1]) Ταύτην ἀποδίδωσι χάριν = τὴν χαρίζει. [2]) = Περὶ τῆς ἐν ὥρᾳ μάχης θέσεως. [3]) Δὲν ἐπιτρέπει. [4]) Ἡμᾶς αὐτούς. [5]) Τὸ ἓν ἐκ τῶν δύο, δηλ. τὸ ἀριστερὸν ὅπερ ἐζήτουν. [6]) Ἀνήσυχος, σηκωμένη 'στὸ πόδι. [7]) = Μὴ ὄντων ἀσφαλῶν.

πλούτῳ τὴν ἐν τῇ πόλει δύναμιν αὐτῶν καὶ δόξαν οἰχομένην ὁρῶντες, ἑτέρων τιμωμένων καὶ ἀρχόντων, συνῆλθον εἰς οἰκίαν τινὰ τῶν ἐν Πλαταιαῖς κρύφα καὶ συνωμόσαντο καταλύσειν τὸν δῆμον· εἰ δὲ μὴ προχωροίη[1], λυμανεῖσθαι[2] τὰ πράγματα καὶ τοῖς βαρβάροις προδώσειν. Πραττομένων δὲ τούτων ἐν τῷ στρατοπέδῳ καὶ συχνῶν ἤδη διεφθαρμένων, αἰσθόμενος ὁ Ἀριστείδης καὶ φοβηθεὶς τὸν καιρὸν[3], ἔγνω μήτ' ἐᾶν ἀμελούμενον τὸ πρᾶγμα μήθ' ἅπαν ἐκκαλύπτειν[4], ἀγνοούμενον[5] εἰς ὅσον ἐκβήσεται πλῆθος ὁ ἔλεγχος τὸν τοῦ δικαίου ζητῶν ὅρον ἀντὶ τοῦ συμφέροντος. Ὀκτὼ δή τινας ἐκ πολλῶν συνέλαβε· καὶ τούτων δύο μέν, οἷς πρώτοις ἡ κρίσις προεγράφη[6], οἳ καὶ πλείστην αἰτίαν εἶχον[7], Αἰσχίνης Λαμπτρεὺς καὶ Ἀγησίας Ἀχαρνεύς, ᾤχοντο φεύγοντες[8] ἐκ τοῦ στρατοπέδου, τοὺς δ' ἄλλους[9] ἀφῆκε, θαρσῆσαι διδοὺς καὶ μεταγνῶναι τοῖς ἔτι λανθάνειν οἰομένοις[10], ὑπειπὼν ὡς μέγα δικαστήριον ἔχουσι τὸν πόλεμον ἀπολύσασθαι τὰς αἰτίας ὀρθῶς καὶ δικαίως τῇ πατρίδι βουλευόμενοι.

XIV. Μετὰ ταῦτα Μαρδόνιος, ᾧ[11] πλεῖστον ἐδόκει διαφέρειν, τῶν Ἑλλήνων ἀπεπειρᾶτο, τὴν ἵππον ἀθρόαν αὐτοῖς ἐφεὶς[12] καθεζομένοις ὑπὸ τὸν πρόποδα τοῦ Κι-

[1]) Ἐὰν δὲ ἀπετύγχανε (δηλ. ἡ συνωμοσία. [2]) Νὰ καταστρέψωσι τὰ συμφέροντα (τῆς Ἑλλάδος. [3]) Τὴν (δεινὴν) περίστασιν. [4]) Ἀποκαλύπτει. [5]) Αἰτιατ. ἀπόλυτος: = διότι ἦτο ἄγνωστον ἕως ποῦ ἤθελεν ἀποβῇ ἡ ἐξέτασις... [6]) = Εἰς οὓς πρώτους ἐκοινοποιήθη ἔγγραφος πρόσκλησις διὰ τὴν δίκην. [7]) Ἐνοχήν. [8]) Ἔφυγον ταχέως. [9]) Τοὺς δὲ ὑπολοίπους, δηλ. τοὺς ἕξ. [10]) Εἰς τοὺς νομίζοντας ὅτι δὲν ἔγειναν ἀκόμη γνωστοί. [11]) Ἀπεπειρᾶτο ἐκείνῳ (τῷ ὅπλῳ), ᾧ ... δηλ. τῇ ἵππῳ = τῷ ἱππικῷ. [11]) Πέμψας κατ' αὐτῶν.

θαιρῶνος ἐν χωρίοις ὀχυροῖς καὶ πετρώδεσι πλὴν Μεγαρέων. Οὗτοι δὲ τρισχίλιοι τὸ πλῆθος ὄντες ἐν τοῖς ἐπιπέδοις μᾶλλον ἐστρατοπεδεύοντο. Διὸ καὶ κακῶς ἔπασχον ὑπὸ τῆς ἵππου[1] ῥυείσης ἐπ' αὐτοὺς καὶ προσβολὰς ἐχούσης πανταχόθεν. Ἔπεμπον οὖν ἄγγελον κατὰ τάχος πρὸς Παυσανίαν βοηθεῖν κελεύοντες, ὡς οὐ δυνάμενοι καθ' αὑτοὺς[2] ὑποστῆναι τὸ τῶν βαρβάρων πλῆθος. Ταῦτα Παυσανίας ἀκούων, ἤδη δὲ καὶ καθορῶν ἀποκεκρυμμένον ἀκοντισμάτων καὶ τοξευμάτων πλήθει τὸ στρατόπεδον τῶν Μεγαρέων καὶ συνεσταλμένους αὐτοὺς εἰς ὀλίγον[3], αὐτὸς μὲν ἀμήχανος ἦν[4] πρὸς ἱππότας ἀμύνειν ὁπλιτικῇ φάλαγγι καὶ βαρείᾳ τῇ Σπαρτιατῶν, τοῖς δ' ἄλλοις στρατηγοῖς καὶ λοχαγοῖς τῶν Ἑλλήνων περὶ αὐτὸν οὖσι προὔθετο ζῆλον ἀρετῆς καὶ φιλοτιμίας, εἰ δή τινες ἑκόντες[5] ἀναδέξαιντο προαγωνίσασθαι καὶ βοηθῆσαι τοῖς Μεγαρεῦσι. Τῶν δ' ἄλλων ὀκνούντων Ἀριστείδης ἀναδεξάμενος ὑπὲρ[6] τῶν Ἀθηναίων τὸ ἔργον ἀποστέλλει τὸν προθυμότατον τῶν λοχαγῶν Ὀλυμπιόδωρον, ἔχοντα τοὺς ὑπ' αὐτῷ τεταγμένους λογάδας τριακοσίους καὶ τοξότας ἀναμεμιγμένους σὺν αὐτοῖς. Τούτων ὀξέως διασκευασαμένων καὶ προσφερομένων δρόμῳ[7], Μασίστιος ὁ τῶν βαρβάρων ἵππαρχος, ἀνὴρ ἀλκῇ τε θαυμαστὸς μεγέθει τε καὶ κάλ-

[1]) Ὑπὸ τοῦ ἱππικοῦ ἐφορμήσαντος (χυθέντος ὡς χείμαρρος) κατ' αὐτῶν καὶ δυναμένου νὰ προσβάλλῃ ἐκ πάντων τῶν μερῶν. [2]) Μόνοι των ν' ἀντισταθῶσι. [3]) Καὶ ὅτι αὐτοὶ (οἱ Μεγαρ.) ἦσαν συμμαζευμένοι εἰς ὀλίγον τόπον. [4]) Ἀμήχανος ἦν = δὲν ἠδύνατο. [5]) Ἑκουσίως. [6]) = Ἀντὶ (ἐν ὀνόματι, ἢ πρὸς τιμὴν) ῶν Ἀθ. [7]) Ἀφοῦ δὲ οὗτοι ταχέως ἐξωπλίσθησαν καὶ ἐφώρμων ἰσομαίως.

λει σώματος περιττὸς[1], ὡς κατεῖδεν, ἐναντίον ἐπιστρέψας τὸν ἵππον εἰς αὐτοὺς ἤλαυνε. Τῶν δ' ἀνασχομένων[2] καὶ συμβαλόντων[3] ἦν ἀγὼν καρτερός, ὡς πεῖραν ἐν τούτῳ τοῦ παντὸς λαμβανόντων[4]. Ἐπεὶ δὲ τοξευθεὶς ὁ ἵππος τὸν Μασίστιον ἀπέρριψε καὶ πεσὼν[5] ὑπὸ βάρους τῶν ὅπλων αὐτός τε δυσκίνητος ἦν ἀναφέρειν[6] καὶ τοῖς Ἀθηναίοις ἐπικειμένοις καὶ παίουσι δυσμεταχείριστος, οὐ μόνον στέρνα καὶ κεφαλήν, ἀλλὰ καὶ τὰ γυῖα χρυσῷ καὶ χαλκῷ καὶ σιδήρῳ καταπεφραγμένος, τοῦτον μὲν ᾗ[7] τὸ κράνος ὑπέφαινε τὸν ὀφθαλμὸν ἀκοντίου στύρακι[8] παίων τις ἀνεῖλεν, οἱ δ' ἄλλοι Πέρσαι προέμενοι τὸν νεκρὸν ἔφευγον. Ἐγνώσθη δὲ τοῦ κατορθώματος τὸ μέγεθος τοῖς Ἕλλησιν οὐκ ἀπὸ τῶν νεκρῶν τοῦ πλήθους, ὀλίγοι γὰρ οἱ πεσόντες ἦσαν, ἀλλὰ τῷ πένθει τῶν βαρβάρων. Καὶ γὰρ ἑαυτοὺς ἔκειραν ἐπὶ τῷ Μασιστίῳ καὶ ἵππους καὶ ἡμιόνους, οἰμωγῆς τε καὶ κλαυθμοῦ τὸ πεδίον ἐνεπίμπλασαν, ὡς ἄνδρα πολὺ πρῶτον ἀρετῇ καὶ δυνάμει μετά γε Μαρδόνιον αὐτὸν ἀποβαλόντες[9].

XV. Μετὰ δὲ τὴν ἱππομαχίαν ἀμφότεροι μάχης ἔσχοντο[10] χρόνον πολύν· ἀμυνομένοις[11] γὰρ οἱ μάντες νίκην προὔφαινον ἐκ τῶν ἱερῶν[12] ὁμοίως καὶ τοῖς Πέρ-

---

[1]) Ἔξοχος. [2])=Ἀνασχόντων ἑαυτούς: ἐπειδὴ ἐκρατήθησαν εἰς τὴν θέσιν των. [3]) Συμπλακέντων. [4]) Δηλ. τῶν Ἑλλ. καὶ τῶν βαρϐ. [5]) Ὁ Μασίστιος. [6]) Νὰ ἐγερθῇ. [7]) Ὅπου ἡ περικεφαλαία ἄφηνε νὰ φανῇ (ὑπέφαινε) τὸν ὀφθαλμόν. [8]) Στύραξ = ἡ σιδηρᾶ αἰχμὴ τοῦ ἀκοντίου. [9]) Ἀπολέσαντες. [10]) Ἀπέσχον μάχης (νὰ συνάψωσι μάχην. [11]) Ὑποθ. μετοχ: = εἰ ἀμύνοιντο..(συνδέεται μὲ τὸ) εἰ δ' ἐπιχειροῖεν. [12]) Προεμάντευον ἐκ τῶν ἱερῶν = τῶν σπλάγχνων τῶν θυσιαζομένων σφαγίων.

σαις καὶ τοῖς Ἕλλησιν, εἰ ὁ ἐπιχειροῖεν, ἥτταν. Ἔπειτα Μαρδόνιος, ὡς αὐτῷ μὲν ἡμερῶν ὀλίγων τὰ ἐπιτήδεια περιῆν[1], οἱ δ' Ἕλληνες ἀεί τινων ἐπιρρεόντων πλείονες ἐγίνοντο, δυσανασχετῶν ἔγνω μηκέτι μένειν, ἀλλὰ διαβὰς ἅμα φάει[2] τὸν Ἀσωπὸν ἐπιθέσθαι τοῖς Ἕλλησιν ἀπροσδοκήτως· καὶ παράγγελμα τοῖς ἡγεμόσιν ἑσπέρας ἔδωκε. Μεσούσης δὲ μάλιστα τῆς νυκτὸς ἀνὴρ ἵππον ἔχων ἀτρέμα[3] προσεμίγνυε τῷ στρατοπέδῳ τῶν Ἑλλήνων· ἐντυχὼν δὲ ταῖς φυλακαῖς ἐκέλευεν αὐτῷ προσελθεῖν Ἀριστείδην τὸν Ἀθηναῖον. Ὑπακούσαντος[4] δὲ ταχέως ἔφησεν[5] «Εἰμὶ μὲν Ἀλέξανδρος ὁ Μακεδών, ἥκω δὲ κινδύνων τὸν μέγιστον εὐνοίᾳ τῇ πρὸς ὑμᾶς αἰρόμενος[6], ὡς μὴ τὸ αἰφνίδιον ἐκπλήξειεν ὑμᾶς χεῖρον[7] ἀγωνίσασθαι. Μαχεῖται γὰρ ἡμῖν Μαρδόνιος αὔριον, οὐχ ὑπ' ἐλπίδος χρηστῆς οὐδὲ θάρσους, ἀλλ' ἀπορίας τῶν παρόντων[8], ἐπεὶ καὶ μάντεις ἐκεῖνον ἀπαισίοις ἱεροῖς καὶ λογίοις χρησμῶν εἴργουσι μάχης, καὶ τὸν στρατὸν ἔχει δυσθυμία πολλὴ καὶ κατάπληξις. Ἀλλ' ἀνάγκη τολμῶντα πειρᾶσθαι τῆς τύχης ἢ τὴν ἐσχάτην ὑπομένειν ἀπορίαν καθεζόμενον.» Ταῦτα φράσας ὁ Ἀλέξανδρος ἐδεῖτο τὸν Ἀριστείδην αὐτὸν[9] εἰδέναι καὶ μνημονεύειν, ἑτέρῳ δὲ μὴ κατειπεῖν. Ὁ δ' οὐ καλῶς ἔχειν ἔφη ταῦτα Παυσανίαν ἀποκρύψασθαι, ἐκείνῳ γὰρ ανα—

1) Ἐπήρκουν, ἔφθανον. 2) = Ἅμα τῷ φωτὶ τῆς ἡμέρας. 3) Ἀθορύβως, μετ' ἐπιφυλάξεως ἐπλησίαζε. 4) Τοῦ Ἀριστείδου. 5) Ὁ ἀνήρ. 6) Ἀναδεχθεὶς τὸν μέγιστον κίνδυνον ἕνεκεν τῆς πρὸς ὑμᾶς εὐνοίας μου. 7) Ὥστε νὰ ἀγωνισθῆτε χειρότερον (ἐνν. τοῦ πρέποντος ὑμῖν. 8) Ἐνν. πραγμάτων, = διότι δὲν ἠξεύρει τί νὰ πράξῃ εἰς τὰς παρούσας περιστάσεις. 9) Μόνος αὐτός.

κεῖσθαι τὴν ἡγεμονίαν[1], πρὸς δὲ τοὺς ἄλλους ἄρρητα πρὸ τῆς μάχης ἔδοξεν ἔσεσθαι, νικώσης δὲ τῆς Ἑλλάδος οὐδένα τὴν Ἀλεξάνδρου προθυμίαν καὶ ἀρετὴν ἀγνοήσειεν. Λεχθέντων δὲ τούτων ὅ τε βασιλεὺς τῶν Μακεδόνων ἀπήλαυνεν ὀπίσω πάλιν, ὅ τε Ἀριστείδης ἀφικόμενος ἐπὶ τὴν σκηνὴν τοῦ Παυσανίου διηγεῖτο τοὺς λόγους· καὶ μετεπέμποντο τοὺς ἄλλους ἡγεμόνας καὶ παρήγγελλον ἐν κόσμῳ[2] τὸν στρατὸν ἔχειν, ὡς μάχης ἐσομένης.

XVI. Ἐν τούτῳ δ', ὡς Ἡρόδοτος ἱστορεῖ, Παυσανίας Ἀριστείδῃ προσέφερε λόγον[3], ἀξιῶν τοὺς Ἀθηναίους ἐπὶ τὸ δεξιὸν μεταγαγόντα κατὰ τοὺς Πέρσας[4] ἀντιταχθῆναι, βέλτιον γὰρ ἀγωνιεῖσθαι τῆς τε μάχης ἐμπείρους γεγονότας καὶ τῷ προνενικηνέναι[5] θαρροῦντας, αὐτῷ δὲ παραδοῦναι τὸ εὐώνυμον, ὅπου τῶν Ἑλλήνων οἱ μηδίζοντες ἐπιβάλλειν[6] ἔμελλον. Οἱ μὲν οὖν ἄλλοι στρατηγοὶ τῶν Ἀθηναίων ἀγνώμονα[7] καὶ φορτικὸν ἡγοῦντο τὸν Παυσανίαν, εἰ τὴν ἄλλην ἐῶν τάξιν ἐν χώρᾳ[8] μόνους ἄνω καὶ κάτω μεταφέρει σφᾶς[9] ὥσπερ εἵλωτας, κατὰ τὸ μαχιμώτατον προβαλλόμενος· ὁ δ' Ἀριστείδης διαμαρτάνειν αὐτοὺς ἔφασκε τοῦ παντός, εἰ πρώην μὲν ὑπὲρ τοῦ τὸ εὐώνυμον κέρας ἔχειν διεφιλοτιμοῦντο[10] Τεγεάταις καὶ προκριθέντες ἐσεμνύνοντο[11],

---

[1]) Διότι εἰς ἐκεῖνον ἔχει ἀνατεθῆ ἡ στρατηγία. [2]) Ἐν τάξει, ἐτ .μοπόλεμον. [3]) Προέτεινε. [4]) Ἀφοῦ ἀλλάξῃ (ὁ Ἀριστ.) θέσιν (ἐκ τοῦ ἀριστεροῦ δηλ.) εἰς τὸ δεξιὸν κατὰ τὸ μέρος τῶν Περσῶν· [5]) = Ἐπὶ τῇ νίκῃ. [6]) Νὰ ἐφορμήσωσι, νὰ ἐπιτεθῶσι. [7]) Ἄνευ γνώσεως, ἀσυλλόγιστον. [8]) Εἰς τὴν θέσιν των. [9]) Ἑαυτούς, δηλ. τοὺς Ἀθηναίους. [10]) Ἐκ φιλοτιμίας κινούμενοι ἤριζον. [11]) Ἐκαυχῶντο, ἐκόμπαζον.

νῦν δὲ, Λακεδαιμονίων ἑκουσίως αὐτοῖς ἐξισταμένων τοῦ δεξιοῦ καὶ τρόπον τινὰ τὴν ἡγεμονίαν παραδιδόντων, οὔτε τὴν δόξαν ἀγαπῶσιν οὔτε κέρδος ἡγοῦνται τὸ μὴ πρὸς ὁμοφύλους καὶ συγγενεῖς, ἀλλὰ βαρβάρους καὶ φύσει πολεμίους ἀγωνίσασθαι. Ἐκ τούτου πάνυ προθύμως οἱ Ἀθηναῖοι διημείβοντο[1] τοῖς Σπαρτιάταις τὴν τάξιν· καὶ λόγος ἐχώρει[2] δι' αὐτῶν πολὺς ἀλλήλοις παρεγγυώντων[3], ὡς οὔτε ὅπλα βελτίω λαβόντες οὔτε ψυχὰς ἀμείνους[4] οἱ πολέμιοι τῶν ἐν Μαραθῶνι προσίασιν, ἀλλὰ ταὐτὰ μὲν ἐκείνοις[5] τόξα, ταὐτὰ δ' ἐσθῆτος[6] ποικίλματα καὶ χρυσὸς ἐπὶ σώμασι μαλακοῖς καὶ ψυχαῖς ἀνάνδροις· ἡμῖν δ' ὅμοια μὲν ὅπλα καὶ σώματα, μεῖζον δὲ ταῖς νίκαις τὸ θάρσος, ὁ δ' ἀγὼν οὐχ ὑπὲρ χώρας καὶ πόλεως μόνον, ὡς ἐκείνοις[7], ἀλλ' ὑπὲρ τῶν ἐν Μαραθῶνι καὶ Σαλαμῖνι τροπαίων, ὡς μηδ' ἐκεῖνα Μιλτιάδου δοκῇ καὶ τύχης[8], ἀλλὰ Ἀθηναίων. Οὗτοι μὲν οὖν σπεύδοντες ἐν ἀμείψει τῶν τάξεων ἦσαν[9]· αἰσθόμενοι δὲ Θηβαῖοι παρ' αὐτομόλων Μαρδονίῳ φράζουσι. Κἀκεῖνος εὐθὺς, εἴτε δεδιὼς τοὺς Ἀθηναίους, εἴτε τοῖς Λακεδαιμονίοις συμπεσεῖν[10] φιλοτι-

---

[1]) Ἤλλασσον (ἀμοιβαίως) τὴν τάξιν πρὸς τοὺς Σπαρτιάτας. [2]) Ἐκυκλοφόρει, διέτρεχε. [3]) Προτρεπόντων, ἐνθαρυνόντων ἀλλήλους. [4]) Οὔτε κατὰ τὰς ψυχὰς ἀνδρειοτέρους. [5]) Τοῖς Πέρσαις: τὰ αὐτὰ τοῖς τόξοις ἐκείνων. [6]) Ἐνδυμάτων. [7]) Τοῖς ἐν Μαραθῶνι ἀγωνισαμένοις, τοῖς Ἀθηναίοις ἢ (κατ' ἄλλους) τοῖς Σπαρτιάταις. [8]) Ἵνα μὴ φανῇ ὅτι μηδ' ἐκεῖνα (τὰ τρόπαια δηλ. τοῦ Μαραθῶνος καὶ τῆς Σαλαμ.) εἰσὶν ἔργα τοῦ Μιλτιάδου καὶ τῆς τύχης, ἀλλὰ τῆς ἀνδρείας τῶν Ἀθηναίων. [9]) = Διημείβοντο (ἀντήλλασσον, ἀμοιβαίως) τὴν τάξιν των ἐν σπουδῇ (=σπεύδοντες). [10]) Νὰ συγκρουσθῇ, νὰ συμπλακῇ.

μούμενος, ἀντιπαρεξῆγε τοὺς Πέρσας ἐπὶ τὸ δεξιὸν, τοὺς δ' Ἕλληνας ἐκέλευε τοὺς σὺν αὐτῷ κατὰ τοὺς Ἀθηναίους[1] ἵστασθαι. Γενομένης δὲ τῆς μετακοσμήσεως[2] καταφανοῦς ὅτε Παυσανίας ἀποτραπεὶς[3] αὖθις ἐπὶ τοῦ δεξιοῦ κατέστη, καὶ Μαρδόνιος, ὥσπερ εἶχεν ἐξ ἀρχῆς, ἀνέλαβε τὸ εὐώνυμον κατὰ τοὺς Λακεδαιμονίους γενόμενος, ἥ τε ἡμέρα διεξῆλθεν ἀργή. Καὶ τοῖς Ἕλλησι βουλευομένοις ἔδοξε πορρωτέρω μεταστρατοπεδεῦσαι καὶ καταλαβεῖν εὔυδρον χωρίον, ἐπεὶ τὰ πλησίον νάματα καθύβριστο[4] καὶ διέφθαρτο τῶν βαρβάρων ἱπποκρατούντων[5].

XVII. Ἐπελθούσης δὲ νυκτὸς καὶ τῶν στρατηγῶν ἀγόντων[6] ἐπὶ τὴν ἀποδεδειγμένην[7] στρατοπεδείαν οὐ πάνυ πρόθυμον ἦν ἕπεσθαι καὶ συμμένειν τὸ πλῆθος, ἀλλ' ὡς ἀνέστησαν ἐκ τῶν πρώτων ἐρυμάτων ἐφέροντο πρὸς τὴν πόλιν τῶν Πλαταιέων οἱ πολλοὶ, καὶ θόρυβος ἦν ἐκεῖ διασκιδναμένων καὶ κατασκηνούντων ἀτάκτως· Λακεδαιμονίοις δὲ συνέβη [μὲν] ἄκουσι μόνοις ἀπολείπεσθαι τῶν ἄλλων. Ἀμομφάρετος γὰρ, ἀνὴρ θυμοειδὴς καὶ φιλοκίνδυνος, ἔκπαλαι πρὸς τὴν μάχην σπαργῶν[8] καὶ βαρυνόμενος τὰς πολλὰς ἀναβολὰς καὶ μελλήσεις[9], τότε δὴ παντάπασι τὴν μετανάστασιν[10] φυγὴν ἀποκαλῶν καὶ ἀπόδρασιν, οὐκ ἔφη λείψειν[11] τὴν τάξιν, ἀλλ' αὐ-

[1]) Ἀντικρὺ τῶν Ἀθ. [2]) Τῆς μεταθέσεως τῆς τάξεως. [3]) Ὑποχωρήσας μὲ τὸ στρατ. σῶμά του. [4]) Εἶχον θολωθῇ. [5]) Ὄντων ἰσχυροτέρων κατὰ τὸ ἱππικόν. [6]) Ἀγόντων = ὁδηγούντων (ἐνν. τὸν στρατόν. [7]) Τὴν προσδιορισθεῖσαν. [8]) Ἔχων μεγίστην ἐπιθυμίαν. [9]) Χρονοτριβὰς, ἀργοπορίας. [10]) Τὴν μετατόπισιν τοῦ στρατοπέδου. [11]) = Ἔφη οὐ λείψειν, ὅτι δὲν θὰ ἀφήσῃ.

τόθι μένων μετὰ τῶν ἑαυτοῦ λοχιτῶν ὑποστήσεσθαι[1] Μαρδόνιον. Ὡς δὲ Παυσανίας ἐπελθὼν ἔλεγε ταῦτα πράττειν ἐψηφισμένα καὶ δεδογμένα τοῖς Ἕλλησιν, ἀράμενος[2] ταῖν χεροῖν πέτρον μέγαν ὁ Ἀμομφάρετος καὶ καταβαλὼν πρὸ τῶν ποδῶν τοῦ Παυσανίου ταύτην ἔφη ψῆφον αὐτὸς περὶ τῆς μάχης τίθεσθαι, τὰ δὲ τῶν ἄλλων δειλὰ βουλεύματα καὶ δόγματα χαίρειν ἐᾶν[3]. Ἀπορούμενος[4] δὲ Παυσανίας τῷ παρόντι πρὸς μὲν τοὺς Ἀθηναίους ἔπεμψεν ἀπιόντας ἤδη, περιμεῖναι δεόμενος καὶ κοινῇ βαδίζειν, αὐτὸς δὲ τὴν ἄλλην δύναμιν ἦγε πρὸς τὰς Πλαταιὰς ὡς ἀναστήσων τὸν Ἀμομφάρετον. Ἐν τούτῳ[5] δὲ κατελάμβανεν ἡμέρα, καὶ Μαρδόνιος (οὐ γὰρ ἔλαθον[6] τὴν στρατοπεδείαν ἐκλελοιπότες οἱ Ἕλληνες) ἔχων συντεταγμένην τὴν δύναμιν ἐπεφέρετο τοῖς Λακεδαιμονίοις βοῇ πολλῇ καὶ πατάγῳ τῶν βαρβάρων, ὡς οὐ μάχης ἐσομένης[7], ἀλλὰ φεύγοντας ἀναρπασομένων τοὺς Ἕλληνας. Ὃ μικρᾶς ῥοπῆς ἐδέησε[8] γενέσθαι. Κατιδὼν γὰρ τὸ γινόμενον ὁ Παυσανίας ἔσχετο[9] μὲν τῆς πορείας καὶ τὴν ἐπὶ μάχῃ τάξιν ἐκέλευσε λαμβάνειν ἕκαστον, ἔλαθε[10] δ' αὐτόν, εἴθ' ὑπὸ τῆς πρὸς τὸν Ἀμομφάρετον ὀργῆς εἴτε τῷ τάχει θορυβηθέντα τῶν πολεμίων, σύνθημα μὴ δοῦναι τοῖς Ἕλλησιν. Ὅθεν οὔτ' εὐθὺς

---

[1]) Θὰ ἀντιπαραταχθῇ. [2]) Σηκώσας διὰ τῶν (δύω) χειρῶν (ταῖν χεροῖν. [3]) Δὲν τὰ λογαριάζει διόλου. [4]) Ἐν ἀπορίᾳ διατελῶν. [5]) Ἐν τῷ μεταξὺ δὲ τοὺς κατελάμβανεν ἡ ἡμέρα. [6]) Διότι δὲν διέφυγον τὴν προσοχὴν (δηλ. τῶν Περσῶν. [7]) Ἐπὶ τῇ ἰδέᾳ ὅτι δὲν θὰ συγκροτηθῇ μάχη. [8]) Μικρᾶς ῥοπῆς ἐδέησε = μικροῦ ἐδέησε = ὀλίγον ἔλειψε. [9]) Ἀνέστειλε τὴν πορείαν (τοῦ στρατεύματός του. [10]) Ἔλαθε...δοῦναι = ἐλησμόνησε νὰ δώσῃ σύνθημα κτλ.

οὔτ' ἀθρόοι, κατ' ὀλίγους δὲ καὶ σποράδην, ἤδη τῆς μάχης ἐν χερσὶν οὔσης, προσεβοήθουν. Ὡς δὲ θυόμενος[1] οὐκ ἐκαλλιέρει[2], προσέταξε τοῖς Λακεδαιμονίοις τὰς ἀσπίδας πρὸ τῶν ποδῶν θεμένους ἀτρέμα καθέζεσθαι καὶ προσέχειν αὐτῷ, μηδένα τῶν πολεμίων ἀμυνομένους, αὐτὸς δὲ πάλιν ἐσφαγιάζετο. Καὶ προσέπιπτον οἱ ἱππεῖς· ἤδη δὲ καὶ βέλος ἐξικνεῖτο καί τις[3] ἐπέπληκτο τῶν Σπαρτιατῶν. Ἐν τούτῳ δὲ καὶ Καλλικράτης, ὃν ἰδέᾳ[4] τε κάλλιστον Ἑλλήνων καὶ σώματι μέγιστον ἐν ἐκείνῳ τῷ στρατῷ γενέσθαι λέγουσι, τοξευθεὶς καὶ θνήσκων οὐκ ἔφη τὸν θάνατον ὀδύρεσθαι, καὶ γὰρ ἐλθεῖν οἴκοθεν ὑπὲρ τῆς Ἑλλάδος ἀποθανούμενος, ἀλλ' ὅτι θνήσκει τῇ χειρὶ μὴ χρησάμενος. Ἦν οὖν τὸ μὲν πάθος δεινὸν, ἡ δὲ ἐγκράτεια θαυμαστὴ τῶν ἀνδρῶν. Οὐ γὰρ ἠμύνοντο τοὺς πολεμίους ἐπιβαίνοντας[5], ἀλλὰ τὸν παρὰ τοῦ θεοῦ καὶ τοῦ στρατηγοῦ καιρὸν ἀναμένοντες ἠνείχοντο[6] βαλλόμενοι καὶ πίπτοντες ἐν ταῖς τάξεσιν. Ἔνιοι δέ φασι τῷ Παυσανίᾳ μικρὸν ἔξω τῆς παρατάξεως θύοντι καὶ κατευχομένῳ τῶν Λυδῶν τινας ἄφνω προσπεσόντας ἁρπάζειν καὶ διαρρίπτειν τὰ περὶ τὴν θυσίαν, τὸν δὲ Παυσανίαν καὶ τοὺς περὶ αὐτὸν οὐκ ἔχοντας ὅπλα ῥάβδοις καὶ μάστιξι παίειν· διὸ καὶ νῦν ἐκείνης τῆς ἐπιδρομῆς μιμήματα τὰς περὶ τὸν βωμὸν

---

[1]) Μέσον διάμεσον: = θύων διὰ τοῦ μάντεως. [2]) Δὲν εὕρισκε καλὰ τὰ ἱερὰ δηλ: αἴσια τὰ ἐπὶ τῶν θυμάτων σημεῖα. [3]) Καὶ κάποιος εἶχεν πληγωθῇ. [4]) Κατὰ τὴν μορφήν. [5]) Ἐπιπίπτοντες ἐναντίον των. [6]) Ὑπέμενον νὰ κτυπῶνται καὶ νὰ φο-[illegible]ται.

ἐν Σπάρτῃ πληγὰς[1] τῶν ἐφήβων καὶ τὴν μετὰ ταῦτα τῶν Λυδῶν πομπὴν συντελεῖσθαι.

XVIII. Δυσφορῶν οὖν ὁ Παυσανίας τοῖς παροῦσιν, ἄλλα τοῦ μάντεως ἐπ' ἄλλοις[2] ἱερεῖα καταβάλλοντος, τρέπεται πρὸς τὸ Ἡραῖον τῇ ὄψει δεδακρυμένος, καὶ τὰς χεῖρας ἀνασχὼν εὔξατο Κιθαιρωνίᾳ Ἥρᾳ καὶ θεοῖς ἄλλοις, οἳ Πλαταιΐδα γῆν ἔχουσιν[3], εἰ μὴ πέπρωται τοῖς Ἕλλησι νικᾶν, ἀλλὰ δράσαντάς γέ τι παθεῖν[4] καὶ δείξαντας ἔργῳ τοῖς πολεμίοις, ὡς ἐπ' ἄνδρας ἀγαθοὺς καὶ μάχεσθαι μεμαθηκότας ἐστράτευσαν. Ταῦτα τοῦ Παυσανίου θεοκλυτοῦντος[5] ἅμα ταῖς εὐχαῖς ἐφάνη[6] τὰ ἱερὰ καὶ νίκην ὁ μάντις ἔφραζε. Καὶ δοθέντος εἰς ἅπαντας τοῦ παραγγέλματος καθίστασθαι πρὸς τοὺς πολεμίους, ἥ τε φάλαγξ ὄψιν ἔσχεν αἰφνιδίως ἑνὸς ζῴου θυμοειδοῦς πρὸς ἀλκὴν τρεπομένου καὶ φρίξαντος, τοῖς τε βαρβάροις τότε παρέστη λογισμὸς[7], ὡς πρὸς ἄνδρας ὁ ἀγὼν ἔσοιτο μαχουμένους ἄχρι θανάτου. Διὸ καὶ προθέμενοι[8] πολλὰ τῶν γέρρων ἐτόξευον τοὺς Λακεδαιμονίους. Οἱ δὲ τηροῦντες ἅμα τὸν συνασπισμὸν[9] ἐπέβαινον, καὶ προσπεσόντες ἐξεώθουν[10] τὰ γέρρα, καὶ

[1]) Τὰς μαστιγώσεις τῶν ἐφήβων, ἑορτὴ δηλ. τελουμένη κατ' ἔτος ἐν Σπάρτῃ περὶ τὸν βωμὸν τῆς Ὀρθίας Ἀρτέμιδος πρὸς ἄσκησιν αὐτῶν εἰς τὴν σκληραγωγίαν. [2]) Ἄλλα ἐπ' ἄλλοις...,=ἀλλεπάλληλα σφάγια θύοντες διὰ τοῦ μάντεως. [3]) Προστατεύουσι. [4]) Ἀλλὰ νὰ ἀποθάνωσι (παθεῖν) ἀφοῦ κατορθώσωσί τι. [5]) Ταῦτα θεοκλυτοῦντος=ταύτας τὰς παρακλήσεις ποιουμένου. [6]) Ἐνν. καλά, εὐπρόσδεκτα εἰς τοὺς θεούς. [7]) Ἤρχισαν νὰ συλλογίζωνται. [8]) Θέσαντες πρὸ αὐτῶν (ὀχυρωθέντες ὄπισθεν) πολλὰ τῶν γέρρων = ἀσπίδων Περσικῶν πλεκτῶν ἐκ λυγαριᾶς. [9]) Συνασπισμὸς ἦτο ἡ τάξις καθ' ἣν ὁ λόχος πυκνῶν τὰς ἀσπίδας, ἐκάλυπτε δι' αὐτῶν ὅλον τὸ μέτωπον. [10]) Ἀπεμάκρυνον.

τοῖς δόρασι τύπτοντες πρόσωπα καὶ στέρνα τῶν Περσῶν πολλοὺς κατέβαλλον[1], οὐκ ἀπράκτως οὐδ' ἀθύμως πίπτοντας. Καὶ γὰρ ἀντιλαμβανόμενοι[2] τῶν δοράτων ταῖς χερσὶ γυμναῖς συνέθραυον τὰ πλεῖστα, καὶ πρὸς τὰς ξιφουλκίας ἐχώρουν οὐκ ἀργῶς[3], ἀλλὰ ταῖς τε κοπίσι καὶ τοῖς ἀκινάκαις[4] χρώμενοι καὶ τὰς ἀσπίδας παρασπῶντες[5] καὶ συμπλεκόμενοι χρόνον πολὺν ἀντεῖχον. Οἱ δ' Ἀθηναῖοι τέως[6] μὲν ἠτρέμουν ἀναμένοντες τοὺς Λακεδαιμονίους, ἐπεὶ δὲ κραυγή τε προσέπιπτε πολλὴ μαχομένων καὶ παρῆν, ὥς φασιν, ἄγγελος παρὰ Παυσανίου τὰ γινόμενα φράζων, ὥρμησαν κατὰ τάχος βοηθεῖν. Καὶ προχωροῦσιν αὐτοῖς διὰ τοῦ πεδίου πρὸς τὴν βοὴν ἐπεφέροντο τῶν Ἑλλήνων οἱ μηδίζοντες. Ἀριστείδης δὲ πρῶτον μέν, ὡς εἶδε, πολὺ προελθὼν ἐβόα, μαρτυρόμενος Ἑλληνίους θεούς, ἀπέχεσθαι μάχης καὶ μὴ σφίσιν ἐμποδὼν εἶναι μηδὲ κωλύειν ἐπαμύνοντας τοῖς προκινδυνεύουσιν ὑπὲρ τῆς Ἑλλάδος, ἐπεὶ δ' ἑώρα μὴ προσέχοντας αὐτῷ καὶ συντεταγμένους ἐπὶ τὴν μάχην, οὕτω τῆς ἐκεῖ[7] βοηθείας ἀποτραπόμενος συνέβαλε[8] τούτοις περὶ πεντακισμυρίους οὖσιν. Ἀλλὰ τὸ μὲν πλεῖστον εὐθὺς ἐνέδωκε καὶ ἀπεχώρησεν, ἅτε δὴ καὶ τῶν βαρβάρων ἀπηλλαγμένων[9], ἡ δὲ μάχη λέγεται μάλιστα κατὰ Θηβαίους[10] γενέσθαι, προθυμότατα τῶν πρώτων καὶ δυνατωτάτων τότε παρ' αὐτοῖς μηδιζόντων καὶ τὸ πλῆ-

[1]) Ἐφόνευον. [2]) Πιάνοντες. [3]) Ὄχι νωθρῶς. [4]) Κοπὶς ἦτο περσικὴ μάχαιρα κυρτή, ἀκινάκης δὲ εἶδος πελέκεως. [5]) Ἀποσπῶντες, ἀνελκύοντες. [6]) Μέχρι τινὸς ἡσύχαζον. [7]) Τῆς πρὸς ἐκεῖνο τὸ μέρος (ἔνθα ἐπολέμουν οἱ Λακεδ.) βοηθείας. [8]) Συνεπλάκη. [9]) Ἀπομακρυνθέντων. [10]) Πρὸς τὸ μέρος τῶν Θηβ.

θος οὐ κατὰ γνώμην[1], ἀλλ' ὀλιγαρχούμενον[2] ἀγόντων.

XIX. Οὕτω δὲ τοῦ ἀγῶνος δίχα συνεστῶτος[3] πρῶτοι μὲν ἐώσαντο[4] τοὺς Πέρσας οἱ Λακεδαιμόνιοι· καὶ τὸν Μαρδόνιον ἀνὴρ Σπαρτιάτης ὄνομα Ἀρίμνηστος ἀποκτίννυσι, λίθῳ τὴν κεφαλὴν πατάξας, ὥσπερ αὐτῷ προεσήμανε τὸ ἐν Ἀμφιάρεω[5] μαντεῖον. Ἔπεμψε γὰρ ἄνδρα Λυδὸν ἐνταῦθα, Κᾶρα δὲ ἕτερον εἰς Τροφωνίου [ὁ] Μαρδόνιος· καὶ τοῦτον μὲν ὁ προφήτης Καρικῇ γλώσσῃ προσεῖπεν, ὁ δὲ Λυδὸς ἐν τῷ σηκῷ[6] τοῦ Ἀμφιάρεω κατευνασθεὶς ἔδοξεν[7] ὑπηρέτην τινὰ τοῦ θεοῦ παραστῆναι καὶ κελεύειν αὐτὸν ἀπιέναι, μὴ βουλομένου δὲ λίθον εἰς τὴν κεφαλὴν ἐμβαλεῖν μέγαν, ὥστε δόξαι πληγέντα τεθνάναι τὸν ἄνθρωπον· καὶ ταῦτα μὲν οὕτω γενέσθαι λεγεται. Τοὺς δὲ φεύγοντας εἰς τὰ ξύλινα τείχη καθεῖρξαν. Ὀλίγῳ δ' ὕστερον Ἀθηναῖοι τοὺς Θηβαίους τρέπονται, τριακοσίους τοὺς ἐπιφανεστάτους καὶ πρώτους διαφθείραντες ἐν αὐτῇ τῇ μάχῃ. Γεγενημένης δὲ τῆς τροπῆς ἧκεν αὐτοῖς ἄγγελος πολιορκεῖσθαι τὸ βαρβαρικὸν εἰς τὰ τείχη κατακεκλεισμένον. Οὕτω δὴ σώζεσθαι τοὺς Ἕλληνας ἐάσαντες ἐβοήθουν πρὸς τὰ τείχη· καὶ τοῖς Λακεδαιμονίοις παντάπασιν ἀργῶς πρὸς τειχομαχίαν καὶ ἀπείρως ἔχουσιν ἐπιφανέντες αἱροῦσι τὸ

1) Οὐ κατὰ γνώμην = παρὰ τὴν θέλησίν του. 2) Ὑποκῦπτον εἰς τὴν θέλησιν τῶν ὀλίγων. 3) Διχασθέντος, συγκροτηθέντος εἰς δύω χωριστὰ μέρη. 4) Ἀπέκρουσαν ἀφ' ἑαυτῶν. 5) Ἐν τῷ ναῷ τοῦ Ἀμφιαράου εἰς Ὠρωπὸν τῆς Βοιωτίας. Ὁ Ἀμφιάραος ἦν μάντις καταποθεὶς ὑπὸ τῆς γῆς ἔμπροσθεν τῶν Θηβῶν. 6) Εἰς τὸ ἐσωτερικὸν μέρος (σηκὸς) τοῦ ναοῦ τοῦ Ἀμφιαράου. 7) Τῷ ἐφάνη ὅτι ὑπηρέτης τις τοῦ Θεοῦ ἐνεφανίσθη κατ' ὄναρ καὶ διέταξεν αὐτον ν' ἀπέλθῃ.

στρατόπεδον φόνῳ πολλῷ τῶν πολεμίων. Λέγονται γὰρ ἀπὸ τῶν τριάκοντα μυριάδων τετρακισμύριοι φυγεῖν σὺν Ἀρταβάζῳ, τῶν δ' ὑπὲρ τῆς Ἑλλάδος ἀγωνισαμένων ἔπεσον οἱ πάντες[1] ἐπὶ χιλίοις ἑξήκοντα καὶ τριακόσιοι. Τούτων Ἀθηναῖοι μὲν ἦσαν δύο καὶ πεντήκοντα, πάντες ἐκ τῆς Αἰαντίδος φυλῆς, ὥς φησι Κλείδημος, ἀγωνισαμένης ἄριστα· διὸ καὶ ταῖς Σφραγίτισι νύμφαις ἔθυον Αἰαντίδαι τὴν πυθόχρηστον[2] θυσίαν ὑπὲρ τῆς νίκης, ἐκ δημοσίου τὸ ἀνάλωμα λαμβάνοντες· Λακεδαιμόνιοι δ' ἑνὶ πλείους τῶν ἐνενήκοντα, Τεγεᾶται δ' ἑκκαίδεκα. Θαυμαστὸν οὖν τὸ Ἡροδότου, πῶς μόνους τούτους φησὶν εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις, τῶν δ' ἄλλων Ἑλλήνων μηδένα. Καὶ γὰρ τὸ πλῆθος τῶν πεσόντων μαρτυρεῖ καὶ τὰ μνήματα κοινὸν γενέσθαι τὸ κατόρθωμα· καὶ τὸν βωμὸν οὐκ ἂν ἐπέγραψαν[3] οὕτως, εἰ μόναι τρεῖς[4] πόλεις ἠγωνίσαντο, τῶν ἄλλων ἀτρέμα καθεζομένων·

τόνδε[5] ποθ' Ἕλληνες νίκας κράτει[6], ἔργῳ Ἄρηος[7],
Πέρσας ἐξελάσαντες ἐλευθέρᾳ Ἑλλάδι κοινὸν
ἱδρύσαντο Διὸς βωμὸν ἐλευθερίου.

Ταύτην τὴν μάχην ἐμαχέσαντο τῇ τετράδι τοῦ Βοηδρομιῶνος[7] ἱσταμένου κατ' Ἀθηναίους, κατὰ δὲ Βοιωτοὺς

---

1) Οἱ πάντες = τὸ ὅλον, ὅλοι ὅλοι. 2) Τὴν πυθόχρηστον = τὴν ὑπὸ τοῦ χρησμοῦ τῆς Πυθίας διαταχθεῖσαν θυσίαν. 3) Δὲν ἤθελον ἐπιγράψει ἐπὶ τοῦ βωμοῦ (τοῦ ἐν Πλαταιαῖς ἐλευθερίου Διός. 4) Δηλ. αἱ Ἀθῆναι, ἡ Σπάρτη καὶ ἡ Τεγέα. 5) Τὸν βωμὸν δηλ. 6) Ἀντὶ νίκης πολέμῳ. 7) Ὁ βοηδρομιὼν (ὁ Σεπτέμβριος παρ' ἡμῖν) ἦτο ὁ τρίτος μὴν τοῦ ἀττικοῦ ἔτους. Ὁ μὴν διῃρεῖτο εἰς τρεῖς δεκάδας καὶ ἐλέγετο α'. μηνὸς ἱσταμένου (κατὰ τὸ πρῶτον δεκαήμερον), β'. μεσοῦντος (κατὰ τὸ δεύτερον) καὶ γ'. φθίνοντος (κατὰ τὸ τρίτον δεκαήμερον.

τετράδι τοῦ Πανέμου φθίνοντος, ᾗ καὶ νῦν ἔτι τὸ Ἑλληνικὸν ἐν Πλαταιαῖς ἀθροίζεται συνέδριον καὶ θύουσι τῷ ἐλευθερίῳ Διῒ Πλαταιεῖς ὑπὲρ τῆς νίκης. Τὴν δὲ τῶν ἡμερῶν ἀνωμαλίαν οὐ θαυμαστέον, ὅπου καὶ νῦν[1] διηκριβωμένων τῶν ἐν ἀστρολογίᾳ μᾶλλον ἄλλην ἄλλοι μηνὸς ἀρχὴν καὶ τελευτὴν ἄγουσιν[2].

XX. Ἐκ τούτου[3] τῶν Ἀθηναίων τὸ ἀριστεῖον[4] οὐ παραδιδόντων τοῖς Σπαρτιάταις οὐδὲ τρόπαιον ἱστάναι συγχωρούντων ἐκείνοις, παρ' οὐδὲν ἂν ἦλθεν[5] εὐθὺς ἀπολέσθαι τὰ πράγματα τῶν Ἑλλήνων ἐν τοῖς ὅπλοις διαστάντων, εἰ μὴ πολλὰ παρηγορῶν καὶ διδάσκων τοὺς συστρατήγους ὁ Ἀριστείδης, μάλιστα δὲ Λεωκράτη καὶ Μυρωνίδην, ἔσχε καὶ συνέπεισε τὴν κρίσιν ἐφεῖναι[6] τοῖς Ἕλλησιν. Ἐνταῦθα βουλευομένων τῶν Ἑλλήνων Θεογείτων μὲν ὁ Μεγαρεὺς εἶπεν, ὡς ἑτέρᾳ πόλει δοτέον εἴη τὸ ἀριστεῖον, εἰ μὴ βούλονται συνταράξαι[7] πόλεμον ἐμφύλιον· ἐπὶ τούτῳ δ' ἀναστὰς Κλεόκριτος ὁ Κορίνθιος δόξαν μὲν παρέσχεν[8] ὡς Κορινθίοις[9] αἰτήσων τὸ ἀριστεῖον· ἦν γὰρ ἐν ἀξιώματι μεγίστῳ μετὰ τὴν Σπάρτην καὶ τὰς Ἀθήνας ἡ Κόρινθος· εἶπε δὲ πᾶσιν ἀρέσαντα καὶ θαυμαστὸν λόγον ὑπὲρ Πλαταιέων, καὶ συνεβούλευσε τὴν φιλονεικίαν ἀνελεῖν[10] ἐκείνοις τὸ ἀριστεῖον ἀποδόντας, οἷς οὐδετέρους τιμωμέ-

---

1) Ἀφοῦ καὶ τώρα ἔχουσιν ἐξακριβωθῇ τὰ ἀφορῶντα τὴν ἀστρολογίαν. 2) Ὑπολογίζουσιν. 3) Μετὰ ταῦτα. 4) Τὴν τιμὴν τῆς νίκης. 5) Παρ' ὀλίγον θὰ συνέβαινε (ὀλίγον ἔλειψε) νά... 6) Νὰ ἐπιτρέψωσι τὴν κρίσιν εἰς τοὺς Ἕλλ. 7) Νὰ ἐξεγείρωσι. 8) Δόξαν παρέσχε (ἐνν. τοῖς Ἕλλησι) = ἐνομίσθη ὑπὸ τῶν Ἑλλήνων. 9) Ὅτι θὰ ζητήσῃ ὑπὲρ τῶν Κορινθίων. 10) Νὰ παύσωσι.

νοις[1] ἄχθεσθαι. Ῥηθέντων δὲ τούτων πρῶτος μὲν Ἀριστείδης συνεχώρησεν[2] ὑπὲρ[3] τῶν Ἀθηναίων, ἔπειτα Παυσανίας ὑπὲρ τῶν Λακεδαιμονίων. Οὕτω δὲ διαλλαγέντες ἐξεῖλον[4] ὀγδοήκοντα τάλαντα τοῖς Πλαταιεῦσιν, ἀφ' ὧν τὸ τῆς Ἀθηνᾶς ᾠκοδόμησαν ἱερὸν καὶ τὸ ἕδος[5] ἔστησαν καὶ γραφαῖς τὸν νεὼν διεκόσμησαν, αἳ μέχρι νῦν ἀκμάζουσαι διαμένουσιν, ἔστησαν δὲ τρόπαιον ἰδίᾳ μὲν Λακεδαιμόνιοι, χωρὶς[6] δ' Ἀθηναῖοι. Περὶ δὲ θυσίας ἐρομένοις αὐτοῖς[7] ἀνεῖλεν ὁ Πύθιος[8] Διὸς ἐλευθερίου βωμὸν ἱδρύσασθαι, θῦσαι δὲ μὴ πρότερον ἢ[9] τὸ κατὰ τὴν χώραν πῦρ ἀποσβέσαντας ὡς ὑπὸ τῶν βαρβάρων μεμιασμένον ἐναύσασθαι καθαρὸν ἐκ Δελφῶν ἀπὸ τῆς κοινῆς ἑστίας. Οἱ μὲν οὖν ἄρχοντες τῶν Ἑλλήνων περιϊόντες[10] εὐθὺς ἠνάγκαζον ἀποσβεννύναι τὰ πυρὰ πάντα τοὺς χρωμένους, ἐκ δὲ Πλαταιέων Εὐχίδας ὑποσχόμενος ὡς ἐνδέχεται τάχιστα[11] κομιεῖν τὸ παρὰ τοῦ θεοῦ πῦρ ἧκεν εἰς Δελφούς. Ἁγνίσας δὲ τὸ σῶμα καὶ περιρρανάμενος[12] ἐστεφανώσατο δάφνῃ· καὶ λαβὼν ἀπὸ τοῦ βωμοῦ τὸ πῦρ δρόμῳ πάλιν εἰς τὰς Πλαταιὰς ἐχώρει καὶ πρὸ ἡλίου

---

[1]) Εἰς ἐκείνους οἱ ὁποῖοι, ἐὰν ἐτιμῶντο, οὐδέτεροι (δηλ. οὔτε οἱ Σπαρτιᾶται οὔτε οἱ Ἀθηναῖοι) ἤθελον δυσαρεστηθῆ. [2]) Συνήνεσεν. [3]) Ἐν ὀνόματι. [4]) Ἐξῄρεσαν ἐκ τῶν λαφύρων. [5]) Τὸ ἄγαλμα. [6]) Χωριστά. [7]) Ὅτε ἠρώτησεν αὐτοὶ (οἱ Ἕλληνες. [8]) Ἐχρησμοδότησεν ὁ Ἀπόλλων. [9]) Θῦσαι δὲ μὴ πρότερον ἢ = νὰ μὴ θύσωσι δὲ πρὶν ἢ...κτλ. [10]) Περιερχόμενοι. [11]) Ὡς ἐνδέχεται τάχιστα = ὅσον τὸ δυνατὸν (ὅσον εἶνε ἐνδεχόμενον) τάχιστα. [12]) Παρὰ τοῖς ἀρχαίοις ὁ ὑπολαμβάνων ἑαυτὸν ὡς μεμιασμένον ἐκ κακουργήματος ἐξηγνίζετο ῥαντιζόμενος τὸ πρόσωπον καὶ τὰ ἑαυτοῦ ἐνδύματα διὰ τοῦ ἐν τοῖς εἰσόδοις τῶν ναῶν ὕδατος, τοῦ ἐν τοῖς καλουμένοις περιρραντηρίοις ὑπάρχοντος.

δυσμῶν ἐπανῆλθε, τῆς αὐτῆς ἡμέρας χιλίους σταδίους κατανύσας[1]. Ἀσπασάμενος δὲ τοὺς πολίτας καὶ τὸ πῦρ παραδοὺς εὐθὺς ἔπεσε καὶ μετὰ μικρὸν ἐξέπνευσεν. Ἀγάμενοι δ' αὐτὸν οἱ Πλαταιεῖς ἔθαψαν ἐν τῷ ἱερῷ τῆς Εὐκλείας Ἀρτέμιδος, ἐπιγράψαντες[2] τόδε τὸ τετράμετρον·

Εὐχίδας Πυθῶδε θρέξας ἦλθε τᾷδ' αὐθημερόν[3].

Τὴν δ' Εὔκλειαν οἱ μὲν πολλοὶ καὶ καλοῦσι καὶ νομίζουσιν Ἄρτεμιν, ἔνιοι δέ φασιν Ἡρακλέους μὲν θυγατέρα καὶ Μυρτοῦς γενέσθαι, τῆς Μενιτίου μὲν θυγατρὸς, Πατρόκλου δ' ἀδελφῆς, τελευτήσασαν δὲ παρθένον ἔχειν παρά τε Βοιωτοῖς καὶ Λοκροῖς τιμάς. Βωμὸς γὰρ αὐτῇ καὶ ἄγαλμα κατὰ πᾶσαν ἀγορὰν ἵδρυται[4].

XXI. Ἐκ τούτου γενομένης ἐκκλησίας κοινῆς τῶν Ἑλλήνων ἔγραψεν Ἀριστείδης ψήφισμα συνιέναι[5] μὲν εἰς Πλαταιὰς καθ' ἕκαστον ἐνιαυτὸν ἀπὸ τῆς Ἑλλάδος προβούλους καὶ θεωρούς[6], ἄγεσθαι δὲ πενταετηρικὸν[7] ἀγῶνα τῶν Ἐλευθερίων. Εἶναι δὲ σύνταξιν[8] Ἑλληνικὴν μυρίας μὲν ἀσπίδας[9], χιλίους δὲ ἵππους[10], ναῦς δ' ἑκατὸν ἐπὶ τὸν πρὸς βαρβάρους πόλεμον, Πλαταιεῖς δ' ἀσύλους καὶ ἱεροὺς ἀφεῖσθαι τῷ θεῷ[11] θύοντας ὑπὲρ τῆς

---

1) Διανύσας, διατρέξας. 2) Γράψαντες ἐπὶ τοῦ τύμβου του. 3) = Εὐχίδας δραμὼν εἰς Δελφοὺς ἐπανῆλθεν ἐνταῦθα τὴν αὐτὴν ἡμέραν. 4) Ἐν αὐτῷ ἐτέλουν θυσίαν μικρὸν πρὸ τοῦ γάμου οἱ νυμφευόμενοι, καλουμένην προγάμεια. 5) Συνέρχεσθαι. 6) Πρόβουλοι ἦσαν οἱ ἐκ τῶν συμμαχικῶν πόλεων πεμπόμενοι εἰς τὸ συνέδριον τῶν Ἑλλήνων, θεωροὶ δὲ οἱ ἐπισήμως ἀποστελλόμενοι εἰς τὰς κατὰ τόπους πανηγύρεις. 7) Ἀνὰ πᾶν πέμπτον ἔτος τελούμενον, ἤτοι μετὰ τέσσαρα ἔτη. 8) Συνάθροισιν. 9) Μυρίων μὲν ἀσπιδοφόρων. 10) Χιλίων δὲ ἱππέων. 11) Νὰ

Ἑλλάδος. Κυρωθέντων δὲ τούτων οἱ Πλαταιεῖς ὑπεδέξαντο[1] τοῖς πεσοῦσι καὶ κειμένοις αὐτόθι τῶν Ἑλλήνων ἐναγίζειν[2] καθ' ἕκαστον ἐνιαυτόν. Καὶ τοῦτο μέχρι νῦν δρῶσι τοῦτον τὸν τρόπον· τοῦ Μαιμακτηριῶνος μηνός, ὅς ἐστι παρὰ Βοιωτοῖς Ἀλαλκομένιος, τῇ ἕκτῃ ἐπὶ δέκα πέμπουσι πομπήν, ἧς προηγεῖται μὲν ἅμ' ἡμέρᾳ σαλπιγκτὴς ἐγκελευόμενος τὸ πολεμικὸν[3], ἕπονται δ' ἅμαξαι μυρρίνης μεσταὶ καὶ στεφανωμάτων καὶ μέλας ταῦρος καὶ χοὰς[4] οἴνου καὶ γάλακτος ἐν ἀμφορεῦσιν ἐλαίου τε καὶ μύρου κρωσσοὺς[5] νεανίσκοι κομίζοντες ἐλεύθεροι· δούλῳ γὰρ οὐδενὸς ἔξεστι τῶν περὶ τὴν διακονίαν ἐκείνην προσάψασθαι διὰ τὸ τοὺς ἄνδρας ἀποθανεῖν ὑπὲρ ἐλευθερίας· ἐπὶ πᾶσι δὲ τῶν Πλαταιέων ὁ ἄρχων, ᾧ τὸν ἄλλον χρόνον οὔτε σιδήρου θιγεῖν ἔξεστιν οὔθ' ἑτέραν ἐσθῆτα πλὴν λευκῆς ἀναλαβεῖν, τότε χιτῶνα φοινικοῦν ἐνδεδυκὼς ἀράμενός τε ὑδρίαν ἀπὸ τοῦ γραμματοφυλακίου[6] ξιφήρης ἐπὶ τοὺς τάφους προάγει διὰ μέσης τῆς πόλεως[7]. Εἶτα λαβὼν ὕδωρ ἀπὸ τῆς κρήνης αὐτὸς ἀπολούει τε τὰς στήλας[8] καὶ μύρῳ χρίει, καὶ τὸν ταῦρον εἰς τὴν πυρὰν σφάξας καὶ κατευξάμενος Διῒ καὶ Ἑρμῇ χθονίῳ[9] παρακαλεῖ τοὺς ἀγαθοὺς ἄνδρας τοὺς ὑπὲρ τῆς

μείνωσιν ἀφιερωμένοι εἰς τὸν θεὸν ἀπαραβίαστοι καὶ ἱεροὶ (δηλ: νὰ μὴ δύναταί τις νὰ τοὺς βλάψῃ. [1]) Ἀνεδέχθησαν. [2]) Προσφέρειν νεκρωσίμους θυσίας, τελεῖν μνημόσυνα τοῖς θανοῦσιν. [3]) Σαλπίζων τὸ πολεμικὸν σάλπισμα. [4]) Χοαὶ ἦσαν κρᾶμα μέλιτος, οἴνου, γάλακτος, ἐλαίου καὶ ὕδατος. [5]) Στάμνους, ὑδρίας [6]) = Ἐκ τοῦ ἀρχείου (ἔνθα ἐφυλάσσοντο τὰ δημόσια ἔγγραφα. [7]) Προχωρεῖ διὰ μέσου τῆς πόλεως. [8]) Ἀποπλύνει τὰς ἐπιταφίους στήλας (ἐφ' ὧν ἦσαν ἐγκεχαραγμένα τὰ ὀνόματα τῶν ἐν Πλαταιαῖς πεσόντων. [9]) Ζεὺς χθόνιος ἦν ὁ Πλούτων, ἐλέγετο δ

Ἑλλάδος ἀποθανόντας ἐπὶ τὸ δεῖπνον καὶ τὴν αἱμοκουρίαν[1]. Ἔπειτα κρατῆρα κεράσας οἴνου καὶ χεάμενος[2] ἐπιλέγει «Προπίνω τοῖς ἀνδράσι τοῖς ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων ἀποθανοῦσι.» Ταῦτα μὲν οὖν ἔτι καὶ νῦν διαφυλάττουσιν οἱ Πλαταιεῖς.

XXII. Ἐπεὶ δ' ἀναχωρήσαντας εἰς τὸ ἄστυ τοὺς Ἀθηναίους ὁ Ἀριστείδης ἑώρα ζητοῦντας τὴν δημοκρατίαν ἀπολαβεῖν, ἅμα μὲν ἄξιον ἡγούμενος διὰ τὴν ἀνδραγαθίαν ἐπιμελείας τὸν δῆμον, ἅμα δ' οὐκ ἔτι ῥᾴδιον ἰσχύοντα τοῖς ὅπλοις καὶ μέγα φρονοῦντα ταῖς νίκαις ἐκβιασθῆναι[3], γράφει ψήφισμα κοινὴν εἶναι τὴν πολιτείαν[4] καὶ τοὺς ἄρχοντας ἐξ Ἀθηναίων πάντων αἱρεῖσθαι[5]. Θεμιστοκλέους δὲ πρὸς τὸν δῆμον εἰπόντος, ὡς ἔχει τι βούλευμα[6] καὶ γνώμην ἀπόρρητον, ὠφέλιμον δὲ τῇ πόλει καὶ σωτήριον, ἐκέλευσαν Ἀριστείδην μόνον ἀκοῦσαι καὶ συνδοκιμάσαι[7]. Φράσαντος δὲ τῷ Ἀριστείδῃ τοῦ Θεμιστοκλέους, ὡς διανοεῖται τὸν ναύσταθμον[8] ἐμπρῆσαι τῶν Ἑλλήνων, οὕτω γὰρ ἔσεσθαι μεγίστους καὶ κυρίους ἁπάντων τοὺς Ἀθηναίους, παρελθὼν εἰς τὸν δῆμον ὁ Ἀριστείδης ἔφη τῆς πράξεως, ἣν Θεμιστοκλῆς πράττειν διανοεῖται, μήτε λυσιτελε-

οὕτω καὶ ὁ Ἑρμῆς καθὸ ἄγων τὰς ψυχὰς εἰς τὸν Ἅδην. [1]) Αἱμοκουρία (ἐκ τοῦ αἷμα — κορέννυμι) ἦτο ἡ ὑπὲρ τῶν νεκρῶν θυσία ἐκ τοῦ αἵματος τοῦ σφαγιαζομένου ταύρου, ὅπερ ἔρρεεν εἴς τινα ἐγγὺς λάκκον, πρὸς κορεσμὸν οἱονεὶ ἐξ αὐτοῦ τῶν ψυχῶν τῶν θανόντων. [2]) Χύσας σπονδήν. [3]) Τοῦ νὰ ἐμποδισθῇ, ν' ἀποτραπῇ (τοῦ ν' ἀπολαύσῃ τουτέστι τῶν ἴσων δικαιωμάτων τοῦ δημοκρατικοῦ πολιτεύματος. [4]) Νὰ ἦνε ἴσα τὰ πολιτικὰ δικαιώματα. [5]) = Διὰ χειροτονίας ἐκλέγεσθαι. [6]) Σκέψιν καὶ σχέδιον μυστικόν. [7]) Νὰ τὴν συζητήσῃ μετ' αὐτοῦ (τοῦ Θεμιστ. [8]) Δηλ. τὸν στόλον τῶν ἄλλων Ἑλλήνων, τὸν ναυλοχοῦντα ἐν Παγασαῖς

στέραν ἄλλην μήτ' ἀδικωτέραν εἶναι. Ταῦτ' ἀκούσαντες οἱ Ἀθηναῖοι παύσασθαι[1] τὸν Θεμιστοκλέα προσέταξαν. Οὕτω μὲν[2] ὁ δῆμος ἦν φιλοδίκαιος, οὕτω δὲ τῷ δήμῳ πιστὸς ὁ ἀνὴρ καὶ βέβαιος.

XXIII. Ἐπεὶ δὲ στρατηγὸς ἐκπεμφθεὶς μετὰ Κίμωνος ἐπὶ τὸν πόλεμον ἑώρα τόν τε Παυσανίαν καὶ τοὺς ἄλλους ἄρχοντας τῶν Σπαρτιατῶν ἐπαχθεῖς καὶ χαλεποὺς τοῖς συμμάχοις ὄντας, αὐτός τε πράως καὶ φιλανθρώπως ὁμιλῶν[3] καὶ τὸν Κίμωνα παρέχων εὐάρμοστον[4] αὐτοῖς καὶ κοινὸν[5] ἐν ταῖς στρατείαις ἔλαθε[6] τῶν Λακεδαιμονίων οὐχ ὅπλοις οὐδὲ ναυσὶν οὐδ' ἵπποις, εὐγνωμοσύνῃ[7] δὲ καὶ πολιτείᾳ[8] τὴν ἡγεμονίαν παρελόμενος. Προσφιλεῖς γὰρ ὄντας τοὺς Ἀθηναίους τοῖς Ἕλλησι διὰ τὴν Ἀριστείδου δικαιοσύνην καὶ τὴν Κίμωνος ἐπιείκειαν ἔτι μᾶλλον ἡ τοῦ Παυσανίου πλεονεξία καὶ βαρύτης ποθεινοὺς ἐποίει. Τοῖς τε γὰρ ἄρχουσι τῶν συμμάχων ἀεὶ μετ' ὀργῆς ἐνετύγχανε καὶ τραχέως, τούς τε πολλοὺς ἐκόλαζε πληγαῖς[9] ἢ σιδηρᾶν ἄγκυραν ἐπιτιθεὶς ἠνάγκαζεν ἑστάναι[10] δι' ὅλης τῆς ἡμέρας. Στιβάδα[11] δ' οὐκ ἦν λαβεῖν οὐδὲ χόρτον οὐδὲ κρήνῃ προσελθεῖν ὑδρευόμενον οὐδένα πρὸ τῶν Σπαρτιατῶν, ἀλλὰ μάστιγας ἔχοντες ὑπηρέται τοὺς προσιόντας ἀπήλαυνον. Ὑπὲρ ὧν τοῦ Ἀριστείδου ποτ' ἐγκαλέσαι[12] καὶ διδάξαι

1) Νὰ παραιτηθῇ τοῦ σχεδίου του. 2) Τόσον μέν. 3) Συμπεριφερόμενος. 4) Καὶ καθιστῶν τὸν Κίμωνα εὐπροσήγορον εἰς αὐτοὺς (τοὺς συμμάχους. 5) Δημοφιλῆ. 6) Ἔλαθε...τὴν ἡγεμονίαν παρελόμενος = λεληθότως ἀφήρεσε κτλ. 7) Διὰ συνετοῦ τρόπου. 8) Διὰ καλῆς συμπεριφορᾶς. 9) Ἐτιμώρει διὰ ῥαβδισμῶν, μαστιγώσεων. 10) Νὰ ἵστανται ὄρθιοι. 11) = Στίβαν χόρτων διὰ στρῶμα. 12) Νὰ διαμαρτυρηθῇ, νὰ παραπονεθῇ

βουλομένου συναναγαγὼν τὸ πρόσωπον[1] ὁ Παυσανίας οὐκ ἔφη σχολάζειν οὐδ' ἤκουσεν[2]. Ἐκ τούτου προσιόντες οἱ ναύαρχοι καὶ στρατηγοὶ τῶν Ἑλλήνων, μάλιστα δὲ Χῖοι καὶ Σάμιοι καὶ Λέσβιοι, τὸν Ἀριστείδην ἔπειθον ἀναδέξασθαι τὴν ἡγεμονίαν καὶ προσαγαγέσθαι[3] τοὺς συμμάχους πάλαι δεομένους[4] ἀπαλλαγῆναι τῶν Σπαρτιατῶν καὶ μετατάξασθαι[5] πρὸς τοὺς Ἀθηναίους. Ἀποκριναμένου δ' ἐκείνου τοῖς[6] μὲν λόγοις αὐτῶν τό τε ἀναγκαῖον ἐνορᾶν καὶ τὸ δίκαιον, ἔργου δὲ δεῖσθαι τὴν πίστιν[7], ὃ πραχθὲν οὐκ ἐᾶσι πάλιν μεταβαλέσθαι τοὺς πολλούς, οὕτως οἱ περὶ τὸν Σάμιον Οὐλιάδην καὶ τὸν Χῖον Ἀνταγόραν συνομοσάμενοι περὶ Βυζάντιον ἐμβάλλουσιν[8] εἰς τὴν τριήρη τοῦ Παυσανίου, προεκπλέουσαν ἐν μέσῳ λαβόντες. Ὡς δὲ κατιδὼν ἐκεῖνος ἐξανέστη καὶ μετ' ὀργῆς ἠπείλησεν ὀλίγῳ χρόνῳ τοὺς ἄνδρας ἐπιδείξειν οὐκ εἰς τὴν αὐτοῦ ναῦν ἐμβεβληκότας, ἀλλ' εἰς τὰς ἰδίας πατρίδας, ἐκέλευον αὐτὸν ἀπιέναι καὶ ἀγαπᾶν[9] τὴν συναγωνισαμένην τύχην ἐν Πλαταιαῖς· ἐκείνην γὰρ ἔτι τοὺς Ἕλληνας αἰσχυνομένους μὴ λαμβάνειν ἀξίαν δίκην[10] παρ' αὐτοῦ· τέλος δ' ἀποστάντες ᾤχοντο πρὸς τοὺς Ἀθηναίους. Ἔνθα δὴ καὶ τὸ φρόνημα τῆς Σπάρτης διεφάνη θαυμαστόν. Ὡς γὰρ ᾔσθοντο τῷ μεγέθει τῆς ἐξουσίας διαφθειρομένους αὐτῶν τοὺς

[1]) Συνοφρυωθείς. [2]) Ἀπήντησεν ὅτι δὲν εὐκαιρεῖ καὶ οὔτε τὸν ἠκροάσθη. [3]) Νὰ ἑλκύσῃ ὑφ' ἑαυτόν. [4]) Αἰσθανομένους τὴν ἀνάγκην. [5]) Καὶ νὰ ταχθῶσιν ὑπὸ τὴν διοίκησιν τῶν Ἀθην. [6]) = Ἐν τοῖς λόγοις. [7]) Ὅτι ἡ πίστις των πρέπει νὰ βεβαιωθῇ διὰ πραγμάτων. [8]) Ἐπιπίπτουσι. [9]) Νὰ ἔχῃ χάριν εἰς τὴν τύχην του, ἥτις τὸν ἐβοήθησεν εἰς τὰς Πλαταιάς. [10]) Δὲν τιμωροῦσιν αὐτὸν ἐπαξίως (τῶν πράξεών του.

ἄρχοντας[1], ἀφῆκαν ἑκουσίως τὴν ἡγεμονίαν καὶ πέμποντες ἐπὶ τὸν πόλεμον ἐπαύσαντο[2] στρατηγοὺς μᾶλλον αἱρούμενοι σωφρονοῦντας ἔχειν καὶ τοῖς ἔθεσιν ἐμμένοντας τοὺς πολίτας ἢ τῆς Ἑλλάδος ἄρχειν ἁπάσης.

XXIV. Οἱ δ' Ἕλληνες ἐτέλουν μέν τινα καὶ Λακεδαιμονίων ἡγουμένων[3] ἀποφορὰν[4] εἰς τὸν πόλεμον, ταχθῆναι δὲ βουλόμενοι κατὰ πόλιν ἑκάστοις τὸ μέτριον[5] ᾐτήσαντο παρὰ τῶν Ἀθηναίων Ἀριστείδην, καὶ προσέταξεν αὐτῷ χώραν τε καὶ προσόδους ἐπισκεψάμενον ὁρίσαι τὸ[6] κατ' ἀξίαν ἑκάστῳ καὶ δύναμιν. Ὁ δὲ τηλικαύτης ἐξουσίας κύριος γενόμενος καὶ τρόπον τινὰ τῆς Ἑλλάδος ἐπ' αὐτῷ[7] μόνῳ τὰ πράγματα πάντα θεμένης, πένης μὲν ἐξῆλθεν[8], ἐπανῆλθε[9] δὲ πενέστερος, οὐ μόνον καθαρῶς καὶ δικαίως, ἀλλὰ καὶ προσφιλῶς πᾶσι καὶ ἁρμοδίως τὴν ἐπιγραφὴν τῶν χρημάτων[10] ποιησάμενος. Ὡς γὰρ οἱ παλαιοὶ τὸν ἐπὶ Κρόνου βίον, οὕτως οἱ σύμμαχοι τῶν Ἀθηναίων τὸν ἐπ' Ἀριστείδου φόρον εὐποτμίαν[11] τινὰ τῆς Ἑλλάδος ὀνομάζοντες ὕμνουν, καὶ μάλιστα μετ' οὐ πολὺν χρόνον διπλασιασθέντος[12], εἶτ' αὖθις τριπλασιασθέντος. Ὃν μὲν γὰρ Ἀριστείδης ἔταξεν, ἦν εἰς ἑξήκοντα καὶ τετρακοσίων ταλάντων λόγον[13]· τούτῳ δὲ ὁ

---

[1]) Τοὺς στρατηγούς. [2]) Καὶ ἔπαυσαν νὰ πέμπωσι. [3]) Ὅτε οἱ Λακεδ. εἶχον τὴν ἡγεμ. [4]) Συνεισφορὰν, φόρον. [5]) Ἐπιθυμοῦντες δὲ νὰ προσδιορισθῇ εἰς ἑκάστην πόλιν ὁ ἀνάλογος φόρος. [6]) Τὸ ποσὸν εἰς ἕκαστον (ἑκάστῃ πόλει) ἀναλόγως τῆς ἀξίας καὶ τῆς δυνάμεώς της. [7]) Εἰς τὴν ἐξουσίαν αὐτοῦ (τοῦ Ἀριστείδου). [8]) Πρὸς ἐπίσκεψιν δηλ. ἑκάστης χώρας. [9]) Ἐκ τῆς ἐπισκέψεως. [10]) Τὴν διατίμησιν, τὸν προσδιορισμὸν τῶν χρημάτων τῶν παρ' ἑκάστης πόλεως πληρωτέων. [11]) Εὐτυχίαν, εὐδαιμονίαν. [12]) Του φόρου. [13]) Ἦν εἰς λόγον = ὑπελογίσθη, ἐλογαριάσθη.

Περικλῆς μὲν ἐπέθηκεν ὀλίγου δεῖν[1] τὸ τρίτον μέρος· ἑξακόσια γὰρ τάλαντα Θουκυδίδης φησὶν ἀρχομένου τοῦ πολέμου προσιέναι τοῖς Ἀθηναίοις ἀπὸ τῶν συμμάχων. Περικλέους δ' ἀποθανόντος ἐπιτείνοντες οἱ δημαγωγοὶ κατὰ μικρὸν εἰς χιλίων καὶ τριακοσίων ταλάντων κεφάλαιον ἀνήγαγον, οὐχ οὕτω τοῦ πολέμου διὰ μῆκος[2] καὶ τύχας δαπανηροῦ γενομένου καὶ πολυτελοῦς, ὡς τὸν δῆμον εἰς διανομὰς καὶ θεωρικὰ[3] καὶ κατασκευὰς ἀγαλμάτων καὶ ἱερῶν προαγαγόντες[4]. Μέγα δ' οὖν ὄνομα τοῦ Ἀριστείδου καὶ θαυμαστὸν ἔχοντος ἐπὶ τῇ διατάξει[5] τῶν φόρων ὁ Θεμιστοκλῆς λέγεται καταγελᾶν, ὡς οὐκ ἀνδρὸς ὄντα τὸν ἔπαινον ἀλλὰ θυλάκου χρυσοφύλακος· ἀνομοίως ἀμυνόμενος τὴν Ἀριστείδου παρρησίαν[6]· ἐκεῖνος γάρ, εἰπόντος ποτὲ τοῦ Θεμιστοκλέους ἀρετὴν ἡγεῖσθαι μεγίστην στρατηγοῦ τὸ γινώσκειν καὶ προαισθάνεσθαι τὰ βουλεύματα τῶν πολεμίων. «Τοῦτο μὲν» εἰπεῖν[7] «ἀναγκαῖόν ἐστιν, ὦ Θεμιστόκλεις, καλὸν δὲ καὶ στρατηγικὸν ἀληθῶς ἡ περὶ τὰς χεῖρας ἐγκράτεια[8].»

XXV. Ὁ δ' Ἀριστείδης ὥρκισε μὲν τοὺς Ἕλληνας καὶ ὤμοσεν ὑπὲρ τῶν Ἀθηναίων, μύδρους[9] ἐμβαλὼν ἐπὶ ταῖς ἀραῖς εἰς τὴν θάλατταν, ὕστερον δὲ τῶν πραγμά-

---

1) Προσέθηκε τὸ τρίτον σχεδὸν (ὀλίγου δεῖν. 2) Διὰ τὴν παράτασιν καὶ τὰς περιπετείας του. 3) Χρήματα παρεχόμενα εἰς τοὺς πένητας διὰ τὸ ἀντίτιμον τῆς εἰς τὰ θέατρα εἰσόδου των. 4) συνειθίσαντες. 5) Τῇ διαρρυθμίσει. 6) Ἐκδικούμενος δι' ἀνομοίου, ἀκαταλλήλου τρόπου τὴν παρρησίαν τοῦ Ἀριστ. 7) Ἐξαρτᾶται ἐκ τοῦ ἄνωτ: λέγεται. 8) Τὸ νὰ ἦνε κύριος τῶν χειρῶν του, δηλ. νὰ μὴ κλέπτῃ. 9) Μύδρος = σίδηρος, πεπυρακτωμένος ὃν ἔρριπτον οἱ ἐπομνύοντες εἰς τὴν θάλασσαν πρὸς ἔνδειξιν τῆς τηρήσεως τῶν ὅρκων (= ἐπὶ ταῖς ἀραῖς.

των ἄρχειν ἐγκρατεστερον, ὡς ἔοικεν, ἐκβιαζομένων ἐκέλευε τοὺς Ἀθηναίους τὴν ἐπιορκίαν τρέψαντας εἰς αὐτὸν ᾗ[1] συμφέρει χρῆσθαι τοῖς πράγμασι[2]. Καθ' ὅλου δ' ὁ Θεόφραστός φησι τὸν ἄνδρα τοῦτον περὶ τὰ οἰκεῖα καὶ τοὺς πολίτας ἄκρως ὄντα δίκαιον ἐν τοῖς κοινοῖς πολλὰ πρᾶξαι πρὸς τὴν ὑπόθεσιν[3] τῆς πατρίδος, ὡς συχνῆς ἀδικίας δεομένης. Καὶ γὰρ τὰ χρήματά φησιν ἐκ Δήλου[4] βουλευομένων[5] Ἀθήναζε κομίσαι παρὰ τὰς συνθήκας [καὶ], Σαμίων εἰσηγουμένων, εἰπεῖν ἐκεῖνον, ὡς οὐ δίκαιον μέν, συμφέρον δὲ τοῦτ' ἐστί. Καὶ τέλος εἰς τὸ ἄρχειν ἀνθρώπων τοσούτων καταστήσας τὴν πόλιν αὐτὸς ἐνέμεινε τῇ πενίᾳ καὶ τὴν ἀπὸ τοῦ πένης εἶναι δόξαν οὐδὲν ἧττον ἀγαπῶν τῆς ἀπὸ τῶν τροπαίων διετέλεσε. Δῆλον δ' ἐκεῖθεν[6]. Καλλίας ὁ δᾳδοῦχος ἦν αὐτῷ γένει προσήκων[7]· τοῦτον οἱ ἐχθροὶ θανάτου διώκοντες[8], ἐπεὶ περὶ ὧν ἐγράψαντο[9] μετρίως[10] κατηγόρησαν, εἶπόν τινα λόγον ἔξωθεν[11] τοιοῦτον πρὸς τοὺς δικαστάς· «Ἀριστείδην» ἔφησαν «ἴστε τὸν Λυσιμάχου θαυμαζόμενον ἐν τοῖς Ἕλλησι· τούτῳ πῶς οἴεσθε τὰ κατ' οἶκον ἔχειν[12] ὁρῶντες αὐτὸν ἐν τρίβωνι τοιούτῳ προερχόμενον[13] εἰς τὸ δημόσιον; Ἆρ' οὐκ εἰκός ἐστι τὸν ῥιγοῦντα φανε-

---

1) Ὅπως. 2) Χρῆσθαι τοῖς πραγ: = νὰ πολιτευθῶσι. 3) Πρὸς τὸ συμφέρον. 4) Εἰς τὸν ἐν Δήλῳ ναὸν τοῦ Ἀπόλλωνος ἦν κατατεθειμένον κατ' ἀρχὰς τὸ ταμεῖον τῶν συμμαχικῶν φόρων. 5) Ὑποκμ: τῶν Ἀθηναίων. 6) Ἐκ τοῦ ἑξῆς. 7) Συγγενής. 8) Κατηγοροῦντες δι' ἔγκλημα (ἄξιον τῆς ποινῆς τοῦ) θανάτου. 9) Περὶ ὅσων ἐγγράφως κατεμήνυσαν. 10) Ἀνεπαρκῶς, ἄνευ βασίμων ἀποδείξεων. 11) Ἔξωθεν = ἐκτὸς τοῦ προκειμένου, ἐξωδίκως. 12) Πῶς εἶνε τὰ τοῦ οἴκου του, ἡ οἰκονομική του κατάστασις. 13) Ἐμφανιζόμενον.

ρῶς και πεινᾶν οἴκοι καὶ τῶν ἄλλων ἐπιτηδείων σπανίζειν; Τοῦτον μέντοι Καλλίας, ἀνεψιὸν ὄντα, πλουσιώτατος ὢν Ἀθηναίων περιορᾷ μετὰ τέκνων καὶ γυναικὸς ἐνδεόμενον[1], πολλὰ κεχρημένος τῷ ἀνδρὶ[2] καὶ πολλάκις αὐτοῦ τῆς παρ' ὑμῖν δυνάμεως ἀπολελαυκώς[3].» Ὁ δὲ Καλλίας ὁρῶν ἐπὶ τούτῳ μάλιστα θορυβοῦντας τοὺς δικαστὰς καὶ χαλεπῶς πρὸς αὐτὸν ἔχοντας[4] ἐκάλει τὸν Ἀριστείδην, ἀξιῶν μαρτυρῆσαι πρὸς τοὺς δικαστὰς, ὅτι πολλάκις αὐτοῦ πολλὰ καὶ διδόντος καὶ δεομένου[5] λαβεῖν οὐκ ἠθέλησεν ἀποκρινόμενος, ὡς μᾶλλον αὐτῷ διὰ πενίαν μέγα φρονεῖν ἢ Καλλίᾳ διὰ πλοῦτον προσήκει· πλούτῳ μὲν γὰρ ἔστι[6] πολλοὺς ἰδεῖν εὖ τε καὶ κακῶς χρωμένους, πενίαν δὲ φέροντι γενναίως οὐ ῥᾴδιον ἐντυχεῖν[7]· αἰσχύνεσθαι δὲ πενίαν τοὺς ἀκουσίως πενομένους. Ταῦτα δὲ τοῦ Ἀριστείδου τῷ Καλλίᾳ προσμαρτυρήσαντος οὐδεὶς[8] ἦν τῶν ἀκουόντων, ὃς οὐκ ἀπῄει πένης μᾶλλον ὡς Ἀριστείδης εἶναι βουλόμενος ἢ πλουτεῖν ὡς Καλλίας. Ταῦτα μὲν Αἰσχύνης ὁ Σωκρατικὸς ἀναγέγραφε. Πλάτων δὲ τῶν μεγάλων δοκούντων[9] καὶ ὀνομαστῶν Ἀθήνησι μόνον ἄξιον λόγου τοῦτον ἀποφαίνει τὸν Ἄνδρα· Θεμιστοκλέα μὲν γὰρ καὶ Κίμωνα καὶ Περικλέα στοῶν καὶ χρημάτων καὶ φλυαρίας πολλῆς ἐμπλῆσαι τὴν πόλιν, Ἀριστείδην δὲ πολιτεύσασθαι πρὸς ἀρετήν[10]. Μεγάλα δ' αὐτοῦ καὶ τὰ πρὸς

1) Στερούμενον τῶν ἀναγκαίων. 2) Ἐνῷ ὀφείλει πολλὰς ὑποχρεώσεις εἰς τὸν ἄνδρα. 3) Καὶ ἔχει ἀπολαύσῃ πολλὰ ἐκ τῆς ἐφ' ὑμῶν ἐπιρροῆς αὐτοῦ, τοῦ Ἀριστ. 4) = Χαλεπαίνοντες, ἀγανακτοῦντες. 5) Καὶ παρακαλοῦντος. 6) Εἶνε δυνατὸν, εὔκολον. 7) Νὰ ἀπαντήσῃ τις. 8) Οὐδεὶς ὃς οὐκ ἀπῄει = πάντες ἀπῄεσαν (ἀνεχώρουν. 9) Τῶν θεωρουμένων, τῶν φημιζομένων. 10) Ἐνα-

Θεμιστοκλέα τῆς ἐπιεικείας σημεῖα. Χρησάμενος[1] γὰρ αὐτῷ παρὰ πᾶσαν ὁμοῦ τὴν πολιτείαν[2] ἐχθρῷ καὶ δι' ἐκεῖνον ἐξοστρακισθείς, ἐπεὶ τὴν αὐτὴν λαβὴν[3] παρέσχεν ὁ ἀνὴρ ἐν αἰτίᾳ γενόμενος[4] πρὸς[5] τὴν πόλιν, οὐκ ἐμνησικάκησεν, ἀλλ' Ἀλκμαίωνος καὶ Κίμωνος καὶ πολλῶν ἄλλων ἐλαυνόντων[6] καὶ κατηγορούντων μόνος Ἀριστείδης οὔτ' ἔπραξεν οὔτ' εἶπέ τι φαῦλον, οὐδ' ἀπέλαυσεν[7] ἐχθροῦ δυστυχοῦντος, ὥσπερ οὐδ' εὐημεροῦντι πρότερον ἐφθόνησε.

XXVI. Τελευτῆσαι δὲ Ἀριστείδην οἱ μὲν ἐν Πόντῳ[8] φασὶν ἐκπλεύσαντα πράξεων[9] ἕνεκα δημοσίων, οἱ δ' Ἀθήνησι γήρᾳ[10], τιμώμενον καὶ θαυμαζόμενον ὑπὸ τῶν πολιτῶν. Κρατερὸς δ' ὁ Μακεδὼν τοιαῦτά τινα περὶ τῆς τελευτῆς τοῦ ἀνδρὸς εἴρηκε. Μετὰ γὰρ τὴν Θεμιστοκλέους φυγήν φησιν ὥσπερ ἐξυβρίσαντα[11] τὸν δῆμον ἀναφῦσαι πλῆθος συκοφαντῶν, οἳ τοὺς ἀρίστους καὶ δυνατωτάτους ἄνδρας διώκοντες ὑπέβαλλον τῷ φθόνῳ τῶν πολλῶν ἐπαιρουμένων ὑπ' εὐτυχίας καὶ δυνάμεως. Ἐν τούτοις καὶ Ἀριστείδην ἁλῶναι δωροδοκίας[12], Διοφάντου τοῦ Ἀμφιτροπῆθεν κατηγοροῦντος, ὡς, ὅτε τοὺς φόρους ἔταττε[13], παρὰ τῶν Ἰώνων χρήματα λαβόντα

ρέτως. [1]) Χρησαμένος αὐτῷ.. ἐχθρῷ = μεταχειρισθεὶς (ἔχων) αὐτὸν ἐχθρόν. [2]) Καθ' ὅλον σχεδὸν τὸν πολιτικόν του βίον. [3]) Ὅτε ἔδωκε τὴν αὐτὴν ἀφορμὴν (πρὸς κατηγορίαν δηλ. [4]) = Κατηγορηθείς. [5]) Ἐνώπιον τῆς πολιτείας, τοῦ δήμου. [6]) Κατατρεχόντων τὸν Θεμιστ. [7]) Δὲν ἐχαιρεκάκησε, δὲν ᾐσθάνθη χαρὰν ἐπὶ τῷ δυστυχήματι τοῦ ἐχθροῦ του. [8]) Εἰς τὸν Εὔξεινον Πόντον. [9]) Ὑποθέσεων. [10]) Ἄλλοι δὲ (φασιν) ὅτι ἐτελεύτησεν ἐν Ἀθήναις ὑπὸ γήρατος. [11]) Ἐπειδὴ ὁ δῆμος παρεξετράπη εἰς ὕβρεις, παρήγαγε (ἀναφῦσαι πλῆθος συκοφαντῶν. [12]) Κατηγορηθῆναι ἐπὶ δωροκίᾳ. [13]) Προσδιώριζε.

μάτα λαβόντος· ἐκτῖσαι δ' οὐκ ἔχοντα[1] τὴν κατ[α]δίκην πεντήκοντα μνῶν οὖσαν ἐκπλεῦσαι καὶ περὶ τὴν Ἰωνίαν ἀποθανεῖν. Τούτων δὲ οὐδὲν ἔγγραφον ὁ Κρατερὸς τεκμήριον παρέσχηκεν, οὔτε δίκην οὔτε ψήφισμα, καίπερ εἰωθὼς ἐπιεικῶς γράφειν τὰ τοιαῦτα καὶ παρατίθεσθαι τοὺς ἱστοροῦντας. Οἱ δ' ἄλλοι πάντες, ὡς ἔπος εἰπεῖν[2], ὅσοι τὰ πλημμεληθέντα τῷ δήμῳ περὶ τοὺς στρατηγοὺς διεξίασι, τὴν μὲν Θεμιστοκλέους φυγὴν καὶ τὰ Μιλτιάδου δεσμὰ[3] καὶ τὴν Περικλέους ζημίαν καὶ τὸν Πάχητος ἐν τῷ δικαστηρίῳ θάνατον, ἀνελόντος αὑτὸν[4] ἐπὶ τοῦ βήματος ὡς ἡλίσκετο[5], καὶ πολλὰ τοιαῦτα συνάγουσι καὶ θρυλοῦσιν, Ἀριστείδου δὲ τὸν μὲν ἐξοστρακισμὸν παρατίθενται, καταδίκης δὲ τοιαύτης οὐδαμοῦ μνημονεύουσι.

XXVII. Καὶ μέντοι καὶ τάφος ἐστὶν αὐτοῦ Φαληροῖ[6] δεικνύμενος, ὅν φασι κατασκευάσαι τὴν πόλιν αὐτῷ[7] μηδ' ἐντάφια[8] καταλιπόντι. Καὶ τὰς μὲν θυγατέρας ἱστοροῦσιν ἐκ τοῦ πρυτανείου[9] τοῖς νυμφίοις ἐκδοθῆναι[10] δημοσίᾳ, τῆς πόλεως τὸν γάμον ἐγγυώσης καὶ προῖκα τρισχιλίας δραχμὰς ἑκατέρᾳ ψηφισαμένης, Λυσιμάχῳ δὲ τῷ υἱῷ μνᾶς μὲν ἑκατὸν ἀργυρίου καὶ γῆς τοσαῦτα πλέθρα πεφυτευμένης ἔδωκεν ὁ δῆμος, ἄλλας δὲ δραχμὰς τέσσαρας εἰς ἡμέραν ἑκάστην ἀπέταξεν[11], Ἀλκιβιάδου τὸ

---

1) Μὴ δυνάμενος δὲ νὰ πληρώσῃ. 2) Σχεδόν. 3) Τὴν κάθειρξιν τοῦ Μιλτ. 4) Αὐτοκτονήσαντος. 5) Κατεδικάζετο. 6) Ἐν Φαλήρῳ. 7) Αὐτῷ = πρὸς τιμήν του. 8) Τὰ πρὸς ταφὴν χρειώδη. 9) Πρυτανεῖον ἦν δημόσιον κατάλυμα, ἐν ᾧ ἐσιτίζοντο δωρεὰν οἱ προσενεγκόντες τῇ πόλει ὑπηρεσίας. 10) Δοθῆναι πρὸς γάμον δημοσίᾳ δαπάνῃ. 11) Προσδιώρισε.

ψήφισμα γράψαντος. Ἔτι δὲ Λυσιμάχου θυγατέρα Πολυκρίτην ἀπολιπόντος, ὡς Καλλισθένης φησί, καὶ ταύτῃ σίτησιν ὅσην καὶ τοῖς Ὀλυμπιονίκαις[1] ὁ δῆμος ἐψηφίσατο. Δημήτριος δ' ὁ Φαληρεὺς καὶ Ἱερώνυμος ὁ Ῥόδιος καὶ Ἀριστόξενος ὁ μουσικὸς καὶ Ἀριστοτέλης (εἰ δὴ τὸ Περὶ εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις[2] Ἀριστοτέλους θετέον[3]) ἱστοροῦσι Μυρτὼ θυγατριδῆν Ἀριστείδου Σωκράτει τῷ σοφῷ συνοικῆσαι[4], γυναῖκα μὲν ἑτέραν ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. Πρὸς μὲν οὖν τούτους ἱκανῶς ὁ Παναίτιος ἐν τοῖς περὶ Σωκράτους ἀντείρηκεν· ὁ δὲ Φαληρεὺς ἐν τῷ Σωκράτει φησὶ μνημονεύειν Ἀριστείδου θυγατριδοῦν εὖ μάλα πένητα Λυσίμαχον, ὃς ἑαυτὸν ἐκ πινακίου τινὸς ὀνειροκριτικοῦ παρὰ τὸ Ἰακχεῖον λεγόμενον καθεζόμενος ἔβοσκε[5]. Τῇ δὲ μητρὶ καὶ τῇ ταύτης ἀδελφῇ ψήφισμα γράψας [δωρεὰν] ἔπεισε[6] τὸν δῆμον τροφὴν διδόναι τριώβολον ἑκάστης ἡμέρας[7]. Αὐτὸς μέντοι φησὶν ὁ Δημήτριος νομοθετῶν[8] ἀντὶ τριωβόλου δραχμὴν ἑκατέρᾳ τάξαι τῶν γυναικῶν. Καὶ οὐδέν ἐστι θαυμαστὸν οὕτω φροντίσαι τῶν ἐν ἄστει[9] τὸν δῆμον, ὅπου[10] θυγατριδῆν Ἀριστογείτονος ἐν Λήμνῳ πυθόμενοι ταπεινὰ πράττειν[11]

---

[1]) Εἰς ἕκαστον νικῶντα εἰς τοὺς ὀλυμπιακοὺς ἀγῶνας ὁ δῆμος ἐψήφιζεν δι' ἐνιαυσίαν σίτισιν δραχ. πεντακοσίας. [2]) Μεταξὺ τῶν γνησίων. [3]) Πρέπει νὰ κατατάξῃ τις. [4]) Ὅτι ὑπανδρεύθη. [5]) Ὅτι καθήμενος παρὰ τὸ Ἰακχεῖον (ναὸν τοῦ Βάκχου) ἀπέζη ἐξηγῶν ὀνειροκριτικόν τι φυλλάδιον. [6]) Ὁ Λυσίμαχος. [7]) Τρεῖς ὀβολοὺς (=$^1/_2$ δραχμῇ) καθ' ἑκάστην ἡμέραν. [8]) Ὅτε ἔθετε νόμους. [9]) Τῶν ἐν Ἀθήναις. [10]) Ἀφοῦ. [11]) Ὅτι ἔζη ταπεινῶς.

ἀνδρὸς ἀποροῦσαν[1] διὰ πενίαν κατήγαγον[2] Ἀθήναζε, καὶ συνοικίσαντες[3] ἀνδρὶ τῶν εὖ γεγονότων[4] τὸ Ποταμοῖ χωρίον[5] εἰς φερνὴν[6] ἐπέδωκαν. Ἧς[7] φιλανθρωπίας καὶ χρηστότητος ἔτι πολλὰ καὶ καθ' ἡμᾶς ἡ πόλις ἐκφέρουσα δείγματα θαυμάζεται καὶ ζηλοῦται δικαίως.

---

1) Ἀδυνατοῦσαν νὰ ὑπανδρευθῇ ἕνεκεν τῆς πενίας. 2) Τὴν μετεκάλεσαν. 3) Ὑπανδρεύσαντες. 4) Ἐκ τῶν εὐγενῶν. 5) Τὸν ἐν Ποταμοῖς (δήμῳ Ἀθηνῶν) τόπον. 6) Ὡς προῖκα. 7) Ταύτης δὲ τῆς φιλανθρωπίας...κτλ.

ΤΕΛΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΤΟΜΟΥ



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ

ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ

ΚΑΤΑ ΜΗΝΑ ΣΕΠΤΕΜΒΡΙΟΝ ΤΟΥ 1891

ΑΡΙΘ. 2680.





ΚΑΤΑΣΤΗΜΑΤΑ
ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ
ΕΝ ΑΘΗΝΑΙΣ

ΠΡΟΣ ΧΡΗΣΙΝ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΧΟΛΕΙΩΝ

ΑΝΕΣΤΗ ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ Χρηστομάθεια τόμος Α'...........	70
» » » » Β'...........	90
» » » » Γ'...........	1,40
ΓΕΝΝΑΔΙΟΥ Γραμματικὴ μικρά..........................	50
ΔΑΜΑΣΚΗΝΟΥ Μαθήματα Φυσικῆς Πειραματικῆς...............	4,—
» Στοιχειώδης Ἀριθμητικὴ	2,50
» Συλλογὴ Ἀριθμητικῶν προβλημάτων..............	1,—
ΔΡΟΣΙΝΗ καὶ ΚΑΣΔΟΝΗ Νεοελληνικὰ Ἀναγνώσματα Α'.........	1,80
» » » » Β'.........	2,10
» » » » Γ'.........	1,80
ΚΥΡΙΑΚΟΠΟΥΛΟΥ Δ. Φυσικὴ Ἱστορία *μετ' εἰκόνων χρωμ.*	4,—
ΚΩΝΣΤΑΝΤΙΝΙΔΟΥ Α. Ὀρθογραφικὰ Γυμνάσματα, ἤτοι λεξικὸν τῆς Ἑλληνικῆς ὀρθογραφίας.......	1,25
» » Φυσικὴ Προπαίδεια, ἤτοι Στοιχ. γνώσεις τῆς φυσικῆς μετὰ 45 σχ. διὰ τὰ Παρθεναγ.	2,—
ΚΥΡΙΑΚΟΥ Α. ΔΙΟΜ. Ἱερὰ Ἱστορία παλαιᾶς Διαθήκης...........	1,—
» » » νέας »	1,—
» » Κατήχησις μεγάλη βραβ. εἰς τὸν διαγ...	1,—
ΛΙΑΝΟΥ Δ. Στοιχ. Ἀριθμητικὴ μετὰ προβλημάτων.................	2,50
ΛΑΚΩΝΟΣ Β. Ἀριθμητικὴ Ἑλληνικῶν Σχολείων.................	2,50
» Γεωμετρία » »	2.—
ΜΕΣΟΛΑΡΑ Ι. Ἱερὰ Ἱστορία τῆς Παλ. καὶ Καιν. Διαθήκης ἑκάτερον	1,20
ΜΟΣΧΑΚΗ ΙΓΝ. Ἱερὰ Ἱστορία τῆς Παλ. καὶ Καιν. Διαθήκης ἑκάτερον	1,20
ΠΑΠΑΡΡΗΓΟΠΟΥΛΟΥ Ἱστορία τοῦ Ἑλληνικοῦ Ἔθνους...........	2,—
ΣΤΑΗ Σ. Καθηγητοῦ τοῦ πρακτικοῦ Λυκείου Ἀριθμητικὰ προβλήματα κατὰ τὸ σύστημα τῆς βραβευθείσης Ἀριθμητικῆς Ι. Χατζιδάκη, πρὸς χρῆσιν τῶν Ἑλληνικῶν Σχολείων καὶ Παρθεναγωγείων......................................	1,50
ΦΕΡΜΠΟΥ καὶ ΚΟΥΡΤΙΔΟΥ Βίοι ἐπιφανῶν ἀνδρῶν τῆς ἀρχαίας Ἑλλάδος, πρὸς χρῆσιν τῶν Ἑλλ. σχολείων καὶ Παρθεναγωγείων κατὰ τὸ πρόγραμμα τοῦ Ὑπουργείου, μετ' εἰκόνων........	2,—

Τιμᾶται: δραχ. 1.40.

1891-- 2680





